Stegemann, V.: Beiträge zur Geschichte der Astrologie. Der griechische Astrologe Dorotheos von Sidon und der arabische Astrologe Abū 'l-Ḥasan 'Ali ibn abi 'r-Riğāl, genannt Albohazen, Heidelberg 1935 (Quellen und Studien zur Geschichte und Kultur des Altertums und des Mittelalters).

Stern, H.: Le calendrier de 354. Étude sur son texte et ses illustrations, Paris 1953 (Institut français d'archéologie de Beyrouth. Bibliothèque archéologique et historique. 55).

Thorndike, L.: A history of magic and experimental science during the first thirteen centuries of our era, I, New York 1923.

Toomer, G. J.: Dictionary of Scientific Biography XI (1975), 186–206 s. v. Ptolemy.

Treder, H.-J.: Ptolemaios in seiner Bedeutung für die heutige Naturforschung, Das Altertum 23 (1977), 49–56.

Trüdinger, K.: Studien zur Geschichte der griechisch-römischen Ethnographie, Basel 1918.

Tucker, W. J.: L'astrologie de Ptolémée, Paris 1981.

Uhden, R.: Das Erdbild in der Tetrabiblos des Ptolemaios [apotel. 2,3], Philologus 88 (1933), 302–325.

Vogel, M. – Gardthausen, V.: Die griechischen Schreiber des Mittelalters und der Renaissance, Leipzig 1909 (Zentralblatt für Bibliothekswesen. Beiheft 33).

Zeller, E.: Die Philosophie der Griechen, $^{3\,5}$ Leipzig 1879–1909.

Ziegler, K. – Boer, E. – Lammert, F. – van der Waerden, B. L.: RE XXIII 2 (1959), 1788–1859 s. v. Klaudios Ptolemaios.

V. SIGLA

(uncis includuntur sigla a Robbins inventa;
auctorum compendia v. supra)

V(V)	Vaticanus gr. 1038 saec. XIII
	raro citantur cognati:
L(-)	Laurentianus gr. 28,34 saec. XI
Γ(D)	Parisinus gr. 2509 saec. XV
y(G)	Vindobonensis gr. phil. 115 saec. XIII
	stirpis α:
Y(P)	Parisinus gr. 2425 saec. XV
Σ(N)	Norimbergensis gr. Cent. V app. 8 saec. XVI
	raro citantur:
G(L)	Oxoniensis Laudianus gr. 50 saec. XVI in.
Φ(-)	Parisinus suppl. gr. 597 saec. XVI
	stirpis β
D(-)	Laurentianus gr. 28,20 saec. XIV
M(M)	Marcianus gr. 314 saec. XV in.
S(E)	Monacensis gr. 419 saec. XIV
	raro citatur:
Ψ(-)	Parisinus gr. 2363 saec. XV
	stirpis γ:
A(-)	Angelicus gr. 29 a. 1388
B(A)	Vaticanus gr. 208 saec. XIV ex.
C(-)	Laurentianus gr. 28,16 a. 1382
ω	consensus codicum

editiones, commentarii (v. supra)

c	editio Camerarii prior a. 1535
m	editio Camerarii altera (Melanchthone adiutore) a. 1553
Co	commentarius anonymus a. 1559 editus
Co le	lemma huius commentarii
Procl.	Procli quae dicitur paraphrasis

ΚΛΑΥΔΙΟΥ ΠΤΟΛΕΜΑΙΟΥ

ΤΩΝ ΠΡΟΣ ΣΥΡΟΝ ΑΠΟΤΕΛΕΣΜΑΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Α'

Τάδε ἔνεστιν ἐν τῷ α' βιβλίῳ κεφάλαια Κλαυδίου
5 *Πτολεμαίου τῶν πρὸς Σύρον ἀποτελεσματικῶν*

α'. προοίμιον
β'. ὅτι καταληπτὴ ἡ δι' ἀστρονομίας γνῶσις καὶ μέχρι τίνος
γ'. ὅτι καὶ ὠφέλιμος
δ'. περὶ τῆς τῶν πλανωμένων ἀστέρων δυνάμεως

T 6–30 CCAG VIII 3 (1912) p. 93,16–94,5

1 *κλαυδίου πτολεμαίου* **Σβγ** om. **VY** ‖ 2 titulus: *τῶν πρὸς σύρον ἀποτελεσματικῶν* **DM** *τῆς πρὸς σύρον συμπερασματικῆς τετραβίλου* **γ** *μαθηματικῆς τετραβίβλου συντάξεως* **Σ** *τετράβιβλος* **S** *τετράβιβλον καὶ ἕτερον βιβλίον τοῦ Ἀντιώχου θυσαυρῶν/τετράβηβλον καὶ ἕτερον βηβλήον τοῦ Ἀντιόχου* **Y** om. **V** ‖ 3 *βιβλίον α'* **ΣD** *βιβλίων α'* **M** *τὸ πρῶτον* **γ** om. **VYS** ‖ 4 *τάδε* – 5 *ἀποτελεσματικῶν* **VS** *ὁ πίναξ σὺν θεῷ τῆς βίβλου πτολεμαίου* **Y** *τάδε ἔνεστιν ἐν τῷ πρώτῳ βιβλίῳ τῶν πρὸς Σύρον συμπερασματικῶν* **γ** indice capitum inscriptioni praemisso; indicem omnino om. **ΣM** ‖ **6–30** de numeris vide CCAG VIII 3 (1912) p. 93,16–94,5, numeris caret index in **S** ‖ **6** *α'* **V** om. **αβγ** | *προοίμιον* **VS** om. **αDγ** ‖ **7** *β'* **V** *α'* **Dγ** ‖ **8** *γ'* **V** *β'* **Dγ** *α'* **Y** et sic deinceps *ὅτι καὶ ὠφέλιμος ἡ δι' ἀστρονομίας πρόγνωσις* **Y**, cf. 1,221 ‖ **9** *πλανωμένων ἀστέρων*] *πλανήτων* **Y** ut 1,385

ε'. περὶ ἀγαθοποιῶν καὶ κακοποιῶν 10
ϛ'. περὶ ἀρρενικῶν καὶ θηλυκῶν
ζ'. περὶ ἡμερινῶν καὶ νυκτερινῶν
η'. περὶ τῆς δυνάμεως τῶν πρὸς τὸν ἥλιον σχηματισμῶν
θ'. περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως
ι'. περὶ τῶν ὡρῶν τοῦ ἔτους 15
ια'. περὶ τῆς τῶν τεσσάρων γωνιῶν δυνάμεως
ιβ'. περὶ τροπικῶν καὶ ἰσημερινῶν καὶ στερεῶν καὶ δισώμων ζῳδίων
ιγ'. περὶ ἀρρενικῶν καὶ θηλυκῶν ζῳδίων
ιδ'. περὶ τῶν συσχηματιζομένων δωδεκατημορίων 20
ιε'. περὶ τῶν προστασσόντων καὶ ὑπακουόντων ὁμοίως ζῳδίων
ιϛ'. περὶ τῶν βλεπόντων καὶ ἰσοδυναμούντων ἀλλήλοις
ιζ'. περὶ τῶν ἀσυνδέτων
ιη'. περὶ οἴκων ἑκάστου ἀστέρος
ιθ'. περὶ τριγώνων 25
κ'. περὶ ὑψωμάτων
κα'. περὶ ὁρίων διαθέσεως

10 *ἀγαθῶν* **V** | *καὶ* om. **Y** | *κακοποιῶν ἀστέρων* **D** ut 1,431 || **11** post *θηλυκῶν*: *ἀστέρων* add. Y, cf. 1,446 || **12** *ἡμερινῶν καὶ νυκτερινῶν* **Y** Procl. CCAG VIII 3 (1912) p. 93,20 | *νυκτερινῶν καὶ ἡμερινῶν* cett. Boll, fort. recte, quia antiquis nox diem praecedebat (cf. 3,589), sed v. 1,465 || **13** *σχημάτων* **γ**, cf. 1,487 || **15** *περὶ τῶν ὡρῶν καὶ τεσσάρων γωνιῶν δυνάμεως* contraxit **Y** || **16** *περὶ ... δυνάμεως* om. Y, v. supra || **17** *τῶν τροπικῶν* **γ** || **20** *συσχατιζομένων* **V** *σχηματιζομένων* **Y** || **21** *τῶν* om. Y, cf. 1,840 | *προτασσόντων* **V** *προττασόντων* CCAG VIII 3 (1912) p. 93,29 | *ἀκουόντων* **Y** CCAG VIII 3 (1912) p. 93,30 fort. recte, cf. 1,840 necnon Hübner, Eigenschaften 67 sq. | *ὁμοίων ζῳδίων* om. **D** | *ὁμοίως* Boll (coll. 1,841 necnon CCAG VIII 3 (1912) p. 94,2) *ὁμοίων* **ω** (vix quia sunt aequidistantia ab aequinoctiis) || **22** *ἀλλήλοις* om. **YD** CCAG VIII 3 (1912) p. 93,30, cf. 1,852 || **23** *τῶν* om. **Y** ut 1,861 || **26** *ὑψωμάτων*] *ἰδιωμάτων* **V**, cf. 1,983 || **27** *διαθέσεως* om. Y, cf. 1,1019

κβ′. περὶ τόπων καὶ μοιρῶν ἑκάστου
κγ′. περὶ προσώπων καὶ λαμπηνῶν καὶ τῶν τοιούτων
30 *κδ′. περὶ συναφῶν καὶ ἀπορροιῶν καὶ τῶν ἄλλων δυνάμεων*

α′. Προοίμιον

c 1 m 1 *Τῶν τὸ δι᾽ ἀστρονομίας προγνωστικὸν τέλος παρασκευαζόντων, ὦ Σύρε, δύο τῶν μεγίστων καὶ κυριωτάτων ὑπαρχόντων, ἑνὸς μὲν τοῦ πρώτου καὶ τάξει καὶ δυνάμει, καθ᾽ ὃ* 1
35 *τοὺς γινομένους ἑκάστοτε σχηματισμοὺς τῶν κινήσεων ἡλίου τε καὶ σελήνης καὶ ἀστέρων πρὸς ἀλλήλους τε καὶ τὴν γῆν καταλαμβανόμεθα, δευτέρου δέ, καθ᾽ ὃ διὰ τῆς φυσικῆς τῶν σχηματισμῶν αὐτῶν ἰδιοτροπίας τὰς ἀποτελουμένας μεταβολὰς τῶν ἐμπεριεχομένων ἐπισκεπτόμεθα,*
40 *τὸ μὲν πρῶτον ἰδίαν ἔχον καὶ δι᾽ ἑαυτὴν αἱρετὴν θεωρίαν, κἂν μὴ τὸ ἐκ τῆς ἐπιζεύξεως τοῦ δευτέρου τέλος συμπεραίνηται, κατ᾽ ἰδίαν σύνταξιν ὡς μάλιστα ἐνῆν ἀποδεικτι-*

S 32–39 (§ 1 in.) Achmes CCAG II (1900) p. 122,15–123,6. Zanates CCAG VII (1908) p. 49 fol. 52 ‖ **33** *Σύρε* Synt. I 1 p. 4,7. Hypoth. I 1 p. 70,3. Anal. 1 p. 189,1. Plan. 1 p. 227,1. Ps.Ptol. Karp. pr. ‖ **36** *ἡλίου … ἀλλήλους* Phas. p. 5,9–11 ‖ **39** *ἐμπεριεχομένων* Cleomed. I 1 l. 6 Todd

28 *ἑκάστου* om. Y cf. 1,1189 ‖ **29** *καὶ τῶν τοιούτων* om. **YD** CCAG VIII 3 (1912) p. 94,3, cf. 1,1211 ‖ **30** *συναφιῶν* **Y** | *ἀποριῶν* **Y** | *ἄλλων*] *λοιπῶν* **D** ‖ **31** *α′* **V** om. **αβγ** | *προοίμιον* **Vβγ** om. **α** ‖ **32** *κατασκευαζόντων* **Y** ‖ **35** post *γινομένους: τὸ μὲν ἀναγκαίως, τὸ δὲ ἐνδεχομένως* add. **Y** ‖ **36** *τε* om. **α** | *τῶν ἀστέρων* Σ Procl. | *πρὸς τὴν* **β** ‖ **37** *καταλαμβάνομεν* **γ** ‖ **38** *τῶν σχηματισμῶν* om. **Y** ‖ **39** *περιεχομένων* **Y** ‖ **41** *τέλους* **V** ‖ **42** *καὶ ὡς* **Y**

2 *κῶς σοι περιώδευται. περὶ δὲ τοῦ δευτέρου καὶ μὴ ὡσαύτως αὐτοτελοῦς ἡμεῖς ἐν τῷ παρόντι ποιησόμεθα λόγον κατὰ τὸν ἁρμόζοντα φιλοσοφίᾳ τρόπον καὶ ὡς ἄν τις φιλαλή-* 45 *θει μάλιστα χρώμενος σκοπῷ μήτε τὴν κατάληψιν αὐτοῦ παραβάλλοι τῇ τοῦ πρώτου καὶ ἀεὶ ὡσαύτως ἔχοντος βεβαιότητι, τὸ ἐν πολλοῖς ἀσθενὲς καὶ δυσείκαστον τῆς* m 2 *ὑλικῆς ποιότητος μὴ προσποιούμενος, μήτε πρὸς τὴν κατὰ τὸ ἐνδεχόμενον ἐπίσκεψιν ἀποκνοίη, τῶν γε πλεί-* 50 *στων καὶ ὁλοσχερεστέρων συμπτωμάτων ἐναργῶς οὕτως τὴν*
3 *ἀπὸ τοῦ περιέχοντος αἰτίαν ἐμφανιζόντων. ἐπεὶ δὲ πᾶν μὲν τὸ δυσέφικτον παρὰ τοῖς πολλοῖς εὐδιάβλητον ἔχει φύσιν, ἐπὶ δὲ τῶν προκειμένων δύο καταλήψεων αἱ μὲν τῆς προτέρας διαβολαὶ τυφλῶν ἂν εἶεν παντελῶς, αἱ δὲ τῆς* 55 *δευτέρας εὐπροφασίστους ἔχουσι τὰς ἀφορμὰς (ἢ γὰρ τὸ ἐπ' ἐνίων δυσθεώρητον ἀκαταληψίας τελείας δόξαν παρέσχεν ἢ τὸ τῶν γνωσθέντων δυσφύλακτον καὶ τὸ τέλος ὡς ἄχρηστον διέσυρε), πειρασόμεθα διὰ βραχέων πρὸ τῆς κατὰ μέρος ὑφηγήσεως τὸ μέτρον ἑκατέρου τοῦ τε δυνα-* 60

S 47 *ἀεὶ ὡσαύτως ἔχοντος* Synt. I 1 p. 6,24–25, inde CCAG V 3 (1910) p. 139,35 || 49 *ὑλικῆς ποιότητος* Synt. I 1 p. 5,19–20. Lucian. Icaromenipp. 4 || 55 *τυφλῶν* Hermipp. I 18 p. 5,4 || 59 *πειρασόμεθα διὰ βραχέων* Synt. I 1 p. 8,7–8. III 1 p. 194,6

43 *σοι*] *ἐν τῇ συντάξει* Y || 44 *ποιησώμεθα* V || 46 *χρώμενος σκοπῷ μάλιστα* Σ || 49 *μὴ* om. **α** | *προσποιούμενος*] *ἐπίπροσθεν ποιούμενος* Y || 51 *ὁλοσχερεστέρων* Y (cf. Heph. Procl.) *ὁλοσχερῶν* cett. || 52 post *ἐμφανιζόντων*: *ὅτι καταληπτὴ ἡ δι' ἀστρονομίας πρόγνωσις καὶ μέχρι τίνος* ex tit. cap. I 2 anticipavit Y || 55 post *προτέρας*: *τάξει καὶ δυνάμει* add. Σ, cf. 1,34 || 56 *εὐπροφασίστους* **αDMBC** *ἀπροφασίστους* **VSA** | *ἢ*] *καὶ* Y (et saepius) || 57 *δόξαν* om. Σ || 59 *ὡς* om. **MS** | *πρὸς* V || 60 *ἑκατέρου*] *ἐκ κέντρου* V

τοῦ καὶ τοῦ χρησίμου τῆς τοιαύτης προγνώσεως ἐπισκέψασθαι, καὶ πρῶτον τοῦ δυνατοῦ.

β′. Ὅτι καταληπτὴ ἡ δι' ἀστρονομίας γνῶσις καὶ μέχρι τίνος

65 *Ὅτι μὲν τοίνυν διαδίδοται καὶ διικνεῖταί τις δύναμις ἀπὸ* **1**
c 1ᵛ *τῆς αἰθερώδους καὶ ἀϊδίου φύσεως ἐπὶ πᾶσαν τὴν περίγειον καὶ δι' ὅλων μεταβλητήν, τῶν ὑπὸ τὴν σελήνην πρώτων στοιχείων πυρὸς καὶ ἀέρος περιεχομένων μὲν καὶ τρεπομένων ὑπὸ τῶν κατὰ τὸν αἰθέρα κινήσεων, περιεχόντων*
70 *δὲ καὶ συντρεπόντων τὰ λοιπὰ πάντα, γῆν καὶ ὕδωρ καὶ*
m 3 *τὰ ἐν αὐτοῖς φυτὰ καὶ ζῷα, πᾶσιν ἂν ἐναργέστατον καὶ δι' ὀλίγων φανείη. ὅ τε γὰρ ἥλιος διατίθησί πως ἀεὶ* **2** *μετὰ τοῦ περιέχοντος πάντα τὰ περὶ τὴν γῆν, οὐ μόνον διὰ τῶν κατὰ τὰς ἐτησίους ὥρας μεταβολῶν πρὸς γονὰς*
75 *ζῴων καὶ φυτῶν καρποφορίας καὶ ῥύσεις ὑδάτων καὶ σωμάτων μετατροπάς, ἀλλὰ καὶ διὰ τῶν καθ' ἑκάστην ἡμέραν περιόδων θερμαίνων τε καὶ ὑγραίνων καὶ ξηραίνων καὶ ψύχων τεταγμένως τε καὶ ἀκολούθως τοῖς πρὸς τὸν*

S 66 *αἰθερώδους καὶ ἀϊδίου φύσεως* Synt. I 3 p. 14,13–16 || **66–67** *περίγειον* Ap. I 2,3. 4,2.7. Val. II 1,6. IV 4,2. Iulian. Laodic. CCAG I (1898) p. 137,1 || **72–80** (§ 2) Cleomed. II 1 l. 362–367 Todd. Porph. 2 p. 190,25–191,27. Steph. philos. 19 p. 18 (p. 267,19–22)

63 tit. hic omissum 1,52 anticipavit **Y** | *β′* **V** *α′* **Dγ** om. **αMS** | *καταληπτικὴ* **A** || **67** *ὅλων* **VΣ** *ὅλου* **Yβγ** || **69** *τῶν*] *τὸν* **V** || **71** *ἐναργέστατον* **VΣDA** *ἐναργέστατα* **Y** *ἐνεργέστατον* **MSBC** || **74** *ἐτησίας* **β**, cf. 1,115 || **77** *ὑγραίνων τε καὶ θερμαίνων* **Y** || **78** *τὸν* (scilicet *τόπον*) **VS** *τῶν* **M** *τῷ* **α** *τὸ* **γ** *τῆς* **D**

κατὰ κορυφὴν ἡμῶν γινομένοις ὁμοιοτρόποις σχηματισ-
3 *μοῖς. ἥ τε σελήνη πλείστην ὡς περιγειοτάτη διαδίδωσιν* 80
ἡμῖν ἐπὶ τὴν γῆν τὴν ἀπόρροιαν, συμπαθούντων αὐτῇ καὶ
συντρεπομένων τῶν πλείστων καὶ ἀψύχων καὶ ἐμψύχων
καὶ ποταμῶν μὲν συναυξόντων καὶ συμμειούντων τοῖς φω-
σὶν αὐτῆς τὰ ῥεύματα, θαλασσῶν δὲ συντρεπουσῶν ταῖς
ἀνατολαῖς καὶ ταῖς δύσεσι τὰς ἰδίας ὁρμάς, φυτῶν δὲ καὶ 85
ζῴων ἢ ὅλων ἢ κατά τινα μέρη συμπληρουμένων τε αὐτῇ
4 *καὶ συμμειουμένων. αἵ τε τῶν ἀστέρων τῶν τε ἀπλανῶν*
καὶ τῶν πλανωμένων πάροδοι πλείστας ποιοῦσιν ἐπισημα-
σίας τοῦ περιέχοντος καυματώδεις καὶ πνευματώδεις καὶ
νιφετώδεις, ὑφ' ὧν καὶ τὰ ἐπὶ τῆς γῆς οἰκείως διατίθεται. 90
5 *ἤδη δὲ καὶ οἱ πρὸς ἀλλήλους αὐτῶν συσχηματισμοί, συν-*
ερχομένων πως καὶ συγκιρναμένων τῶν διαδόσεων, πλεί-
στας καὶ ποικίλας μεταβολὰς ἀπεργάζονται, κατακρατού-
σης μὲν τῆς τοῦ ἡλίου δυνάμεως πρὸς τὸ καθόλου τῆς
ποιότητος τεταγμένης, συνεργούντων δὲ ἢ ἀποσυνεργούν- 95
των κατά τι τῶν λοιπῶν, καὶ τῆς μὲν σελήνης ἐκφανέστε- m 4
ρον καὶ συνεχέστερον ὡς ἐν ταῖς συνόδοις καὶ διχοτόμοις

S 80–87 (§ 3) Cic. nat. deor. II 50 (cf. 119). div. II 33. Manil. II 90–104. al. ‖ **80** *περιγειοτάτη* Ap. I 2,1 (ubi plura) ‖ **87** *τῶν ἀστέρων* Theophr. Sign. 1

80 *πλεῖστα* **Y** om. **Σ** | *δίδωσι* **Σ** ‖ **81** *ἡμῖν* om. **α** | *ἐπὶ τὴν γῆν* **Vβγ** *ὑπὸ τὴν γῆν* **Y** (cf. 3,787.1420) *τοῖς πρὸς τῇ γῇ* **Σ** | *τὴν* ante *ἀπόρροιαν* om. **D** ‖ **82** *καὶ ἐμψύχων καὶ ἀψύχων* **Σ** ‖ **83** *καὶ συμμειούντων* om. **Y** ‖ **84** *αὐτῆς* **αSγ** *αὐτοῖς* **VDM** | *δὲ* om. **V** ‖ **86–87** *συγκληρουμένων τε αὐτῇ καὶ σημειουμένων* **Y** ‖ **87** *τε* alterum om. **γ** | *πλανωμένων καὶ τῶν ἀπλανῶν* **Y** ‖ **88** *περίοδοι* **Y** ‖ **89** *πνευματώδεις καὶ καυματώδεις* **Y** ‖ **91** *συσχηματισμοί* **Vβ** Procl. *σχηματισμοί* **αγ** ‖ **92** *πως*] *τε* **Σ** | *συγκρινομένων* **A** *συγκιρνωμένων* **BC** Procl., cf. 1,169 ‖ **94** post *μὲν*: *μετὰ* add. **Σ** ‖ **97** *καὶ διχοτόμοις* om. **βγ**

καὶ πανσελήνοις, τῶν δὲ ἀστέρων περιοδικώτερον καὶ ἀσημότερον, ὡς ἐν ταῖς φάσεσι καὶ κρύψεσι καὶ προσνεύσεσιν.
100 *ὅτι δὲ τούτων οὕτως θεωρουμένων οὐ μόνον τὰ ἤδη συγ-* 6
κραθέντα διατίθεσθαί πως ὑπὸ τῆς τούτων κινήσεως ἀναγκαῖον, ἀλλὰ καὶ τῶν σπερμάτων τὰς ἀρχὰς καὶ τὰς πληροφορήσεις διαπλάττεσθαι καὶ διαμορφοῦσθαι πρὸς τὴν οἰκείαν τοῦ τότε περιέχοντος ποιότητα, πᾶσιν ἂν δό-
105 *ξειεν ἀκόλουθον εἶναι. οἱ γοῦν παρατηρητικώτεροι τῶν* 7
γεωργῶν καὶ τῶν νομέων ἀπὸ τῶν κατὰ τὰς ὀχείας καὶ τὰς τῶν σπερμάτων καταθέσεις συμβαινόντων πνευμάτων στοχάζονται τῆς ποιότητος τῶν ἀποβησομένων· καὶ ὅλως τὰ μὲν ὁλοσχερέστερα καὶ διὰ τῶν ἐπιφανεστέρων συσχη-
110 *ματισμῶν ἡλίου καὶ σελήνης καὶ ἀστέρων ἐπισημαινόμενα*
c 2 *καὶ παρὰ τοῖς μὴ φυσικῶς, μόνον δὲ παρατηρητικῶς σκεπτομένοις ὡς ἐπίπαν προγινωσκόμενα θεωροῦμεν, τὰ* 8
μὲν ἐκ μείζονός τε δυνάμεως καὶ ἁπλουστέρας τάξεως καὶ παρὰ τοῖς πάνυ ἰδιώταις, μᾶλλον δὲ καὶ παρ' ἐνίοις τῶν
115 *ἀλόγων ζῴων, ὡς τῶν ὡρῶν καὶ τῶν πνευμάτων τὰς ἐτησίους διαφοράς (τούτων γὰρ ὡς ἐπίπαν ὁ ἥλιος αἴτιος), τὰ δὲ ἧττον οὕτως ἔχοντα παρὰ τοῖς ἤδη κατὰ τὸ ἀναγκαῖον*

S **99** *φάσεσι καὶ κρύψεσι* Theophr. Sign. 1 || **106** *γεωργῶν* Cic. div. I 112. Porph. 2 p. 191,17 || **111** *μόνον δὲ παρατηρητικῶς* Gem. 17,23 || **114** *πάνυ ἰδιώταις* Ap. II 11,6 || **115** *ἀλόγων ζῴων* Theophr. Sign. 15–19. Arat. 913–923. al. Verg. georg. I 360–423. Manil. II 99–104. Porph. 2 p. 191,21–23.

98 *ἀσυμότερον* **V** || **99** *ὡς* om. **γ** | *ταῖς πλαταῖς προσνεύσεσιν* **Y** || **100** *ἤδη*] *εἴδη* **γ** postea *καὶ γινόμενα καὶ φθειρόμενα* add. **Y** || **104** *πᾶσιν* **VY** *καὶ πᾶσιν* **Σβγ** || **105–106** *τὸν δὲ γεωργὸν καὶ τὸν νομαῖον* **Y** || **106** *καὶ τὰς* **α** *καὶ* **Vβγ** || **109** *σχηματισμῶν* **Y** || **110** *ἐπισημαινομένων* **Y** || **112** *ἐπισκεπτομένοις* **Y** | *προσγινωσκόμενα* **V** || **114–116** *μᾶλλον ... αἴτιος* om. **γ** || **115** *ἐτησίας* **DM**, cf. 1,74

ταῖς παρατηρήσεσιν ἐνειθισμένοις, ὡς τοῖς ναυτιλλομένοις m5
τὰς κατὰ μέρος τῶν χειμώνων καὶ τῶν πνευμάτων ἐπισημα-
σίας ὅσαι γίνονται κατὰ τὸ περιοδικώτερον ὑπὸ τῶν τῆς 120
σελήνης ἢ καὶ τῶν ἀπλανῶν ἀστέρων πρὸς τὸν ἥλιον συ-
9 *σχηματισμῶν. παρὰ μέντοι τὸ μήτε αὐτῶν τούτων τοὺς*
χρόνους καὶ τοὺς τόπους ὑπὸ ἀπειρίας ἀκριβῶς δύνασθαι
κατανοεῖν μήτε τὰς τῶν πλανωμένων ἀστέρων περιόδους
(πλεῖστον καὶ αὐτὰς συμβαλλομένας) τὸ πολλάκις αὐτοῖς 125
10 *σφάλλεσθαι συμβαίνει. τί δὴ οὖν κωλύει τὸν ἠκριβωκότα*
μὲν τάς τε πάντων τῶν ἀστέρων καὶ ἡλίου καὶ σελήνης κι-
νήσεις, ὅπως αὐτὸν μηδενὸς τῶν σχηματισμῶν μήτε ὁ τό-
πος μήτε ὁ χρόνος λανθάνῃ, διειληφότα δὲ ἐκ τῆς ἔτι ἄνω-
θεν συνεχοῦς ἱστορίας ὡς ἐπίπαν αὐτῶν τὰς φύσεις, κἂν 130
μὴ τὰς κατ' αὐτὸ τὸ ὑποκείμενον, ἀλλὰ τάς γε δυνάμει
ποιητικάς (οἷον ὡς τὴν τοῦ ἡλίου ὅτι θερμαίνει καὶ τὴν τῆς
σελήνης ὅτι ὑγραίνει, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως), ἱκανὸν
δὲ πρὸς τοιαῦτα ὄντα φυσικῶς ἅμα καὶ εὐστόχως ἐκ τῆς

S **118** *ναυτιλλομένοις* Porph. 2 p. 191,17–19 ‖ **132–135** Ap. IV 10,27

121 *σχηματισμῶν* **Y** Procl. ‖ **122–123** *παρὰ ...χρόνους*] *παρὰ μήτε τὸ τοὺς αὐτῶν τούτων χρόνους* **Y** ‖ **124** *τῶν* om. **A** ‖ **125** *αὐτοῖς*] *αὐτοὺς* **Bc** ‖ **126** *τὸν*] *τῶν* **V** ‖ **128** *σχηματισμῶν* **VΣSA** *συσχηματισμῶν* **YDMBC** Procl. ‖ **129** *λανθάνῃ* **YSγ** *λανθάνει* **V** *λανθάνοι* **ΣDM** | post *δὲ*: *ὡς ἐπίπαν αὐτὰ φύσει* anticipavit **Σ** ‖ **130** *ἱστορίας* om. **Y** | *ὡς ἐπίπαν ... φύσει⟨ς⟩* hic om. **Σ** | *αὐτῶν τὰς* **β** *αὐτῶν* **Y** *αὐτὰς τὰς* **γ** *αὐτὰ* **VΣ** | *τὰς φύσεις* **βγ** Procl. *φύσει* **VΣ** (cf. l. 130) *φήσῃ* (abbr.) **Y** ‖ **131** *κατ' αὐτὸ τὸ*] *κατὰ τὴν οὐσίαν τῶν ἀστέρων κατ' αὐτὸν* **Y** ‖ **132** *ποιητικάς*] *ποιότητας* **Bm** ‖ **133** *ὑγραίνει*] *ψυχραίνῃ ἢ ὅτι ὑγραίνῃ* **Y** ‖ **134** *δὲ*] *εἶναι* **γ**

135 *συγκρίσεως πάντων τὸ ἴδιον τῆς ποιότητος διαλαβεῖν, ὡς δύνασθαι μὲν ἐφ' ἑκάστου τῶν διδομένων καιρῶν ἐκ τῆς τότε τῶν φαινομένων σχέσεως τὰς τοῦ περιέχοντος ἰδιοτροπίας εἰπεῖν (οἷον ὅτι θερμότερον ἢ ὑγρότερον ἔσται), δύνασθαι δὲ καὶ καθ' ἕνα ἕκαστον τῶν ἀνθρώπων τήν* **11**
m 6 140 *τε καθόλου ποιότητα τῆς ἰδιοσυγκρισίας ἀπὸ τοῦ κατὰ τὴν σύστασιν περιέχοντος συνιδεῖν (οἷον ὅτι τὸ μὲν σῶμα τοιόσδε, τὴν δὲ ψυχὴν τοιόσδε), καὶ τὰ κατὰ καιροὺς συμπτώματα, διὰ τὸ τὸ μὲν τοιόνδε περιέχον τῇ τοιᾷδε συγκρίσει σύμμετρον ἢ καὶ πρόσφορον γίνεσθαι πρὸς εὐεξίαν, τὸ*
145 *δὲ τοιόνδε ἀσύμμετρον καὶ πρόσφορον πρὸς κάκωσιν;*

ἀλλὰ γὰρ τὸ μὲν δυνατὸν τῆς τοιαύτης καταλήψεως διὰ **12** *τούτων καὶ τῶν ὁμοίων ἔστι συνιδεῖν. ὅτι δὲ εὐπροφασίστως μέν, οὐ προσηκόντως δὲ τὴν πρὸς τὸ ἀδύνατον ἔσχε διαβολήν, οὕτως ἂν κατανοήσαιμεν. πρῶτον μὲν γὰρ τὰ*
150 *πταίσματα τῶν μὴ ἀκριβούντων τὸ ἔργον πολλὰ ὄντα ὡς ἐν μεγάλῃ καὶ πολυμερεῖ θεωρίᾳ καὶ τοῖς ἀληθευομένοις τὴν τοῦ ἐκ τύχης παρέσχε δόξαν, οὐκ ὀρθῶς· τὸ γὰρ τοιοῦτον οὐ τῆς ἐπιστήμης, ἀλλὰ τῶν μεταχειριζομένων ἐστὶν ἀδυναμία. ἔπειτα καὶ οἱ πλεῖστοι τοῦ πορίζειν ἕνεκεν* **13**

S 149–152 Cic. nat. deor. II 12. div. I 118.124. Gem. 17,23 extr. Firm. math. I 3,8

135 *συκρίσεως* **Ym** *συγκράσεως* **VΣβγc**, cf. Achmetem CCAG II (1900) p. 122,15 et 1,143.185.243.369. al. necnon 1,141.340. 3,93 | *τὸ* om. **VY** ‖ **140** *ἰδιοσυγκρισίας* **VD** *ἰδιοσυγκρησίας* **Y** *ἰδιοσυγκρασίας* **ΣMSγ**, cf. 1,275.335. 3,866 necnon supra l. 135 ‖ **143** *συγκρίσει* **Y** *συγκράσει* **VΣβγ**, cf. l. 135 ‖ **145** *πρὸς*] *εἰς* **Σ** ‖ **147** *τούτων*] *τοῦτο* **VD** ‖ **149** *κατανοήσαμεν* **V** ‖ **152** *τοῦ* **Y** *τούτου* cett. (recepit Robbins) ‖ **154** *ἀδυνάμενα* **V**

ἑτέραν τέχνην τῷ ταύτης ὀνόματι καταξιοπιστευόμενοι 155
τοὺς μὲν ἰδιώτας ἐξαπατῶσι πολλὰ προλέγειν δοκοῦντες
καὶ τῶν μηδεμίαν φύσιν ἐχόντων προγινώσκεσθαι, τοῖς δὲ c 2v
ζητητικωτέροις διὰ τούτου παρέσχον ἀφορμὴν ἐν ἴσῳ καὶ
τῶν φύσιν ἐχόντων προλέγεσθαι καταγινώσκειν, οὐδὲ τοῦ-
το δεόντως· οὐδὲ γὰρ φιλοσοφίαν ἀναιρετέον, ἐπεί τινες 160
14 *τῶν προσποιουμένων αὐτὴν πονηροὶ καταφαίνονται. ἀλλ'*
ὅμως ἐναργές ἐστιν ὅτι κἂν διερευνητικῶς τις ὡς ἔνι μάλι- m 7
στα καὶ γνησίως τοῖς μαθήμασι προσέρχηται, πολλάκις
πταίειν αὐτὸν ἐνδέχεται, δι' οὐδὲν μὲν τῶν εἰρημένων, δι'
αὐτὴν δὲ τὴν τοῦ πράγματος φύσιν καὶ τὴν πρὸς τὸ μέγε- 165
15 *θος τῆς ἐπαγγελίας ἀσθένειαν. καθόλου γάρ, πρὸς τῷ τὴν*
περὶ τὸ ποιὸν τῆς ὕλης θεωρίαν πᾶσαν εἰκαστικὴν εἶναι
καὶ οὐ διαβεβαιωτικὴν καὶ μάλιστα τὴν ἐκ πολλῶν ἀν-
ομοίων συγκιρναμένην, ἔτι καὶ τοῖς παλαιοῖς τῶν πλανω-
μένων συσχηματισμοῖς, ἀφ' ὧν ἐφαρμόζομεν τοῖς ὡσαύτως 170
ἔχουσι τῶν νῦν τὰς ὑπὸ τῶν προγενεστέρων ἐπ' ἐκείνων
παρατετηρημένας προτελέσεις, παρόμοιοι μὲν [γὰρ] δύναν-
ται γίνεσθαι μᾶλλον ἢ ἧττον καὶ οὗτοι διὰ μακρῶν περι-

S 160–161 Plat. Gorg. 457A ‖ **167** *θεωρίαν πᾶσαν εἰκαστικὴν* Synt. I 1 p. 6,12–17

155 *καταξιοπιστευόμενοι*] *καὶ ἀξίᾳ προστησάμενοι καὶ πιστευόμενοι* Σ (cf. *διὰ τὴν ἀξιοπιστίαν* Procl.) ‖ **156** *διαπατῶσι* **Y** ‖ **158** *ἴσῳ* **VY** *ἑκάστῳ* **Σβγ** ‖ **159** *προλέγεσθαι*] *πως λέγεσθαι* (post *φύσιν*) **Y** *προγινώσκεσθαι* Σ ‖ **168** *τὴν*] *τῶν* **V** ut 1,832.838. 2,868. al., vice versa 3,572.671, cf. 3,883 ‖ **169** *συγκειμένην* **Y** *συγκιρνωμένων* **γ**, cf. 1,92 ‖ **170** *σχηματισμοῖς* **Y** ‖ **171** *γενεστέρων* **Y** ‖ **172** *παρατετηρημένας* **α** *παρατηρημένας* **V** *τετηρημένας* **βγ** | post *προτελέσεις*: *μὴ καθάπαξ τοὺς αὐτοὺς συμβεβηκέναι τοὺς νῦν* add. Σ | *γὰρ* **ω** (non ita Procl.) del. Boll Robbins

όδων, ἀπαράλλακτοι δὲ οὐδαμῶς, τῆς πάντων ἐν τῷ οὐ- 16
175 *ρανῷ μετὰ τῆς γῆς κατὰ τὸ ἀκριβὲς συναποκαταστάσεως,*
εἰ μή τις κενοδοξοίη περὶ τὴν τῶν ἀκαταλήπτων κατάληψιν
καὶ γνῶσιν, ἢ μηδ' ὅλως ἢ μὴ κατά γε τὸν αἰσθητὸν
ἀνθρώπῳ χρόνον ἀπαρτιζομένης, ὡς διὰ τοῦτο καὶ τὰς
προρρήσεις ἀνομοίων ὄντων τῶν ὑποκειμένων παραδειγμά-
180 *των ἐνίοτε διαμαρτάνεσθαι.*

περὶ μὲν οὖν τὴν ἐπίσκεψιν τῶν κατὰ τὸ περιέχον γινο- 17
μένων συμπτωμάτων τοῦτ' ἂν εἴη μόνον τὸ δυσχερές, μη-
δεμιᾶς ἐνταῦθα συμπαραλαμβανομένης αἰτίας τῇ κινήσει
m 8 *τῶν οὐρανίων. περὶ δὲ τὰς γενεθλιαλογίας καὶ ὅλως τὰ[ς]* 18
185 *κατ' ἰδίαν τῆς ἑκάστου συγκρίσεως οὐ μικρὰ οὐδὲ τὰ τυ-*
χόντα ἔστιν ἰδεῖν συναίτια καὶ αὐτὰ γινόμενα τῆς τῶν
συνισταμένων ἰδιοτροπίας. αἵ τε γὰρ τῶν σπερμάτων δια-
φοραὶ πλεῖστον δύνανται πρὸς τὸ τοῦ γένους ἴδιον, ἐπειδή-
περ τοῦ περιέχοντος καὶ τοῦ ὁρίζοντος ὑποκειμένου τοῦ
190 *αὐτοῦ κατακρατεῖ[ν] τῶν σπερμάτων ἕκαστον εἰς τὴν καθ-*
όλου τοῦ οἰκείου μορφώματος διατύπωσιν (οἷον ἀνθρώ-

S **187** *σπερμάτων* Cic. div. II 94 ‖ **191–192** *ἀνθρώπου καὶ ἵπ-που* Plotin. Enn. II 3,12

177 *ἢ μηδ' ὅλως* om. **Y** | *τὸν … χρόνον*] *τῶν αἰσθητῶν ἀνθρώπων χρόνῳ* **Y** ‖ **178** *καταρτιζομένης* **D** ‖ **179** *προρρήσεις* **ω** (*πρω-* **Y**) c (asterisco notatum) *παρατηρήσεις* add. **Σ** (in margine) **m** ‖ **182** *συμπτωμάτων* **YMS** *συναπτωμάτων* **VDγ** om. **Σ** | *καὶ μηδεμιᾶς* **V** (recepit Boll) ‖ **183** *αἰτίας* om. **C** ‖ **184** *γενεθλιαλογικὰς* **V** *…κὰς* add. **Σ** in margine | *τὰ* Boll (dubitanter recepi) *τὰς* **ωc** *τὰς προρρήσεις* **m** ‖ **185** *κατ' ἰδίαν*] *κατὰ δι' αὐτὰς* **Y** | *ἑκάστης* **Y** | *συγκρίσεως* **VΣβ** *συγκρήσιως* **Y** *συγκράσεως* **γ**, cf. 1,135 ‖ **186** *ἐστὶν* Boll ‖ **187** *ἐνισταμένων* **Y** ‖ **190** *κατακρατεῖ* Boll Robbins tacite *κατακρατεῖν* **ω** (*κρατε* **Y**)

που καὶ ἵππου καὶ τῶν ἄλλων)· οἵ τε τόποι τῆς γενέσεως οὐ μικρὰς ποιοῦνται τὰς περὶ τὰ συνιστάμενα παραλλαγάς.
19 *καὶ τῶν σπερμάτων γὰρ κατὰ γένος ὑποκειμένων τῶν αὐτῶν (οἷον ἀνθρωπίνων) καὶ τῆς τοῦ περιέχοντος κατα-* 195
στάσεως τῆς αὐτῆς, παρὰ τὸ τῶν χωρῶν διάφορον πολὺ καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς οἱ γεννώμενοι διήνεγκαν· πρὸς δὲ τούτοις αἵ τε τροφαὶ καὶ τὰ ἔθη πάντων τῶν προκειμένων ἀδιαφόρων ὑποτιθεμένων συμβάλλονταί τι πρὸς τὰς κατὰ μέρος τῶν βίων διαγωγάς. ὧν ἕκαστον ἐὰν μὴ 200
συνδιαλαμβάνηται ταῖς ἀπὸ τοῦ περιέχοντος αἰτίαις, εἰ c 3
καὶ ὅτι μάλιστα τὴν πλείστην ἔχει τοῦτο δύναμιν (τῷ τὸ μὲν περιέχον κἀκείνοις αὐτοῖς εἰς τὸ τοιοῖσδε εἶναι συναίτιον γίνεσθαι, τούτῳ δὲ ἐκεῖνα μηδαμῶς), πολλὴν ἀπορίαν δύνανται παρέχειν τοῖς ἐπὶ τῶν τοιούτων οἰομένοις ἀπὸ 205
μόνης τῆς τῶν μετεώρων κινήσεως πάντα (καὶ τὰ μὴ τέ- m 9
λεον ἐπ' αὐτῇ) δύνασθαι διαγινώσκειν.

S 192 *τόποι τῆς γενέσεως* Cic. div. II 93. Hermipp. II 49

193 *τὰς περὶ τὰ* **Σ** Robbins *τὰς περὶ τὰς* **Y** *περὶ τὰ* **Vβγ** ‖ **194** *γὰρ* om. **βγ** | *ὑποκειμένων κατὰ γένος* **γ** | *τῶν* om. **α** ‖ **195** *αὐτῶν* om. **Y** | post *ἀνθρωπίνων*: *καὶ τῶν τοιούτων ἐμψύχων* add. **Y** | *καὶ τῆς* – l. **248** *συμφέροντος* hic om. post 1,302 transtulit **Y** ‖ **197** *γεννώμενοι* **βγ** *γενόμενοι* **VΣ** (recepit Robbins) *γενάμενοι* **Y** ‖ **198** *αἵ τε*] *ἔτι* **Y** ut 3,997 | *προκειμένων ἀδιαφόρων* **VΣDγ** *προκειμένων διαφόρων* **MS** *κειμένων διαφόρων* **Y** ‖ **200** *βίων*] *νέων* **V** ‖ **201** *συνδιαλαμβάνηται* **VΣS** *συμπαραλαμβάνηται* **Y** *συλλαμβάνηται* **DM** *συλλαμβάνεται* **γ** | *ταῖς … αἰτίαις*] *τῆς … αἰτίας* **β** ‖ **204** *δὲ* om. **β** ‖ **205** *δύνανται* ad sensum] *δύναται* **S** (recepit Boll) | *οἰομένους* **V** ‖ **206** *τῆς* om. **V** | *καὶ* (*πάντα* **C**) … *αὐτῇ* om. **γ** (**BC** lacuna relicta) | *τὰ* om. **Y** ‖ **207** *ἐπ'* om. **β** | *αὐτῇ* **VΣ** *αὐτὴν* **YMSA**[2] *αὐτὰ* **D**

τούτων δὲ οὕτως ἐχόντων προσῆκον ἂν εἴη μήτε, ἐπειδὴ **20**
διαμαρτάνεσθαί ποτε τὴν τοιαύτην πρόγνωσιν ἐνδέχεται,
210 *καὶ τὸ πᾶν αὐτῆς ἀναιρεῖν, ὥσπερ οὐδὲ τὴν κυβερνητικὴν*
διὰ τὸ πολλάκις πταίειν ἀποδοκιμάζομεν, ἀλλ' ὡς ἐν με-
γάλοις οὕτως καὶ θείοις ἐπαγγέλμασιν ἀσπάζεσθαι καὶ
ἀγαπητὸν ἡγεῖσθαι τὸ δυνατόν, μήτ' αὖ πάλιν πάντα ἡμῖν
ἀνθρωπίνως καὶ ἐστοχασμένως αἰτεῖν παρ' αὐτῆς, ἀλλὰ
215 *συμφιλοκαλεῖν καὶ ἐν οἷς οὐκ ἦν ἐπ' αὐτῇ τὸ πᾶν ἐφοδιά-*
ζειν· καὶ ὥσπερ τοῖς ἰατροῖς ὅταν ἐπιζητῶσί τινα, καὶ περὶ
αὐτῆς τῆς νόσου καὶ περὶ τῆς τοῦ κάμνοντος ἰδιοτροπίας
οὐ μεμψόμεθα λέγουσιν, οὕτως καὶ ἐνταῦθα τὰ γένη καὶ
τὰς χώρας καὶ τὰς τροφὰς ἢ καί τινα τῶν ἤδη συμβεβη-
220 *κότων μὴ ἀγανακτεῖν ὑποτιθεμένοις.*

S **210** *κυβερνητικὴν* Cic. div. I 24, cf. Lucian. Astrol. 2 ‖ **212** *θείοις … ἀσπάζεσθαι* Plat. Tim. 29 ‖ **214** *ἀνθρωπίνως* Iambl. Myst. 9,1 extr. ‖ **214–216** *ἐστοχασμένως … ὥσπερ τοῖς ἰατροῖς* Ap. III 2,6. al. Steph. philos. CCAG II (1900) p. 186,3–6, cf. Hippocr. De victu acutorum 8 (VI [2] 39,17 Joly)

208 *προσῆκον*] *πρὸς οἶκον* **V** ‖ **209** *ποτε* **Vα** *ποτε κατὰ* **β** *ποτε μὲν κατὰ* **γ** ‖ **210** *ἀναιρεῖν* **Vα** *ἀθετεῖν* **βγ** | *τὴν κυβερνητικὴν*] *κυβερνητικοὺς* **ΣΒ** ‖ **213** *πάντα*] *μὴ πάντα* **VYD** ‖ **213** *πάντα ἡμῖν ἀνθρωπίνως*] *πάντα ἀνθρωπίνως* **M** *ἀν(θρωπ)ίνως πάντα* **S** ‖ **214** *ἀλλὰ* om. **D** ‖ **215** *ἀνθρωπίνως καὶ ἐστοχασμένως* ante *συμφιλοκαλεῖν* transposuit Boll haud scio an recte | *οὐκ ἦν ἐπ' αὐτῇ* om. **γ** lacunam relinquens | *ἐπ' αὐτῇ* Boll Robbins (nihil monens) *ἐπ' αὐτὴν* **Vα** *ἐν αὐτῇ* **βA**[2] ‖ **216** *καὶ ὥσπερ* **Vα** *ὥσπερ καὶ* **βγ** ‖ **217** *αὐτῆς*] *αὐτοῦ* **V** ‖ **218** *μεμψόμεθα* **VΣ** *μεμφόμεθα* **Yβγ** | *λέγουσιν* **Σ** (recepit Robbins) *λέγοντες* **VYβγ** (praetulit Boll) ‖ **220** *ὑποτιθεμένους* **c** Boll

γ΄. Ὅτι καὶ ὠφέλιμος

1 *Τίνα μὲν οὖν τρόπον δυνατὸν γίνεται τὸ δι᾽ ἀστρονομίας προγνωστικὸν καὶ ὅτι μέχρι μόνων ἂν φθάνοι τῶν τε κατ᾽ αὐτὸ τὸ περιέχον συμπτωμάτων καὶ τῶν ἀπὸ τῆς τοιαύτης αἰτίας τοῖς ἀνθρώποις παρακολουθούντων (ταῦτα δ᾽ ἂν εἴη* 225 *περί τε τὰς ἐξ ἀρχῆς ἐπιτηδειότητας δυνάμεων καὶ πράξεων σώματος καὶ ψυχῆς καὶ τὰ κατὰ καιροὺς αὐτῶν* m 10 *πάθη πολυχρονιότητάς τε καὶ ὀλιγοχρονιότητας, ἔτι δὲ καὶ ὅσα τῶν ἔξωθεν κυρίαν τε καὶ φυσικὴν ἔχει πρὸς τὰ πρῶτα συμπλοκὴν ὡς πρὸς τὸ σῶμα μὲν ἡ κτῆσις καὶ ἡ* 230 *συμβίωσις, πρὸς δὲ τὴν ψυχὴν ἥ τε τιμὴ καὶ τὸ ἀξίωμα, καὶ τὰς τούτων κατὰ καιροὺς τύχας), σχεδὸν ὡς ἐν κεφα-*
2 *λαίοις γέγονεν ἡμῖν δῆλον. λοιπὸν δ᾽ ἂν εἴη τῶν προκειμένων τὴν κατὰ τὸ χρήσιμον ἐπίσκεψιν διὰ βραχέων ποιήσασθαι πρότερον διαλαβοῦσι, τίνα τρόπον καὶ πρὸς τί τέ-* 235 *λος ἀφορῶντες τὴν αὐτοῦ τοῦ χρησίμου δύναμιν ἐκδεξόμεθα. εἰ μὲν γὰρ πρὸς τὰ τῆς ψυχῆς ἀγαθά, τί ἂν εἴη συμφορώτερον πρὸς εὐπραγίαν καὶ χαρὰν καὶ ὅλως εὐαρέστησιν τῆς τοιαύτης προγνώσεως, καθ᾽ ἣν τῶν τε ἀνθρωπί-*

S **222–233** (§ 1) Iambl. Protr. 6 p. 37,22 P. ‖ **239–240** *ἀνθρωπίνων καὶ τῶν θείων* Plat. Phaedr. 259[D]

221 *γ΄* V *β΄* **Dγ** *ι΄* Y om. **ΣMS** | tit. **VΣDSγ** *ὅτι καὶ ὠφέλιμος ὁ* [i. *ἡ*] *δι᾽ ἀστρονομίας πρόγνωσις* **Y** (cf. 1,8) om. **M** ‖ **222** *δυνατὸν* om. **Dγ** ‖ **223** *μόνον* **α** ‖ **224** *τοιαύτης* **VΣ** *αὐτῆς* **Yβγ** ‖ **225** *εἶεν* **βγ** ‖ **226** *ἐξαρχῆς* contraxerunt c Boll, sed cf. e.g. 1,261 ‖ **228** *δὲ* om. **V** ‖ **230** *κτίσις* **VDM** (corr. D²), cf. 4,48.570.795 necnon e.g. Ant. CCAG VIII 3 (1912) p. 117,8 | *ἡ*] *εἰ* **VYD** ‖ **231** *τιμὴ*] *γονὴ* **Y** ‖ **232** *τὰς*] *ταῖς* **V** | *κεφαλαίῳ* **c** ‖ **235–509** *τίνα … ἰδίως* **excidit in Σ**: desunt quattuor folia ‖ **236** *ἐκδεξόμεθα* **VY** *ἐκδεξαίμεθα* **βγ** ‖ **238** *συμφορώτερον* **VY** *σπουδαιότερον* **MSγ** (omnes post **239** *προγνώσεως* posuerunt) om. **D** ‖ **239** *γνώσεως* **MS**

240 *νων καὶ τῶν θείων γινόμεθα συνορατικοί; εἰ δὲ πρὸς τὰ* 3
τοῦ σώματος, πάντων ἂν μᾶλλον ἡ τοιαύτη κατάληψις ἐπι-
c 3v *γινώσκοι τὸ οἰκεῖόν τε καὶ πρόσφορον τῇ καθ' ἑκάστην*
σύγκρισιν ἐπιτηδειότητι. εἰ δὲ μὴ πρὸς πλοῦτον ἢ δόξαν ἢ
τὰ τοιαῦτα συνεργεῖ, προχωρήσει καὶ περὶ πάσης φιλοσο-
245 *φίας τὸ αὐτὸ τοῦτο φάσκειν· οὐδενὸς γὰρ τῶν τοιούτων*
ἐστὶν ὅσον τὸ ἐφ' ἑαυτῇ περιποιητική. ἀλλ' οὔτ' ἐκείνης
διὰ τοῦτ' ἂν οὔτε ταύτης καταγινώσκοιμεν δικαίως, ἀφέ-
μενοι τοῦ πρὸς τὰ μείζω συμφέροντος.

m 11 *ὅλως δ' ἂν ἐξετάζουσι φανεῖεν ἂν οἱ τὸ ἄχρηστον τῆς* 4
250 *καταλήψεως ἐπιμεμφόμενοι πρὸς οὐδὲν τῶν κυριωτάτων*
ἀφορῶντες, ἀλλὰ πρὸς αὐτὸ τοῦτο μόνον, ὅτι τῶν πάντῃ
πάντως ἐσομένων ἡ πρόγνωσις περισσή, καὶ τοῦτο δὲ
ἁπλῶς πάνυ καὶ οὐκ εὖ διειλημμένως. πρῶτον μὲν γὰρ δεῖ 5
σκοπεῖν, ὅτι καὶ ἐπὶ τῶν ἐξ ἀνάγκης ἀποβησομένων τὸ μὲν
255 *ἀπροσδόκητον τούς τε θορύβους ἐκστατικοὺς καὶ τὰς χα-*
ρὰς ἐξοιστικὰς μάλιστα πέφυκε ποιεῖν, τὸ δὲ προγινώσκειν
ἐθίζει καὶ ῥυθμίζει τὴν ψυχὴν τῇ μελέτῃ τῶν ἀπόντων ὡς
παρόντων καὶ παρασκευάζει μετ' εἰρήνης καὶ εὐσταθείας
ἕκαστα τῶν ἐπερχομένων ἀποδέχεσθαι. ἔπειθ' ὅτι μηδ' οὔ- 6

T 249–285 (§ 4–8) Heph. I pr. 3–5

S 251–252 *τῶν πάντῃ πάντως ἐσομένων* Hermipp. I 56 ‖ **257** *ῥυθμίζει τὴν ψυχὴν* Synt. I 1 p. 5,2

242 *τε* **VY** om. **βγ** | *τῇ … ἐπιτηδειότητι* **VY** *τῆς … ἐπιτηδειότητος* **βγ** ‖ **243** *σύγκρισιν* **VYβ** *σύγκρασιν* **γ**, cf. 1,135 ‖ **244** *συνεργεῖ* **VY** om. **βγ** ‖ **248** *τὰ μείζω* **VY** (cf. *τὰ μείζων* Procl.) *τὸ μεῖζον* **βγ** ‖ **249** *ἄχρηστον* **VY** Heph. *εὔχρηστον* **βγ** ‖ **254** *ἐπὶ*] *ἀπὸ* **Y**, cf. 2,887. 3,646.649. 4,531 ‖ **256** *δὲ* **VYS** Heph. *γὰρ* **DMγ**

τως ἅπαντα χρὴ νομίζειν τοῖς ἀνθρώποις ἀπὸ τῆς ἄνωθεν 260
αἰτίας παρακολουθεῖν ὥσπερ ἐξ ἀρχῆς ἀπό τινος ἀλύτου
καὶ θείου προστάγματος καθ' ἕνα ἕκαστον νενομοθετημένα
καὶ ἐξ ἀνάγκης ἀποβησόμενα, μηδεμιᾶς ἄλλης ἁπλῶς αἰ-
τίας ἀντιπρᾶξαι δυναμένης, ἀλλ' ὡς τῆς μὲν τῶν οὐρανίων
κινήσεως καθ' εἱμαρμένην θείαν καὶ ἀμετάπτωτον ἐξ 265
αἰῶνος ἀποτελουμένης, τῆς δὲ τῶν ἐπιγείων ἀλλοιώσεως
καθ' εἱμαρμένην φυσικὴν καὶ μεταπτωτήν, τὰς πρώτας αἰ-
τίας ἄνωθεν λαμβανούσης κατὰ συμβεβηκὸς καὶ κατ'
7 *ἐπακολούθησιν, καὶ ὡς τῶν μὲν διὰ καθολικωτέρας περι-*
στάσεις τοῖς ἀνθρώποις συμβαινόντων, οὐχὶ δὲ ἐκ τῆς 270
ἰδίας ἑκάστου φυσικῆς ἐπιτηδειότητος (ὡς ὅταν κατὰ με- m 12
γάλας καὶ δυσφυλάκτους τοῦ περιέχοντος τροπὰς ἐκ πυρώ-
σεων ἢ λοιμῶν ἢ κατακλυσμῶν κατὰ πλήθη διαφθαρῶσιν),
ὑποπιπτούσης ἀεὶ τῆς βραχυτέρας αἰτίας τῇ μείζονι καὶ
ἰσχυροτέρᾳ, τῶν δὲ κατὰ τὴν ἑνὸς ἑκάστου φυσικὴν ἰδιο- 275
συγκρισίαν διὰ μικρὰς καὶ τὰς τυχούσας τοῦ περιέχοντος
ἀντιπαθείας.

8 *τούτων γὰρ οὕτως διαληφθέντων φανερὸν ὅτι καὶ καθ-*
όλου καὶ κατὰ μέρος ὅσων μὲν συμπτωμάτων τὸ πρῶτον

S 267–268 *τὰς πρώτας αἰτίας ἄνωθεν* Serv. Aen. XI 51 ‖ **269–273** (§ 7 in.) Stob. Ecl. I 21,9 p. 191,19–23 W.-H. (= Herm. Exc. VI 8)

260 *ἅπαντα* **βγ** Heph. (post *νομίζειν*) *ἕκατα* **V** *ἕκαστα* **Y** (recepit Robbins) ‖ **262** *ἕνα* **VYγ** *ἓν* **β** ‖ **266** *ἐπιγείων* **VDγ** *περιγείων* **YMS** ‖ **267** *πρώτας* **VY** om. **βγ** ‖ **271** *ἰδίας* om. **Y** ‖ **272** *πυρώσεων* **VY** *πυρώσεως* **βγ** (*ἐπὶ* ...) *ἐκπυρώσεων* Heph. ‖ **275** *ἑνὸς* **VY** om. **MSγ** *ἰδιοσυγκρισίαν* **VY** *ἰδιο-συγκρασίαν* **βγ**, cf. 1,140 ‖ **278** *καὶ καθόλου* iteravit **V** ‖ **279** *ὅσων μὲν* **V** *ὅσον μὲν* **Y** *ὧν* **β** *ἐφ' ὧν* **γ**

280 *αἴτιον ἄμαχόν τέ ἐστι καὶ μεῖζον παντὸς τοῦ ἀντιπράτ-
τοντος, ταῦτα καὶ πάντῃ πάντως ἀποβαίνειν ἀνάγκη, ὅσα
δὲ μὴ οὕτως ἔχει, τούτων τὰ μὲν ἐπιτυχόντα τῶν ἀντιπα-
θησόντων εὐανάτρεπτα γίνεται, τὰ δὲ μὴ εὐπορήσαντα
καὶ αὐτὰ ταῖς πρώταις φύσεσιν ἀκολουθεῖ, δι' ἄγνοιαν μέν-*
285 *τοι καὶ οὐκ ἔτι διὰ τὴν τῆς ἰσχύος ἀνάγκην. τὸ δ' αὐτὸ ἄν* 9
*τις ἴδοι συμβεβηκὸς καὶ ἐπὶ πάντων ἁπλῶς τῶν φυσικὰς
ἐχόντων τὰς ἀρχάς· καὶ γὰρ καὶ λίθων καὶ φυτῶν καὶ
ζῴων, ἔτι δὲ καὶ τραυμάτων καὶ παθῶν καὶ νοσημάτων τὰ*
c 4 *μὲν ἐξ ἀνάγκης τι ποιεῖν πέφυκε, τὰ δ' ἂν μηδὲν τῶν*
290 *ἐναντίων ἀντιπράξῃ. οὕτως οὖν χρὴ νομίζειν καὶ τὰ τοῖς* 10
*ἀνθρώποις συμβησόμενα προλέγειν τοὺς φυσικοὺς τῇ τοι-
αύτῃ προγνώσει καὶ μὴ κατὰ κενὰς δόξας προσερχομένους,
ὡς τῶν μὲν διὰ τὸ πολλὰ καὶ μεγάλα τὰ ποιητικὰ τυγχά-*
m 13 *νειν ἀφυλάκτων ὄντων, τῶν δὲ διὰ τοὐναντίον μετατροπὰς*
295 *ἐπιδεχομένων, καθάπερ καὶ τῶν ἰατρῶν, ὅσοι δυνατοὶ
σημειοῦσθαι τὰ παθήματα, προγινώσκουσι τά τε πάντως
ἀνελοῦντα καὶ τὰ χωροῦντα βοήθειαν. ἐπὶ δὲ τῶν μεταπε-* 11

S **280** *ἄμαχον* Hermipp. I 44 p. 10,43

280 post *αἴτιον*: *ὃ* add. **c** | *ἀντιπράξοντος* **βγ** ‖ **281** *ταῦτα* om. **β** | *ἀποβαίνειν ἀνάγκη* **VY** *ἀποβαίνει ἀναγκαίως* **βγ** | *ὅσα* **VY** *ἃ* **βγ**, cf. 1,279 ‖ **282** post *ἔχει*: *συμπτώματα* add. **β** *ἐπιτυγχάνοντα* **V** (recepit Robbins) | *ἀντιπαθησόντων* **Vγ** *ἀντιπαθησάντων* **Yβ** ‖ **283** *μὴ* om. **V** | *εὐπορήσαντα* **YβC** (cf. Heph.) *εὐπορήσοντα* **VABc** (recepit Robbins) ‖ **284** *φύσεσιν ἀκολουθεῖ* **Vβγ** *σχέσεσιν κατακολουθεῖ* **Y** | *μέντοι*] *μένειν* **Y** ‖ **285** *τὴν τῆς* **Y** *τῆς τῆς* **V** *τὴν ἐκ τῆς* **βγ** | *ἴδοι τις ἂν* **γ** ‖ **286** *ἴδοι* **βγ** *ἴδη* **V** *εἴδη* **Y** ‖ **288** *δὲ* **V** *τε* **β** om. **Yγ**, cf. 1,866. 3,1095 ‖ **289** *τι* **VYγ** *τινὸς* **β** | *ποιεῖν πέφυκε* **VYDγ** *πέφυκε γίγνεσθαι* **MS** ‖ **290** *ἀντιπράξῃ* **MSγ** *ἀντιπράξοι* **VD** *ἀντιπράξῃς* **Y** (*εἰ* ...) *ἀντιπράξει* Robbins tacite ‖ **295** *ὅσοι δυνατοὶ σημειοῦσθαι* **VY** Procl. *οἱ δυνατοὶ σήμερον* **βγ**

σεῖν δυναμένων οὕτως ἀκουστέον τοῦ γενεθλιαλόγου φέρ' εἰπεῖν ὅτι τῇ τοιᾷδε συγκράσει κατὰ τὴν τοιάνδε τοῦ περιέχοντος ἰδιοτροπίαν, τραπεισῶν ἐπὶ τὸ πλεῖον ἢ ἔλασσον 300 *τῶν ὑποκειμένων συμμετριῶν τὸ τοιόνδε παρακολουθήσει πάθος, ὡς καὶ τοῦ μὲν ἰατροῦ, ὅτι τόδε τὸ ἕλκος νομὴν ἢ σῆψιν ἐμποιεῖ, τοῦ δὲ μεταλλικοῦ λόγου ἕνεκεν, ὅτι τὸν*

12 *σίδηρον ἡ λίθος ἡ μαγνῆτις ἕλκει· ὥσπερ γὰρ τούτων ἑκάτερον, ἐαθὲν μὲν δι' ἀγνωσίαν τῶν ἀντιπαθησόντων, πάντῃ* 305 *πάντως παρακολουθήσει τῇ τῆς πρώτης φύσεως δυνάμει, οὔτε δὲ τὸ ἕλκος τὴν νομὴν ἢ τὴν σῆψιν κατεργάσεται τῆς ἀντικειμένης θεραπείας τυχὸν οὔτε τὸν σίδηρον ἡ μαγνῆτις ἑλκύσει παρατριβέντος αὐτῇ σκορόδου, καὶ αὐτὰ δὲ ταῦτα τὰ κωλύοντα φυσικῶς καὶ καθ' εἱμαρμένην ἀντεπάθησεν·* 310 *οὕτως καὶ ἐπ' ἐκείνων ἀγνοούμενα μὲν τὰ συμβησόμενα τοῖς ἀνθρώποις ἢ ἐγνωσμένα μέν, μὴ τυχόντα δὲ τῶν ἀντιπαθούντων πάντῃ πάντως ἀκολουθήσει τῷ τῆς πρώτης φύσεως εἱρμῷ, προγνωσθέντα δὲ καὶ εὐπορήσαντα τῶν θεραπευόντων φυσικῶς πάλιν καθ' εἱμαρμένην ἢ ἀγένητα τέ-* 315 *λεον ἢ μετριώτερα καθίσταται.* m 14

13 *ὅλως δὲ τῆς τοιαύτης δυνάμεως τῆς αὐτῆς οὔσης ἐπί τε τῶν ὁλοσχερῶς θεωρουμένων καὶ ἐπὶ τῶν κατὰ μέρος θαυ-*

T 317–339 (§ 13–15 *καυσούμεθα*) Heph. I pr. 6

S 308–309 *ἡ μαγνῆτις ... σκορόδου* Plut. quaest. conv. II 7,1 p. 641[C]. Lyd. Mens. IV 13 p. 77,3–7. Tzetz. Chil. IV 406–407

pro **300–316** *ἐπὶ ... καθίσταται* **huc transposuit** 1,194–248 **Y** || **301** post *τοιόνδε*: *ἂν* add. **YMS** || **302** *διότι* **β** || **303** *λόγου ἕνεκεν* **V** *ἕνεκεν* **β** om. **γ** || **305** *ἀντιπαθησόντων* **VAB** *ἀντιπαθησάντων* **βC** || **306** *ἀκολουθήσει* **βγ** || **310** *τὰ* om. **βγ** | *κωλύσοντα* **βγ** | *ἀντεπάθησεν* **V** *ἀντεπάθησαν* **β** *ἀντεπάθησιν* **γ** || **313** *ἀκολουθεῖ* **βγ** || **314** *θεραπευσόντων* **βγ** || **315** *ἀγέννητα* **YM** || **317** *ὅλως*] *ὅμως* **Y** || **318** *ὁλοσχερέστερον* **MS**

μάσειεν ἄν τις, διὰ τίνα δήποτε αἰτίαν ἐπὶ μὲν τῶν καθ-
320 *όλου πιστεύουσι πάντες καὶ τῷ δυνατῷ τῆς προγνώσεως καὶ*
τῷ πρὸς τὸ προφυλάσσεσθαι χρησίμῳ – τάς τε γὰρ ὥρας **14**
καὶ τὰς τῶν ἀπλανῶν ἐπισημασίας καὶ τοὺς τῆς σελήνης
σχηματισμοὺς οἱ πλεῖστοι προγινώσκειν ὁμολογοῦσι καὶ
πολλὴν πρόνοιαν ποιοῦνται τῆς φυλακῆς αὐτῶν, πεφροντι-
325 *κότες ἀεὶ πρὸς μὲν τὸ θέρος τῶν ψύχειν δυναμένων, πρὸς*
δὲ τὸν χειμῶνα τῶν θερμαινόντων καὶ ὅλως προπαρα-
σκευάζοντες αὐτῶν τὰς φύσεις ἐπὶ τὸ εὔκρατον· καὶ ἔτι
πρὸς μὲν τὸ ἀσφαλὲς τῶν τε ὡρῶν καὶ τῶν ἀναγωγῶν πα-
ραφυλάσσοντες τὰς τῶν ἀπλανῶν ἀστέρων ἐπισημασίας,
330 *πρὸς δὲ τὰς καταρχὰς τῶν ὀχειῶν καὶ φυτειῶν τοὺς κατὰ*
πλήρωσιν τῶν φώτων τῆς σελήνης σχηματισμούς, καὶ οὐδὲ
εἷς οὐδαμῇ τῶν τοιούτων κατέγνωκεν οὔθ' ὡς ἀδυνάτων
c 4ᵛ *οὔθ' ὡς ἀχρήστων –, ἐπὶ δὲ τῶν κατὰ μέρος ἐκ τῆς τῶν* **15**
λοιπῶν ἰδιωμάτων συγκράσεως (οἷον ⟨τοῦ⟩ μᾶλλον καὶ
335 *ἧττον χειμώνων ἢ καυμάτων) καὶ τῆς καθ' ἕκαστον ἰδιο-*
συγκρισίας οὔτε τὸ προγινώσκειν ἔτι δυνατὸν ἡγοῦνταί τι-
νες οὔτε τὸ πολλὰ ἐγχωρεῖν φυλάξασθαι· καίτοι προδήλου

319 *δήποτ' οὖν* Y | *μὲν* om. V ‖ **321** *τὸ προφυλάσσεσθαι* scripsi coll. 1,375 *τῷ προφυλάσσεσθαι* **VDγ** *τῷ φυλάξασθαι* **YMS** *τὸ φυλάξασθαι* Heph. *τὸ φυλάσσεσθαι* Boll *τὸ φυλάττεσθαι* Robbins | *χρήσιμα* Heph. ‖ **324** *πολλὴν*] *πάλιν* Y ‖ **325** *δυνησομένων* **γ** ‖ **326** *τῶν θερμαινόντων* V *τῶν θερμαινούντων* **βγ** *τοῦ θερμαίνειν* Y ‖ **328** *τῶν τε ὡρῶν καὶ* om. Y ‖ **330** *καταρχὰς* **Yβγ** (astrologorum t.t.) *ἀρχὰς* V (recepit Robbins sine var. l.) | *ὀχειῶν*] *χετῶν* Y ‖ **331** *τὴν πλήρωσιν* **γ** | *συσχηματισμοὺς* V | *οὐδὲ εἷς* **Vβ** (cf. Krit. Heg. 15,1) *οὐδεὶς* **Yγ** (recepit Robbins) ‖ **333** *καὶ ἐκ τῆς* V (quem secutus est Robbins) ‖ **334** *ἰδιωμάτων συγκράσεως* Boll *συγκράσεως ἰδιωμάτων* **ω** | ⟨*τοῦ*⟩ suppl. Boll coll. 2,44 ‖ **335** *ἰδιοσυγκρισίας* **VY** Heph. *ἰδιοσυγκρασίας* **βγ**, cf. 1,140

τυγχάνοντος, ὅτι πρὸς τὰ καθόλου καύματα εἰ τύχοιμεν m 15
προκαταψύξαντες ἑαυτούς, ἧττον καυσούμεθα, δύναται τὸ
ὅμοιον ἐνεργεῖν καὶ πρὸς τὰ ἰδίως τήνδε τὴν σύγκρασιν εἰς 340
16 *ἀμετρίαν αὔξοντα τοῦ θερμοῦ. ἀλλὰ γὰρ αἴτιον τῆς τοιαύ-*
της ἁμαρτίας τό τε δύσκολον καὶ ἄηθες τῆς τῶν κατὰ μέ-
ρος προγνώσεως, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων σχεδὸν ἁπάντων
ἀπιστίαν ἐμποιεῖ, καὶ τὸ (μὴ συναπτομένης ὡς ἐπίπαν τῆς
ἀντιπαθούσης δυνάμεως τῇ προγνωστικῇ διὰ τὸ σπάνιον 345
τῆς οὕτως τελείας διαθέσεως καὶ περὶ τὰς πρώτας φύσεις
ἀνεμποδίστως ἀποτελουμένης) δόξαν ὡς περὶ ἀτρέπτων
καὶ ἀφυλάκτων παρέσχε καὶ πάντων ἁπλῶς τῶν ἀποβησο-
μένων.

17 *ὥσπερ δὲ οἶμαι καὶ ἐπ' αὐτοῦ τοῦ προγνωστικοῦ, καὶ εἰ* 350
μὴ διὰ παντὸς ἦν ἄπταιστον, τό γε δυνατὸν αὐτοῦ μεγί-
στης ἄξιον σπουδῆς κατεφαίνετο, τὸν αὐτὸν τρόπον καὶ
ἐπὶ τοῦ φυλακτικοῦ, καὶ εἰ μὴ πάντων ἐστὶ θεραπευτικόν,
ἀλλὰ τό γ' ἐπ' ἐνίων, κἂν ὀλίγα κἂν μικρὰ ᾖ, ἀγαπᾶν καὶ
ἀσπάζεσθαι καὶ κέρδος οὐ τὸ τυχὸν ἡγεῖσθαι προσήκει. 355

T 350–377 (§ 17–19) Heph. I pr. 7–8

S 347–349 *ἀτρέπτων ... ἀποβησομένων* Phas. 7 p. 10,20–21

338 *ὅτι πρὸς* **Vβγ** *ὅτι εἰ πρὸς* **Y** (Boll tacite) | *τὰ*] *τὰς* **V** | *εἰ* hic om. **Y** ‖ **339** *καὶ ὅτι δύναται* **γ** ‖ **340** *ἰδίως*] *ἴδια* **D** | *σύγκρασιν* **V** (correctum) **βγ** *σύγκρισιν* **Y** (maluit Boer), cf. 1,135 ‖ **341** *ἀμετρίαν* **YMSγ** *μετρίαν* **VD** | *αὔξαντα* **Y** ‖ **342** *ἄηθες*] *ἀληθὲς* **V** ‖ **345** *γνωστικῇ* (α supra) **V** ‖ **346** *καὶ περὶ τὰς* **V** *τὰς* **Yβγ** ‖ **347** *ἀποτελουμένης* **V** *ἀποτελουμένας* **Yβγ** ‖ **348** *παρέσχε* **V** (quem secutus est Robbins) *παρέχει* **Y** *παρέχειν* **βγ** (praetulit Boll) | *τῶν* del. Boll perperam | *ἐπιβησομένων* **Y** ‖ **350** *καὶ εἰ μὴ* **βγ** Heph. *κἂν μὴ* **V** (praetulit Boll, postea: *ᾗ* nescio quo teste fultus) *καὶ ἡ μὴ* **Y** *καὶ εἰ μὲν* **G** ‖ **354** *κἂν ὀλίγα* **VY** *ὀλίγα* **βγ** *κἂν* [*καὶ* var. l.] *ὀλιγάκις* Heph.

τούτοις δὲ ὡς ἔοικε συνεγνωκότες οὕτως ἔχουσι καὶ οἱ **18**
μάλιστα τὴν τοιαύτην δύναμιν τῆς τέχνης προαγαγόντες
Αἰγύπτιοι συνῆψαν πανταχῇ τῷ δι' ἀστρονομίας προγνω-
m 16 *στικῷ τὴν ἰατρικήν. οὐ γὰρ ἄν ποτε ἀποτροπιασμούς τινας*
360 *καὶ φυλακτήρια καὶ θεραπείας συνίσταντο πρὸς τὰς ἐκ*
τοῦ περιέχοντος ἐπιούσας ἢ παρούσας περιστάσεις καθολι-
κάς τε καὶ μερικάς, εἴ τις αὐτοῖς ἀκινησίας καὶ ἀμετατρε-
ψίας τῶν ἐσομένων ὑπῆρχε δόξα. νῦν δὲ καὶ τὸ κατὰ τὰς **19**
ἐφεξῆς φύσεις ἀντιπρᾶξαι δυνάμενον ἐν δευτέρᾳ χώρᾳ τοῦ
365 *καθ' εἱμαρμένην λόγου τιθέμενοι συνέζευξαν τῇ τῆς προ-*
γνώσεως δυνάμει τὴν κατὰ τὸ χρήσιμον καὶ ὠφέλιμον διὰ
τῶν καλουμένων παρ' αὐτοῖς ἰατρομαθηματικῶν συντά-
ξεων, ὅπως διὰ μὲν ⟨τῆς⟩ ἀστρονομίας τάς τε τῶν ὑποκει-
μένων συγκρίσεων ποιότητας εἰδέναι συμβαίνῃ καὶ τὰ διὰ
370 *τὸ περιέχον ἐσόμενα συμπτώματα καὶ τὰς ἰδίας αὐτῶν αἰ-*
τίας (ὡς ἄνευ τῆς τούτων γνώσεως καὶ τῶν βοηθημάτων
κατὰ τὸ πλεῖστον διαπίπτειν ὀφειλόντων, ἅτε μὴ πᾶσι σώ-
μασιν ἢ πάθεσι τῶν αὐτῶν συμμέτρων ὄντων), διὰ δὲ τῆς
ἰατρικῆς ἀπὸ τῶν ἑκάστοις οἰκείως συμπαθούντων ἢ ἀντι-
375 *παθούντων τάς τε τῶν μελλόντων παθῶν προφυλακὰς καὶ*
τὰς τῶν ἐνεστώτων θεραπείας ἀδιαπτώτους, ὡς ἔνι μάλι-
στα, ποιούμενοι διατελῶσιν.

357 *τῆς τὲχνης* **VYγ** *τῆς τέχνης ψυχῆς* **D** *τῆς ψυχῆς* **SM** (in margine) ‖ **360** *φυκτήρια* **V** | *συνίσταντο* **VY** *συνίστανον* **βγ** ‖ **364** *ἀντιπαρατάξαι* **Y** ‖ **365** *λόγου* **Vβγ** *λόγον* **Y** om. **c** ‖ **368** *τῆς* suppl. Boll ‖ **369** *συγκρίσεων* **β** *συγκρίσεως* **V** *συγκράσεων* **Yγ**, cf. 1,135 | *ποιότητας*] *ἰδιότητας* **c** | *συμβαίνει* **V** | *διὰ* om. **Y** ‖ **370** *ἐσόμενα* om. **γm** | *ἰδίας αὐτῶν αἰτίας* **V** *αἰτίας αὐτῶν* **Yβγ** ‖ **371** *προγνώσεως* **Y** | *βοημάτων* **V** ‖ **376** *ἐνεστώτων* **V** *ἐνστάντων* **Yβγ** | *ἀδιαπτώτως* **β** ‖ **377** *ποιούμενοι* **VY** *ποιοῦντες* **βγ**

20 *ἀλλὰ ταῦτα μὲν μέχρι τοσούτων ἡμῖν κατὰ τὸ κεφαλαιῶδες προτετυπώσθω. ποιησόμεθα δὲ ἤδη τὸν λόγον κατὰ τὸν εἰσαγωγικὸν τρόπον, ἀρξάμενοι ἀπὸ τῆς ἑκάστου τῶν οὐρανίων περὶ αὐτὸ τὸ ποιητικὸν ἰδιοτροπίας, ἀκολούθως ταῖς ὑπὸ τῶν παλαιῶν κατὰ τὸν φυσικὸν τρόπον ἐφηρμοσμέναις παρατηρήσεσι καὶ πρώταις ταῖς τῶν πλανωμένων ἀστέρων δυνάμεσιν ἡλίου τε καὶ σελήνης.* c 5 380 m 17

δ'. Περὶ τῆς τῶν πλανωμένων ἀστέρων δυνάμεως 385

1 *Ὁ ἥλιος κατείληπται τὸ ποιητικὸν ἔχων τῆς οὐσίας ἐν τῷ θερμαίνειν καὶ ἠρέμα ξηραίνειν· ταῦτα δὲ μάλιστα τῶν ἄλλων ἡμῖν εὐαισθητότερα γίνεται διά τε τὸ μέγεθος αὐτοῦ καὶ τὸ τῶν κατὰ τὰς ὥρας μεταβολῶν ἐναργές, ἐπει-* 390

T 385–430 (§ 1–7) Heph. I 2,2–8. Apom. Myst. III 14, CCAG V 1 (1904) p. 154,8–22 || **387–388** Ps.Ant. CCAG VII (1908) p. 118,22–23

S 387–430 (§ 1–7) Ant. CCAG XI 2 (1934) p. 109,2–111,5. Iulian. Laodic. CCAG I (1898) p. 134,2–137,14 || **387–388** *ποιητικὸν … ξηραίνειν* Ps.Ant. CCAG VII (1908) p. 118,22–23

379 *προτετυπώσθω* **VY** *προυποτετυπώσθω* **βγ** | *ποιησόμεθα* Co le p. 16,–19 Robbins (nihil monens) *ποιησώμεθα* **ω** (quos secutus est Boll) | *ἤδη* om. **βγ** || **380** *ἀρξάμενοι* **incipit L** || **383** *πρώταις ταῖς* **V** (recepit Robbins) *πρώτης τῆς* **βγ** *πρώτης ἀψάμενοι τῆς* **L** *πρὸ τῆς* **Y** *πρῶτον περὶ τῆς* Procl. *πρώτως ταῖς* **c** *πρώτως τῆς* Boll || **384** *ἀστέρων* om. **L** | *δυνάμεσιν* **VA** *δυνάμεως* **LY** om. **βBC** | *ἡλίου τε καὶ σελήνης* om. **L** || **385** *δ'* **V** *γ'* **Dγ** *β'* **Y** om. **MS** | *πλανωμένων ἀστέρων* **VDSγ** Procl. *πλανωμένων* **M** *πλανήτων* **Y** ut 1,9 || **389** *αὐτοῦ* **VY** *αὐτό* **βγ** || **390** *τῶν ὡρῶν μεταβολὰς* **L**

δήπερ, ὅσῳ ἂν μάλιστα ἐγγίζῃ τοῦ κατὰ κορυφὴν ἡμῶν τόπου, τοσούτῳ μᾶλλον ἡμᾶς οὕτως διατίθησιν.

ἡ δὲ σελήνη τὸ μὲν πλεῖστον ἔχει τῆς δυνάμεως ἐν τῷ **2** *ὑγραίνειν διὰ τὴν περιγειότητα δηλονότι καὶ τὴν τῶν*
395 *ὑγρῶν ἀναθυμίασιν, καὶ διατίθησιν οὕτως ἄντικρυς τὰ σώματα πεπαίνουσα καὶ διασήπουσα τὰ πλεῖστα· κεκοινώνηκε δὲ ἠρέμα καὶ τοῦ θερμαίνειν διὰ τοὺς ἀπὸ τοῦ ἡλίου φωτισμούς.*

ὁ δὲ τοῦ Κρόνου ἀστὴρ τὸ πλεῖον ἔχει τῆς ποιότητος **3**
400 *ἔν τε τῷ ψύχειν καὶ τῷ κατὰ ψῦξιν ἠρέμα ξηραίνειν, διὰ τὸ πλεῖστον ὡς ἔοικεν ἀπέχειν ἅμα τῆς τε τοῦ ἡλίου θερ-*

T 399–402 Ps.Ant. CCAG VII (1908) p. 120,9–12

S 393–398 (§ 2) Lyd. Mens. II 7 p. 23,19–21 || **394** *ὑγραίνειν* Ap. IV 10,6. Apom. Rev. nat. App. 2 p. 269,2 || **394** *περιγειότητα* Ap. II 2,1 (ubi plura) || **395** *ἀναθυμίασιν* Ap. I 4,3.6. II 2,4. III 11,4. Chrysipp. SVF 593 apud Cic. nat. deor. II 118. Vitruv. VI 1,3 (cf. 1,9). Porph. Schol. Hom. Il. A 20,67 p. 242,10 Schrader. Hermipp. I 91 p. 20,4 || **399–430** (§ 3–7) eundem planetarum ordinem exhibent Callicrat. CCAG VIII 3 (1912) p. 103,5–7. Lucan. 10,201–209 necnon pronaos templi Denderae, v. F. Boll, Hebdomas 2564,43 || **400** *ψύχειν* Cic. nat. deor. II 119. Plin. nat. II 34. Hermipp. II 24. al. | *ψῦξιν ... ξηραίνειν* Lyd. Mens. II 12 p. 33,4–5. Ps.Ant. CCAG VII (1908) p. 120, 9–12, aliter p. 127,8–9

391 *τοῦ ... τόπου* VLY *τῷ ... τόπῳ* **βγ** || **392** *τοσούτῳ* temptavi *τότε* VL om. cett. || **393** *πλεῖστον* VLDγ *πλέον* YMS (recepit Robbins, cf. 1,399) || **395** *ἀθυμίασιν* V | *διατίθησιν* VLY *διατιθέναι* **βγ** || **396** *δισήπουσα* V || **397** *τοῦ* ante *θερμαίνειν*] *τῷ* V *τὸ* L | *τοῦ* ante *ἡλίου* om. VY || **400** *ἔν τε τῷ ψύχειν καὶ τῷ* [*τὸ* L] *κατὰ ψῦξιν* VL *ἐν τῷ ψύχειν καὶ τὸ* [om. **βγ**, *τῷ* Robbins] Y**βγ** || **401** *ἀπέχειν* om. Yc (qui add. post *ἀναθυμιάσεως*: *ἀφεστᾶναι*)

μασίας καὶ τῆς τῶν περὶ τὴν γῆν ὑγρῶν ἀναθυμιάσεως. συνίστανται δὲ δυνάμεις ἐπί τε τούτου καὶ τῶν λοιπῶν καὶ διὰ τῶν ἐν τοῖς πρὸς ἥλιον καὶ σελήνην σχηματισμοῖς παρατηρήσεων, ἐπειδήπερ οἱ μὲν οὕτως, οἱ δὲ οὕτως τὴν τοῦ 405 m 18 *περιέχοντος κατάστασιν ἐπὶ τὸ μᾶλλον ἢ ἧττον συντρέποντες φαίνονται.*

4 *ὁ δὲ τοῦ Ἄρεως ξηραίνειν τε μάλιστα καὶ καυσοῦν ἔχει φύσιν τῷ τε πυρώδει τοῦ χρώματος οἰκείως καὶ τῇ πρὸς τὸν ἥλιον ἐγγύτητι, ὑποκειμένης αὐτῷ τῆς ἡλιακῆς σφαί-* 410 *ρας.*

5 *ὁ δὲ τοῦ Διὸς εὔκρατον ἔχει τὸ ποιητικὸν τῆς δυνάμεως, μεταξὺ γινομένης τῆς κινήσεως αὐτοῦ τοῦ τε κατὰ τὸν Κρόνον ψυκτικοῦ καὶ τοῦ κατὰ τὸν Ἄρεα καυστικοῦ· θερμαίνει τε γὰρ ἅμα καὶ ὑγραίνει, καὶ (διὰ τὸ μᾶλλον* 415 *εἶναι θερμαντικὸς ὑπὸ τῶν ὑποκειμένων σφαιρῶν) γονίμων πνευμάτων γίνεται ποιητικός.*

T **412–417** Ps.Ant. CCAG VII (1908) p. 120, 26–30

S **402** *ἀναθυμιάσεως* Ap. I 4,2 (ubi plura) || **408–411** (§ 4) Ps.Ant. CCAG VII (1908) p. 121,8–10 || **412–417** (§ 5) Ps.Ant. CCAG VII (1908) p. 120,26–30 || **412** *εὔκρατον* Heph. I 20,28. Theoph. Edess. CCAG V 1 (1904) p. 236,29. Theod. Pr. 140. Anon. (Heliod.?) CCAG VIII 4 (1921) p. 240,8

402 *περὶ τὴν γῆν* **VLY** *περιττῶν* **βγ** || **403** *δυνάμεις* **βγ** *αἱ δυνάμεις* **VL** *καὶ αἱ δυνάμεις* **Y** | *ἐπὶ τῶν* **Yβγ** || **408** *Ἄρεως*] *πυρόεντος* **MS**, cf. l. 414, praeterea 1,482.518. 3,287 | hic Iovem codices classis **βγ** inserunt, ut solitum planetarum ordinem restituant, sed praecedunt extrema *μεσότην* etiam apud Heph. Procl. Co, cf. praef. p. XIX sq. || **412** *δυνάμεως … γινομένης τῆς* om. **Y** || **414** *Ἄρεα*] *πυρόεντα* **β**, cf. l. 408 || **416** *ὑπὸ … σφαιρῶν* om. **γ**

καὶ ὁ τῆς Ἀφροδίτης δὲ τῶν μὲν αὐτῶν ἐστι κατὰ τὸ 6
εὔκρατον ποιητικός, ἀλλὰ κατὰ τὸ ἐναντίον· θερμαίνει μὲν
420 *γὰρ ἠρέμα διὰ τὴν ἐγγύτητα τὴν πρὸς τὸν ἥλιον, μάλιστα*
δὲ ὑγραίνει καθάπερ ἡ σελήνη καὶ αὐτός, διὰ τὸ μέγεθος
τῶν ἰδίων φώτων νοσφιζόμενος τὴν ἀπὸ τῶν περιεχόντων
τὴν γῆν ὑγρῶν ἀναθυμίασιν.
ὁ δὲ τοῦ Ἑρμοῦ ὡς ἐπίπαν ἐξ ἴσου ποτὲ μὲν ξηραντι- 7
c 5ᵛ 425 *κὸς καταλαμβάνεται καὶ τῶν ὑγρῶν ἀναπωτικὸς διὰ τὸ μη-*
δέποτε πολὺ τῆς τοῦ ἡλίου θερμασίας κατὰ μῆκος ἀφ-
ίστασθαι, ποτὲ δ' αὖ ὑγραντικὸς διὰ τὸ τῇ περιγειοτάτῃ
σφαίρᾳ τῆς σελήνης ἐπικεῖσθαι· ταχείας δὲ ποιεῖται τὰς
m 19 *ἐν ἀμφοτέροις μεταβολάς, πνευματούμενος ὥσπερ ὑπὸ τῆς*
430 *περὶ αὐτὸν τὸν ἥλιον ὀξυκινησίας.*

T 419–423 Ps.Ant. CCAG VII (1908) p. 121,27–30

S 418–423 (§ 6) Ps.Ant. CCAG VII (1908) p. 121,27–30. Lyd. Mens. II 11 p. 31,20–21 ‖ **421** *διὰ τὸ μέγεθος* Plin. nat. II 37. Hyg. astr. II 42 l. 1338 Viré ‖ **423** *ἀναθυμίασιν* Ap. I 4,2 (ubi plura) ‖ **424–428** (§ 7 in.) Lyd. Mens. II 9 p. 28,19 ‖ **427** *περιγειοτάτῃ* Ap. II 2,1 (ubi plura) ‖ **430** *ὀξυκινησίας* Ap. II 3,35. 9,18. III 14,31. Amm. 16,5,5. Kam. 2778

419 *ποιητικὸς ... ἐναντίον*] *τῷ Διί* **D** (cf. *τῷ Ζηνὶ κατὰ μέντοι τὸ ἀντικείμενον ποιητικός* Procl.) | *ἀλλὰ*] *καὶ* **MS** ‖ **421** *καθάπερ ἡ σελήνη καὶ αὐτός* **VYβ** *καὶ αὐτὸς καθάπερ ἡ σελήνη* **γ** | postea interpunxit Boll, post *φώτων* Robbins ‖ **425** *ἀναπωτικὸς* **βγ** *ἀναπατικὸς* **Y** (ut vid.) *ἀεὶ ποτικὸς* **V** ‖ **429** *ἐπ' ἀμφοτέροις* **Vβγ** *ἀμφοτερ* **Y** *ἀμφοτέρας* **G** *ἐπ' ἀμφότερα* Procl. *ἐπαμφότερα* **c**

ε΄. Περὶ ἀγαθοποιῶν καὶ κακοποιῶν

1 *Τούτων οὕτως ἐχόντων ἐπειδὴ τῶν τεσσάρων χυμάτων δύο μέν ἐστι τὰ γόνιμα καὶ ποιητικά (τό τε τοῦ θερμοῦ καὶ τὸ τοῦ ὑγροῦ, διὰ τούτων γὰρ πάντα συγκρίνεταί τε καὶ αὔξεται), δύο δὲ τὰ φθαρτικὰ καὶ παθητικά (τό τε τοῦ* 435 *ψυχροῦ καὶ τὸ τοῦ ξηροῦ, δι' ὧν πάντα πάλιν διακρίνεται καὶ φθίνει), τοὺς μὲν δύο τῶν πλανητῶν (τόν τε τοῦ Διὸς καὶ τὸν τῆς Ἀφροδίτης καὶ ἔτι τὴν σελήνην) ὡς ἀγαθοποιοὺς οἱ παλαιοὶ παρειλήφασι, διὰ τὸ εὔκρατον καὶ τὸ* 2 *πλεῖον ἔχειν ἐν τῷ θερμῷ καὶ τῷ ὑγρῷ· τὸν δὲ τοῦ Κρό-* 440 *νου καὶ τὸν τοῦ Ἄρεως ὡς τῆς ἐναντίας φύσεως ποιητικούς, τὸν μὲν τῆς ἄγαν ψύξεως ἕνεκεν, τὸν δὲ τῆς ἄγαν ξηρότητος· τὸν δὲ ἥλιον καὶ τὸν τοῦ Ἑρμοῦ διὰ τὸ κοινὸν τῶν φύσεων ὡς ἀμφότερα δυναμένους καὶ μᾶλλον συντρεπομένους, οἷς ἂν τῶν ἄλλων προσγένωνται.* 445

T **431–445** (§ 1–2) Heph. I 2,9. Cod. Neapolitanus II C 33 (olim 34: CCAG IV [1903] p. 57) fol. 386v

S **432–437** (§ 1 in.) Aristot. Meteor. IV 1 p. 378b 10–13 || **437–445** (§ 1 fin. – 2) Sext. Emp. V 29. Paul. Alex. 6 p. 19,10–14 || **443** *κοινὸν* Ap. I 6,1. Paul. Alex. 6 p. 19,5

431 *ε΄* V *δ΄* **Dγ** *γ΄* Y om. **MS** et sic deinceps | titulum neglexit **c** | *κακοποιῶν ἀστέρων* **D** ut 1,10 || **432** *χυμάτων*] *σωμάτων* Y || **433** *ποιητικὰ καὶ γόνιμα* **βγ** || **434** *καὶ* ante *αὔξεται* om. **V** || **435** *καὶ* (ante *παθητικά*) **YM** *τε* **V** *τε καὶ* **LSDγ** || **436** *ψυχροῦ ... ξηροῦ* **YMSγ** *ξηροῦ ... ψυχροῦ* **VLD** (recepit Robbins) | *πάλιν* **YDγ** om. **VLMS** || **437** *φθίνει* **Vβγ** *διαφθείρῃ* **Y** *διαφθείρεται* **Gc** *φθείρεται* Procl. || **441** *Ἄρεως* **VLY** *Ἄρεως κακοποιοὺς* **βγ** || **443** *ἥλιον*] *τοῦ ἡλίου* **β** || **444** *ὡς* om. **VL** || **445** *τῶν ἄλλων* om. **D** | *προσγένωνται* **Vβγ** *προσγένονται* **L** *παραγίγνωνται* **Y** *παραγίνονται* **Gc** | postea *μέσους* add. **c**, *ὡς μέσους* add. **m**

ς′. *Περὶ ἀρρενικῶν καὶ θηλυκῶν*

Πάλιν ἐπειδὴ τὰ πρῶτα γένη τῶν φύσεων δύο ἐστί (τό τε 1
ἄρρεν καὶ τὸ θῆλυ), τῶν δὲ προκειμένων δυνάμεων ἡ τῆς
ὑγρᾶς οὐσίας μάλιστα θηλυκὴ τυγχάνει (πλεῖον γὰρ ἐγγίνε-
450 *ται καθόλου τοῦτο τὸ μέρος πᾶσι τοῖς θήλεσι), τὰ δ' ἄλλα*
m 20 *μᾶλλον τοῖς ἄρρεσιν, εἰκότως τὴν μὲν σελήνην καὶ τὸν*
τῆς Ἀφροδίτης ἀστέρα θηλυκοὺς ἡμῖν παραδεδώκασι διὰ
τὸ πλεῖον ἔχειν ἐν τῷ ὑγρῷ, τὸν δὲ ἥλιον καὶ τὸν τοῦ
Κρόνου καὶ τὸν τοῦ Διὸς καὶ τὸν τοῦ Ἄρεως ἀρρενικούς, τὸν
455 *δὲ τοῦ Ἑρμοῦ κοινὸν ἀμφοτέρων τῶν γενῶν, καθὸ ἐξ ἴσου*
καὶ τῆς ὑγρᾶς οὐσίας καὶ τῆς ξηρᾶς ἐστι ποιητικός. ἀρ- 2
ρενοῦσθαι δέ φασι τοὺς ἀστέρας καὶ θηλύνεσθαι παρά τε
τοὺς πρὸς τὸν ἥλιον σχηματισμούς (ἑῴους μὲν γὰρ ὄντας
καὶ προηγουμένους ἀρρενοῦσθαι, ἑσπερίους δὲ καὶ ἑπομέ-
460 *νους θηλύνεσθαι), καὶ ἔτι παρὰ τοὺς πρὸς τὸν ὁρίζοντα·*
ἐν μὲν γὰρ τοῖς ἀπὸ ἀνατολῆς μέχρι μεσουρανήσεως ἢ καὶ
c 6 *ἀπὸ δύσεως μέχρι τῆς ὑπὸ γῆν ἀντιμεσουρανήσεως σχημα-*

T 446–464 (§ 1–2) Heph. I 2,10–11

S 447–464 (§ 1–2) Ant. CCAG I (1898) p. 144,30–145,6. Porph. 53 p. 227,2–6. 54 p. 228,7–9 ‖ **455** *κοινὸν* Ap. I 5,2 (ubi plura) ‖ **456–464** (§ 2) Ap. I 13,4

446 post *θηλυκῶν*: *ἀστέρων* add. **YDMc** Procl., cf. 1,11 ‖ **448** *τῶν*] *τούτων δὲ τῶν* **γ** ‖ **449** *ὑγρᾶς*] *εὐπόρας* **Y** ‖ **453** *ἔχειν*] *σχεῖν* **V** ‖ **456** *καὶ τῆς ὑγρᾶς οὐσίας καὶ τῆς ξηρᾶς* **VDγ** *τῆς τε ξηρᾶς καὶ τῆς ὑγρᾶς οὐσίας* **YMS** ‖ **457** *τε* om. **βγ** ‖ **458** *τοὺς*] *τοῦ* **V** ‖ **461** *ἀνατολῆς*] *ἀνατολικοῦ* **V** ‖ **462** *μέχρι τῆς ὑπὸ γῆν ἀντιμεσουρανήσεως*] *μέχρι πάλιν τοῦ ἀντικειμένου μεσουρανήματος* **c** om. **Y**

τισμοῖς ὡς ἀπηλιωτικοῖς ἀρρενοῦσθαι, ἐν δὲ τοῖς λοιποῖς τεταρτημορίοις δυσὶν ὡς λιβυκοῖς θηλύνεσθαι.

ζ'. Περὶ ἡμερινῶν καὶ νυκτερινῶν 465

1 *Ὁμοίως δὲ ἐπειδὴ τῶν ποιούντων τὸν χρόνον τὰ ἐκφανέστατα διαστήματα δύο ταῦτα τυγχάνει τό τε τῆς ἡμέρας ἠρρενωμένον μᾶλλον (διὰ τὸ ἐν αὐτῇ θερμὸν καὶ δραστικόν) καὶ τὸ τῆς νυκτὸς τεθηλυσμένον μᾶλλον (διὰ τὸ ἐν αὐτῇ δίυγρον καὶ ἀναπαυστικόν), νυκτερινοὺς μὲν ἀκολούθως* 470 *παραδεδώκασι τήν τε σελήνην καὶ τὸν τῆς Ἀφροδίτης, ἡμερινοὺς δὲ τόν τε ἥλιον καὶ τὸν τοῦ Διός, ἐπίκοινον δὲ κατὰ ταὐτὰ τὸν τοῦ Ἑρμοῦ καὶ ἐν μὲν τῷ ἑῴῳ* m 21

T 465–485 (§ 1–2) Heph. I 2,12

S 470–485 (§ 1 fin.–2) Val. III 5,1–2. Mich. Pap. III 149 col. VIII 16–19. Ant. CCAG I (1898) p. 146,1–7 et CCAG VIII 3 (1912) p. 112,9–13. Porph. 4. Firm. math. II 7,2. Paul. Alex. 6. Ps.Serap. CCAG VIII 4 (1921) p. 231,16–23 ‖ **472–473** *ἐπίκοινον* Ap. I 12,25. IV 6,1. Ant. CCAG I (1898) p. 146,3–7. VIII 3 (1912) p. 105,19. Paul. Alex. 6 p. 19,5. Anon. CCAG IX 1 (1953) p. 173,6

464 *δυσὶν* om. **γ** | *λιβυκοῖς* **VYβ** *λιβυκοὺς* **γ** *δυσικοῖς* **Φ** (cf. conclusionis alterae app. l. 2 necnon Porph. 53 p. 227,6 app.) *δυτικοὺς* c *λιβι-* scripsit Boll cum **VYDSBC** (*λυβι-* **Γ**) et hic et semper, quae scriptura occurrit in papyris inde a primo a. Chr. n. saeculo ‖ **465** *νυκτερινῶν καὶ ἡμερινῶν* **Sγ** haud incongrue, cf. 1,12 | post *νυκτερινῶν*: *ἀστέρων* add. **M**, *ἄστρων* **D** ‖ **466** *τῶν ποιούντων*] *ποιοῦντα* **V** ‖ **468** *δραστικόν*] *καυστικόν* **M** ‖ **469** *μᾶλλον* om. **VMS** ‖ **470** *ἐν αὐτῇ* **V** (cf. l. 468) *κατ' αὐτὴν* **αβγ** (maluit Robbins) | *ἀκολούθως* **VYγ** *εἰκότως* **MS** ‖ **473** *ταὐτὰ* Robbins *ταῦτα* Boll

σχήματι ἡμερινόν, ἐν δὲ τῷ ἑσπερίῳ νυκτερινόν. προσένει- 2
475 *μαν δὲ ἑκατέρᾳ τῶν αἱρέσεων καὶ τοὺς δύο τοὺς τῆς φθαρτικῆς οὐσίας – οὐκ ἔτι μέντοι κατὰ τὰς αὐτὰς τῆς φύσεως αἰτίας, ἀλλὰ κατὰ τὰς ἐναντίας· τοῖς μὲν γὰρ τῆς ἀγαθῆς κράσεως οἰκειούμενα τὰ ὅμοια μεῖζον αὐτῶν τὸ ὠφέλιμον ποιεῖ, τοῖς δὲ φθαρτικοῖς τὰ ἀνοίκεια μιγνύμενα*
480 *παραλύει τὸ πολὺ τῆς κακώσεως αὐτῶν. ἔνθεν τὸν μὲν τοῦ Κρόνου ψυκτικὸν ὄντα τῷ θερμῷ τῷ τῆς ἡμέρας ἀπένειμαν, τὸν δὲ τοῦ Ἄρεως ξηρὸν ὄντα τῷ ὑγρῷ τῷ τῆς νυκτός· οὕτως γὰρ ἑκάτερος ὑπὸ τῆς κράσεως συμμετρίας τυχὼν οἰκεῖος γίνεται τῆς τὸ εὔκρατον παρεχούσης αἱρέ-*
485 *σεως.*

η'. Περὶ τῆς δυνάμεως τῶν πρὸς τὸν ἥλιον σχηματισμῶν

Ἤδη μέντοι καὶ παρὰ τοὺς πρὸς τὸν ἥλιον συσχηματισ- 1
μοὺς ἥ τε σελήνη καὶ οἱ τρεῖς τῶν πλανωμένων τὸ μᾶλλον
490 *καὶ ἧττον λαμβάνουσιν ἐν ταῖς οἰκείαις αὐτῶν δυνάμεσιν. ἥ τε γὰρ σελήνη κατὰ μὲν τὴν ἀπὸ ἀνατολῆς μέχρι τῆς*

S 481–482 *Κρόνου ... Ἄρεως* cf. Ap. III 15,3 || **491–496** (§ 1 fin.) Porph. 2 p. 192,7–10 (v. app. cr.), cf. Hermipp. II 71

477 *ἀλλὰ κατὰ τὰς ἐναντίας* om. **Y** || **479** *μιγνύμενα* **VDSγ** *σμιγόμενα* **YM** || **480** *πολὺ*] *κακὸ* **Y** *σφοδρὸν* **c** || **482** *Ἄρεως*] *πυρόεντος* **MS**, cf. 1,408 || **483** ante *κράσεως*: *ἐναντίας* add. **c** | *συμμετρίας*] *τῆς ἀερίας* **Y** *τῆς συμμετρίας* **c** Robbins nihil monens || **484** *παρεχούσης* **Vγ** *παρασχούσης* **Y** (recepit Robbins) *περιεχούσης* **β** || **487** *σχημάτων* **γ**, cf. 1,13 || **489** post *πλανωμένων*: *ὅ τε του Κρόνου καὶ ὁ τοῦ Διὸς ὁ τοῦ Ἄρεως* add. **γ** (*καὶ* om. **AC**) || **491** *ἀνατολῆς* **VYβ** *ἀνατολῶν* **L** *συνόδου* **γ** Co p. 24,18

πρώτης διχοτόμου αὔξησιν ὑγρότητος μᾶλλόν ἐστι ποιητική, κατὰ δὲ τὴν ἀπὸ πρώτης διχοτόμου μέχρι πανσελήνου θερμότητος, κατὰ δὲ τὴν ἀπὸ πανσελήνου μέχρι δευτέρας διχοτόμου ξηρότητος, κατὰ δὲ τὴν ἀπὸ δευτέρας διχο- 495 m 22
2 *τόμου μέχρι κρύψεως ψυχρότητος. οἵ τε πλανώμενοι καὶ ἑῷοι μόνον ἀπὸ μὲν τῆς ἀνατολῆς μέχρι τοῦ πρώτου στηριγμοῦ μᾶλλόν εἰσιν ὑγραντικοί, ἀπὸ δὲ τοῦ πρώτου στηριγμοῦ μέχρι τῆς ἀκρονύκτου μᾶλλον θερμαντικοί, ἀπὸ δὲ τῆς ἀκρονύκτου μέχρι τοῦ δευτέρου στηριγμοῦ μᾶλλον ξη-* 500 c 6ᵛ *ραντικοί, ἀπὸ δὲ τοῦ δευτέρου στηριγμοῦ μέχρι δύσεως*
3 *μᾶλλον ψυκτικοί. δῆλον δέ ἐστιν ὅτι καὶ ἀλλήλοις συγκιρνάμενοι παμπληθεῖς διαφορὰς ποιοτήτων εἰς τὸ περιέχον ἡμᾶς ἀπεργάζονται, κατακρατούσης μὲν ὡς ἐπίπαν τῆς ἰδίας ἑκάστου δυνάμεως, τρεπομένης δὲ κατὰ τὸ ποσὸν ὑπὸ* 505 *τῆς τῶν συσχηματιζομένων.*

θ'. Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως

1 *Ἑξῆς δέοντος καὶ τὰς τῶν ἀπλανῶν ἀστέρων φύσεις κατὰ τὸ ἰδίως αὐτῶν ποιητικὸν ἐπιδραμεῖν, ἐκθησόμεθα καὶ τὰς*

T 507–599 (§ 1–13) Heph. I 3,1–13

S 508–671 (§ 1–24) Anon. a. 379 CCAG V 1 (1904) p. 197,12–204,8. Heph. Ep. IV 1 passim. Iulian. (?) CCAG V 1 (1904) p. 209,1–225,2. Rhet. B passim et Rhet. C p. 174, 18–180,9. Anon. De stellis fixis c. VII || **508–511** (§ 1 in.) Porph. 2 p. 195,6–8

493 *κατὰ … θερμότητος* om. **V** || **495** post *διχοτόμου*: *μείωσιν* add. **m** || **496** *κρύψεως* **Vβ** Procl. *τρήψεως* **Y** *τρέψεως* **G** *συνόδου* **γ** | *πλανώμενοι* "superi scil." Boll, cf. 1,489 || **497** *ἑῷοι μόνον* **βγ** *ἑῷοι* **VL** *ἑω μένω* **Y** || **499** *ἀκρονύχου*

510 *ἐπ' αὐτῶν τετηρημένας ἰδιοτροπίας κατὰ τὸ ὅμοιον ταῖς τῶν πλανωμένων φύσεσι τὸν ἐμφανισμὸν ποιούμενοι· καὶ πρῶτον τῶν περὶ αὐτὸν τὸν διὰ μέσων κύκλον ἐχόντων τὰς μορφώσεις.*

2 *Τοῦ Κριοῦ τοίνυν οἱ μὲν ἐν τῇ κεφαλῇ τὸ ποιητικὸν* 515 *ὁμοίως ἔχουσι κεκραμένον τῇ τε τοῦ Ἄρεως καὶ τῇ τοῦ Κρόνου δυνάμει, οἱ δὲ ἐν τῷ στόματι τῇ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῇ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ ὀπισθίῳ ποδὶ τῇ* m 23 *τοῦ Ἄρεως, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς τῇ τῆς Ἀφροδίτης.*

3 *Τῶν δὲ ἐν τῷ Ταύρῳ ἀστέρων οἱ μὲν ἐπὶ τῆς ἀποτο-* 520 *μῆς ὁμοίαν ἔχουσι κρᾶσιν τῷ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῇ Πλειάδι τῇ τε σελήνῃ καὶ τῷ*

T 514–518 (§ 2) Heph. Ep. IV 1,5 ‖ 519–525 (§ 3) Heph. Ep. IV 1,23

βγ ut l. 500 | *μᾶλλον … ἀκρονύκτου* om. **V** ‖ **500** *τοῦ δευτέρου*] *κέντρου* **V** ‖ **501** *δύσεως* om. **V** lacunam indicans ‖ **502** *συγκιρνάμενοι* **V** *συγκαρνάμενοι* **Y** *συγκιρνώμενοι* **βγ**, cf. 1,92 ‖ **503** *παμπληθεῖς* **VY** *παμπόλλους* **βγ** ‖ **506** *συσχηματιζομένων*] *σχηματιζομένων ἐναντιώσεως* **c** ‖ **507 – 671** (c. 9) cum apparatu uberiore edidit Boll, Antike Beobachtungen (1916), 8–12 ‖ **507** *τῆς* om. **V** ‖ **508** *δέοντος* Kroll (cf. 2,927 *ὀφειλόντων*) *δὲ ὄντος* **VLY** (recepit Robbins) *ὄντος ἀκολούθου* **βγ** (maluit Boll) | *καὶ*] *καὶ τοῦ* **γ** | *ἀστέρων* **VLγ** Heph. om. **Yβ** ‖ **509** *ποιητικὴν* **V** *ἐνεργητικὸν* **L** ‖
512 *διὰ μέσων κύκλον*] *ζῳδιακὸν* **Σc** ‖ **515** *Ἄρεως καὶ* om. **Y** ‖ **518** *Ἄρεως*] *πυρόεντος* **MS** et hic et saepius, cf. 1,408 ‖ **519** *τῶν … ἀστέρων*] *τοῦ δὲ Ταύρου* **Σc** | *ἀστέρων* **VLYγ** Heph. Procl. om. praeter **Σc** etiam **β** ‖ **520** *τῷ* (sc. *ἀστέρι*)] *τῇ* (sc. *δυνάμει*) Heph., sim. al.

τοῦ Ἄρεως, τῶν δὲ ἐν τῇ κεφαλῇ ὁ μὲν λαμπρὸς τῆς Ὑάδος καὶ ὑπόκιρρος (καλούμενος δὲ Λαμπαύρας) τῷ τοῦ Ἄρεως, οἱ δὲ λοιποὶ τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν ἄκροις τοῖς κέρασι τῷ τοῦ Ἄρεως. 525

4 *Τῶν δὲ ἐν τοῖς Διδύμοις ἀστέρων οἱ μὲν ἐπὶ τῶν ποδῶν τῆς ὁμοίας κεκοινωνήκασι ποιότητος τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ περὶ τοὺς μηροὺς λαμπροὶ τῷ τοῦ Κρόνου, τῶν δὲ ἐν ταῖς κεφαλαῖς δύο λαμπρῶν ὁ μὲν ἐν τῇ προηγουμένῃ τῷ τοῦ Ἑρμοῦ (καλεῖ-* 530 *ται δὲ καὶ Ἀπόλλωνος), ὁ δὲ ἐν τῇ ἑπομένῃ τῷ τοῦ Ἄρεως (καλεῖται δὲ καὶ Ἡρακλέους).*

T 526–532 (§ 4) Heph. Ep. IV 1,40

S 523 *ὑπόκιρρος* Synt. VII 5 p. 88,1 ‖ **531–532** *Ἀπόλλωνος … Ἡρακλέους* Plin. nat. II 39 (cf. 34). Ps.Aristot. Mund. 2 p. 292[a] 25 (inde Apul. mund. 2 p. 138,23 Thomas). Hyg. astr. II 22 l. 942 Viré. Achill. Isag. 17 p. 43,20–25. Iulian. Laodic. CCAG V 1 (1904) p. 188,10. Anon. ibid. p. 225,25–26 et 29–30 ‖ **532** *Ἡρακλέους* Theo Smyrn. p. 130,24, cf. Macr. Sat. III 12,5–6

522 *Ἄρεως* **VY** Heph. Procl. *Διὸς* **βγ** Heph. Ep. IV 1,23 (cf. 1,596) *τοῦ τῆς* ♀ **Σ** in margine | *τῆς Ὑάδος* **Yβγ** Heph. (item Ep. IV 1,23) *ὁ τῆς Ὑάδος* **V** Procl. (recepit Robbins) *τῶν Ὑάδων* **Σc**, de nominibus cf. comm. ad Anon. De stellis fixis I 2,1 *Pliades* ‖ **523** *ἀπόκιρρος* **Σc** | *καλούμενος δὲ λαμπαύρας* om. **Y** Heph. (non ita Ep. IV 1,23) | *λαμπαύρας* **V** Procl. (cf. Pr. Kan.) *λαμπαίρας* **L** *λαμπαδίας* **βγ** Heph. Ep. IV 1,23 "nescio an genuina forma fuerit *λάμπουρος* i.e., 'vulpecula'" Boll *λάμπουρα* Scherer, Gestirnnamen 121, nisi est scribendum *λαμπάρης* ‖ **524** *οἱ δὲ λοιποὶ … Ἄρεως* om. **Σγc** | post *λοιποὶ*: *ἐκεῖ ὄντες* add. **m**

Τῶν δὲ ἐν τῷ Καρκίνῳ ἀστέρων οἱ μὲν ἐπὶ τῶν ποδῶν 5
δύο τῆς αὐτῆς ἐνεργείας εἰσὶ ποιητικοὶ τῷ τε τοῦ Ἑρμοῦ
535 *καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν ταῖς χηλαῖς τῷ τε τοῦ*
Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ, ἡ δὲ ἐν τῷ στήθει νεφελοειδὴς
συστροφή (καλουμένη δὲ Φάτνη) τῷ τε τοῦ Ἄρεως καὶ τῇ
σελήνῃ, οἱ δὲ ἑκατέρωθεν αὐτῆς δύο (καλούμενοι δὲ Ὄνοι)
τῷ τοῦ Ἄρεως καὶ τῷ ἡλίῳ.
540 *Τῶν δὲ περὶ τὸν Λέοντα οἱ μὲν ἐπὶ τῆς κεφαλῆς δύο* **6**
τὸ ὅμοιον ποιοῦσι τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ
Ἄρεως, οἱ δὲ ἐν τῷ τραχήλῳ τρεῖς τῷ τοῦ Κρόνου καὶ
m 24 *ἠρέμα τῷ τοῦ Ἑρμοῦ, ὁ δὲ ἐπὶ τῆς καρδίας λαμπρός (κα-*
λούμενος δὲ Βασιλίσκος) τῷ τοῦ Ἄρεως καὶ τῷ τοῦ Διός,
545 *οἱ δὲ ἐν τῇ ὀσφύι καὶ ὁ ἐπὶ τῆς οὐρᾶς λαμπρὸς τῷ τε τοῦ*

T 533–539 (§ 5) Heph. Ep. IV 1,57 || **540–547** (§ 6) Heph. Ep. IV 1,75

S 536–537 *νεφελοειδὴς συστροφὴ ... Φάτνη* Ap. II 14,9, cf. Manil. IV 530–532 || **537** *Φάτνη* Arat. 892–893 (et Schol. ad l. p. 435,2). Ps.Eratosth. Catast. 11 p. 92,12. 94,7. Gem. 3,4. Plin. nat. XVIII 353 || **538** *Ὄνοι* Ps.Eratosth. Catast. 11 p. 90,6. 94,4. Gem. 3,4 (v. app. cr.). Schol. Arat. ibid. || **544** *Βασιλίσκος* Gem. 3,5. Rhet. B p. 201,23

533 *ποδῶν* **βγ** Heph. (item Ep. IV 1,57, cf. initium Geminorum 1,526. Synt. VII 5 p. 96,7–8. Odapsus apud Heph. I 1,65. Eratosth. Catast. 11 p. 94 R. et Boll, Abh. 33 n. 3 necnon Hübner, Eigenschaften 455–460 ad Manil. II 199) *ὀφθαλμῶν* **VLD**[1]**α** Procl. (cf. Schol. Arat. 893) || **537** *τῇ σελήνῃ* **Y** Heph. Ep. IV 1,57 *τῆς σελήνης* **VLβγ**, cf. l. 571 || **540** *περὶ*] *παρὰ* **Y**, cf. 3,49.130.187. al. necnon CCAG VIII 3 (1912) p. 93,3 || **542** *Ἄρεως*] *Διὸς* **V**, cf. l. 522 || **545** *ἐν τῇ ὀσφύι* **Y** *ἐν τῷ ὀσφύι* **V** *ἐπὶ τῆς ὀσφύος* **βγ** Heph. (item Ep. IV 1,75) fort. recte

Κρόνου καὶ τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τοῖς μηροῖς τῷ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ.

7 *Τῶν δὲ κατὰ τὴν Παρθένον οἱ μὲν ἐν τῇ κεφαλῇ καὶ ὁ ἐπ' ἄκρας τῆς νοτίου πτέρυγος ὅμοιον ἔχουσι τὸ ποιητικὸν τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ λοι-* 550 *ποὶ τῆς πτέρυγος λαμπροὶ καὶ οἱ κατὰ τὰ περιζώματα τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, ὁ δὲ ἐν τῇ* c 7 *βορείῳ πτέρυγι λαμπρός (καλούμενος δὲ Προτρυγητήρ) τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ, ὁ δὲ καλούμενος Στάχυς τῷ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν* 555 *ἄκροις τοῖς ποσὶ καὶ τῷ σύρματι τῷ τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως.*

8 *Τῶν δὲ Χηλῶν τοῦ Σκορπίου οἱ μὲν ἐν ἄκραις αὐταῖς*

T **548–557** (§ 7) Heph. Ep. IV 1,92 || **558–560** (§ 8) Heph. Ep. IV 1,111 || **559–560** Abram. p. 207

S **549.551** *πτέρυγος* Ap. II 8,8. Val. I 2,49. Heph. I 1,100. Horosc. L 479 CCAG I (1898) p. 104,17 (corr. Neugebauer). Rhet. B p. 202,16. Rhet. C p. 216,13. Kam. M 374. Anon. C p. 166,31. Anon. L p. 108,8. Anon. S l. 24, cf. Manil. II 414 sq. || **554** *Στάχυς* Arat. 97. Ps.Eratosth. Catast. 9 p. 84,12.26. Manil. V 271. Gem. 3,6 || **556** *σύρματι* Synt. VII 5 p. 104,7, cf. Heph. I 1,104 || **558** *Χηλῶν* Ps.Eratosth. Catast. 7 p. 72,3–4. Verg. georg. I 33

546 *τε τῆς Ἀφροδίτης*] *τοῦ Κρόνου* **MS** (om. Heph. cod. **A**) || **548** *ἐπὶ τῆς κεφαλῆς* **MS** || **549** *νοτίας* **M** || **553** *προτρυγητὴς* **S** || **556** *σύρματι* [*ἅρματι* Σ[1]] *τοῦ ἱματίου* **LΣc** Procl. om. Heph. (non ita Ep. IV 1,92, cf. Heph. I 1,104) | *τοῦ Ἑρμοῦ*] *τοῦ Ἀφροδίτης* **MΣc** propter siglorum similitudinem, cf. 1,566.630.641 et saepius || **558** *Σκορπίου* **VLY** Heph. Procl. *ζυγοῦ* **Σc** om. **βγ** Heph. Ep. IV 1,111 | *ἄκραις αὐταῖς* **Vα** *ἄκροις αὐτοῖς* **Lβγ**

ὡσαύτως διατιθέασι τῷ τε τοῦ Διὸς καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ
560 *δὲ ἐν μέσαις τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἄρεως.*
Τῶν δὲ ἐν τῷ σώματι τοῦ Σκορπίου οἱ μὲν ἐν τῷ μετ- **9**
ώπῳ λαμπροὶ τὸ αὐτὸ ποιοῦσι τῷ τε τοῦ Ἄρεως καὶ
ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ σώματι τρεῖς, ὧν ὁ μέ-
σος ὑπόκιρρος καὶ λαμπρότερος (καλεῖται δὲ Ἀντάρης), τῷ
565 *τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Διός, οἱ δὲ ἐν τοῖς σπονδύ-*
λοις τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ
m 25 *ἐπὶ τοῦ κέντρου τῷ τε τοῦ Ἑρμοῦ καὶ τῷ τοῦ Ἄρεως, ἡ δὲ*
ἑπομένη νεφελοειδὴς συστροφὴ τῷ τε τοῦ Ἄρεως καὶ τῇ
σελήνῃ.
570 *Τῶν δὲ περὶ τὸν Τοξότην ὁ μὲν ἐπὶ τῆς ἀκίδος τοῦ βέ-* **10**
λους ὅμοιον ἔχει τὸ ποιητικὸν τῷ τε τοῦ Ἄρεως καὶ τῇ σε-
λήνῃ, οἱ δὲ περὶ τὸ τόξον καὶ τὴν λαβὴν τῆς χειρὸς τῷ τε
τοῦ Διὸς καὶ τῷ τοῦ Ἄρεως, ἡ δὲ ἐν τῷ προσώπῳ συ-

T 561–569 (§ 9) Heph. Ep. IV 1,130 ‖ **570–578** (§ 10) Heph. Ep. IV 1,147

S 564 *ὑπόκιρρος* Synt. VIII 1 p. 110,7 ‖ **565–566** *σπονδύλοις* Synt. VIII 1 p. 110,11 ‖ **568** *νεφελοειδὴς συστροφὴ* Synt. VIII 1 p. 112,5

560 *ἐν μέσαις*] *ἐν τῷ μέσῳ τῶν Χηλῶν* **L** ‖ **563** *σώματι*] *στόματι* **L**, cf. 1,593 ‖ **565** *σπονδύλοις* **γ** Heph. (item Ep. IV 1,130) Procl. *σφονδύλοις* **VLYβ** ‖ **566** *τῆς Ἀφροδίτης* **α** Heph. *τῆς Ἑρμῆς* **V** *τοῦ Ἑρμοῦ* **βγ** Heph. Ep. IV 1,130, cf. l. 556 ‖ **567** *καὶ … Ἄρεως* om. **D** ‖ **568** *ἑπομένη* **LMSγ** Heph. Ep. IV 1,130 *ἐπιμένη* **V** *λεγομένη* **α** Heph. om. **D** ‖ **570** *περὶ*] *ἐπὶ* **VL** Procl. (cf. 1,651. 663. al.) *κατὰ* Heph. | *ὁ … ἔχει* **βγ** Heph. (item Ep. IV 1,147, cf. Synt. VIII 1 p. 112,10) *οἱ … ἔχουσι* **V** (maluit Boll) *ἐν … ἔχει* **Y** ‖ **571** *τε* om. **Y** | *τῇ σελήνῃ* **VDSγ** Heph. (item Ep. IV 1,147) *τῆς σελήνης* **αM**, cf. l. 537

στροφὴ τῷ τε ἡλίῳ καὶ τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν ταῖς ἐφαπ-τίσι καὶ τῷ νώτῳ τῷ τοῦ Διὸς καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, 575 *οἱ δὲ ἐν τοῖς ποσὶ τῷ τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου, τὸ δὲ ἐπὶ τῆς οὐρᾶς τετράπλευρον τῷ τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Κρόνου.*

11 *Τῶν δὲ κατὰ τὸν Αἰγόκερων ἀστέρων οἱ μὲν ἐπὶ τῶν κεράτων ὡσαύτως ἐνεργοῦσι τῷ τε τῆς Ἀφροδίτης καὶ* 580 *ἠρέμα τῷ τοῦ Ἄρεως, οἱ δὲ ἐν τῷ στόματι τῷ τε τοῦ Κρό-νου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τοῖς ποσὶ καὶ τῇ κοιλίᾳ τῷ τε τοῦ Ἄρεως καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Διός.*

12 *Τῶν δὲ περὶ τὸν Ὑδροχόον οἱ μὲν ἐν τοῖς ὤμοις* 585 *ὁμοίως διατιθέασι τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ*

T 579–584 (§ 11) Heph. Ep. IV 1,165 || **585–590** (§ 12) Heph. Ep. IV 1,182

S 574–575 *ἐφαπτίσι* (*πτέρυξι*) Ap. II 8,8. Val. I 2,55. Heph. I 1,158. Horosc. L 479 CCAG I (1898) p. 104,17. Rhet. B p. 206,23 (cod. R, cf. Rhet. M et Rhet. W p. 130,31). Rhet. C p. 216,13–14. Anon. C p. 166,31–32. Anon. L p. 108,8. Anon. S l. 38

574 *ἐφαπτίσι* **VLβγ** Heph. Ep. IV 1,147 Procl. (irrepsit fort. e Synt. VIII 1 p. 114,3.7, sed cf. Manil. IV 560 *veste*) *πτέρυξι* **GΣ** (patente lacuna septem fere litterarum) **c** (recepit Boll, cf. 2,633 sq. necnon Val. I 2,55. Heph. I 1,158. Rhet. B p. 206,23 [cod. R]. al. Boll, Sphaera 182. Id. Abh. 13. Stern, Calendrier 198 ad tab. XII 2) *πτέρηξιν* **Y** *πτέρυξι ἤτοι ἐφαπτίσι* Heph. || **575** *Διὸς*] *Ἄρεως* Heph. Ep. IV 1,147 || **585** *περὶ*] *κατὰ* **L** | *Ὑδροχοόν*] *ὑδρη-* repetit **V** in margine, cf. 1,764 | post *Ὑδρο-χοόν*: *ἀστέρων* add. **L**

σὺν τοῖς ἐν τῇ ἀριστερᾷ χειρὶ καὶ τῷ ἱματίῳ, οἱ δὲ ἐπὶ τῶν μηρῶν μᾶλλον μὲν τῷ τοῦ Ἑρμοῦ, ἧττον δὲ τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῇ ῥύσει τοῦ ὕδατος τῷ τε τοῦ Κρόνου
590 *καὶ ἠρέμα τῷ τοῦ Διός.*

Τῶν δὲ περὶ τοὺς Ἰχθύας οἱ μὲν ἐν τῇ κεφαλῇ τοῦ νο- **13**
τιωτέρου ἰχθύος τὸ αὐτὸ ποιοῦσι τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Κρόνου, οἱ δὲ ἐν τῷ σώματι τῷ τοῦ Διὸς
m 26 *καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐπὶ τῆς οὐρᾶς καὶ ἐπὶ τοῦ νοτίου*
595 *λίνου τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν τῷ σώματι καὶ τῇ ἀκάνθῃ τοῦ βορείου ἰχθύος τῷ τοῦ Διὸς καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης, οἱ δὲ ἐν τῷ βορείῳ τοῦ λίνου τῷ τοῦ Κρόνου καὶ τῷ τοῦ Διός, ὁ δὲ ἐπὶ τοῦ συνδέσμου λαμπρὸς τῷ τε τοῦ Ἄρεως καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ.*

T 591–599 (§ 13) Heph. Ep. IV 1,199

587 *ἱματίῳ* **Yβγ** Heph. (item Ep. IV 1,182) *μετώπῳ* **VL** Procl. *χύματι* **Σ** (*ἱματίῳ* in margine) ‖ **591** *περὶ τοὺς Ἰχθύας* **VDγ** *περὶ τοῦ Ἰχθύος* **Y** *περὶ τοὺς ἰχθῦς* **Σ** (quem sequitur Robbins nihil monens) *ἐπὶ τοῖς Ἰχθύσιν* **M** *περὶ τοῖς ἰχθύσι* **S** ‖ **592** *τῷ τε τοῦ Κρόνου ἠρέμα καὶ τῷ τοῦ Ἑρμοῦ* **SC** ‖ **593** *σώματι*] *στόματι* Heph. (non ita Ep. IV 1,199), cf. 1,563 | *Διὸς* **VLDMγ** Heph. (item Ep. IV 1,199) Procl. *Ἄρεως* **α** (cf. 1,522) *Ἑρμοῦ* **S** (♃ in margine) ‖ **595** *τοῦ λίνου* **L** (recepit Robbins) *τοῦ αἴνου* **VD** *λίνῳ* **α** Heph. (item Ep. IV 1,199), praetulit Boll ‖ **596** *Διὸς*] *Ἄρεως* Heph. (om. cod. A; non ita Ep. IV 1,199) ‖ **598** *ὁ … λαμπρὸς* **VΣ** Heph. (cod. A, *οἱ … λαμπρὸς* cod. U) *οἱ … λαμπροὶ* **Yβγ** Heph. Ep. IV 1,199 | *τῶν συνδεσμῶν* **MS** ‖ **599** *Ἑρμοῦ*] *Κρόνου* **L**

Περὶ τῶν βορειοτέρων τοῦ ζῳδιακοῦ 600

14 *Τῶν δὲ ἐν ταῖς βορειοτέραις τοῦ ζῳδιακοῦ μορφώσεσι οἱ μὲν περὶ τὴν Μικρὰν ἄρκτον λαμπροὶ τὴν ὁμοίαν ἔχουσι ποιότητα τῷ τε τοῦ Κρόνου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης.*

Οἱ δὲ περὶ τὴν Μεγάλην ἄρκτον τῷ τοῦ Ἄρεως, οἱ δὲ ὑπὸ τὴν οὐρὰν αὐτῆς ἐν τῇ τοῦ Πλοκάμου συστροφῇ τῇ 605 *σελήνῃ καὶ τῷ τῆς Ἀφροδίτης.*

15 *Οἱ δὲ ἐν τῷ Δράκοντι λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἄρεως.*

Οἱ δὲ τοῦ Κηφέως τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Διός. c 7ᵛ

Οἱ δὲ περὶ τὸν Βοώτην τῷ τοῦ Ἑρμοῦ καὶ τῷ τοῦ Κρό- 610 *νου, ὁ δὲ λαμπρὸς καὶ ὑπόκιρρος καλούμενος Ἀρκτοῦρος τῷ τε τοῦ Ἄρεως καὶ τῷ τοῦ Διός.*

16 *Οἱ δὲ ἐν τῷ Βορείῳ στεφάνῳ τῷ τε τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Ἑρμοῦ.*

Οἱ δὲ κατὰ τὸν Ἐν γόνασι τῷ τοῦ Ἑρμοῦ. 615

Οἱ δὲ ἐν τῇ Λύρᾳ τῷ τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Ἑρμοῦ.

Καὶ οἱ ἐν τῷ Ὄρνιθι ὡσαύτως.

T 600–637 (§ 14–19) Heph. I 4,1

S 611 *ὑπόκιρρος* Synt. VII 5 p. 50,17

600 *περὶ … ζῳδιακοῦ* **VD** (in margine) Heph. (sed v. app. cr.) *περὶ τῶν κατὰ τὸ βόρειον ἡμισφαίριον μορφώσεων* **γ** om. **αMS** ‖ **601** *τοῖς βορειωτέροις* **Y** ‖ **604** *οἱ … ἐν τῇ … συστροφῇ* **Dγ** *ἡ … ἐν τῇ … συστροφῇ* **VY** *ἡ … συστροφὴ* **MS** Heph. (recepit Robbins) ‖ **607** *οἱ δὲ … Ἄρεως* om. **Dγ** | *καὶ … Ἄρεως* om. **L** ‖ **608** post *Ἄρεως*: *καὶ τῷ τοῦ Διός* add. **α** ‖ **611** *καλούμενος … Διός* **Vβγ** (cf. Heph.) *τῷ τοῦ Διὸς ὁ καὶ ἀρκτοῦρος καλούμενος* **α** ‖ **611** *καλούμενος*] *λεγόμενος* **L**, cf. 2,1075

Οἱ δὲ κατὰ τὴν Κασσιέπειαν τῷ τε τοῦ Κρόνου καὶ τῷ τῆς Ἀφροδίτης.

620 *Οἱ δὲ κατὰ τὸν Περσέα τῷ τε τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου, ἡ δὲ ἐν τῇ λαβῇ τῆς μαχαίρας συστροφὴ τῷ τοῦ Ἄρεως καὶ τῷ τοῦ Ἑρμοῦ.* 17

Οἱ δὲ ἐν τῷ Ἡνιόχῳ λαμπροὶ τῷ τε τοῦ Ἄρεως καὶ τῷ τοῦ Ἑρμοῦ.

625 *Οἱ δὲ κατὰ τὸν Ὀφιοῦχον τῷ τοῦ Κρόνου καὶ ἠρέμα τῷ τῆς Ἀφροδίτης.*

Οἱ δὲ περὶ τὸν Ὄφιν αὐτοῦ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἄρεως. 18

m 27 *Οἱ δὲ κατὰ τὸν Ὀϊστὸν τῷ τε τοῦ Ἄρεως καὶ ἠρέμα τῷ*
630 *τῆς Ἀφροδίτης.*

Οἱ δὲ περὶ τὸν Ἀετὸν τῷ τοῦ Ἄρεως καὶ τῷ τοῦ Διός.

Οἱ δὲ ἐν τῷ Δελφῖνι τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἄρεως.

Οἱ δὲ κατὰ τὸν Ἵππον λαμπροὶ τῷ τε τοῦ Ἄρεως καὶ 19
635 *τῷ τοῦ Ἑρμοῦ.*

Οἱ δὲ ἐν τῇ Ἀνδρομέδᾳ τῷ τῆς Ἀφροδίτης.

Οἱ δὲ τοῦ Τριγώνου τῷ τοῦ Ἑρμοῦ.

S 631 *Ἄρεως* Eratosth. catast. 43

622 *καὶ τῷ τοῦ Ἑρμοῦ* om. **MS** Heph. ‖ **623** *οἱ δὲ … Ἑρμοῦ* om. **LY** ‖ **625** *ἐν τῷ Ὀφιούχῳ* **M** ‖ **627** *τὸν ὄφιν αὐτοῦ* **Vα** *τὸν ὄφιν αὐτὸν* **βγ** *τὸν αὐτὸν ὄφιν* Heph. *τὴν ὄφιν* **cm** ‖ **630** *τῆς Ἀφροδίτης*] *τῆς Ἑρμῆς* **V**, cf. 1,556 ‖ **632–633** *οἱ δὲ … Ἄρεως* om. **MS** ‖ **632** *τῷ περὶ τοῦ Κρόνου* **V** ‖ **634** *οἱ δὲ … Ἄρεως* om. **L** ‖ **637** *τοῦ τριγώνου* **V** (in rasura) **Lβγ** *τοῦ δέλτω* **Y** *τοῦ δτ′* **L** *ἐν τῷ δέλτα* **Σc** *ἐν τῷ τριγώνῳ τῷ περὶ τὸν Κριὸν* Heph.

Περὶ τῶν νοτιωτέρων τοῦ ζῳδιακοῦ

20 *Τῶν δὲ ἐν τοῖς νοτιωτέροις τοῦ ζῳδιακοῦ μορφώμασιν ὁ μὲν ἐν τῷ στόματι τοῦ Νοτίου ἰχθύος λαμπρὸς ὁμοίαν ἔχει* 640 *τὴν ἐνέργειαν τῷ τε τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Ἑρμοῦ.*

Οἱ δὲ περὶ τὸ Κῆτος τῷ τοῦ Κρόνου.

Τῶν δὲ περὶ τὸν Ὠρίωνα οἱ μὲν ἐπὶ τῶν ὤμων τῷ τε τοῦ Ἄρεως καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ λοιποὶ λαμπροὶ τῷ τε τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου. 645

21 *Τῶν δὲ ἐν τῷ Ποταμῷ ὁ μὲν ἔσχατος καὶ λαμπρὸς τῷ τοῦ Διός, οἱ δὲ λοιποὶ τῷ τοῦ Κρόνου.*

Οἱ δὲ ἐν τῷ Λαγωῷ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ.

Τῶν δὲ περὶ τὸν Κύνα οἱ μὲν ἄλλοι τῷ τῆς Ἀφροδίτης, 650 *ὁ δὲ περὶ τὸ στόμα λαμπρὸς τῷ τοῦ Διὸς καὶ ἠρέμα τῷ τοῦ Ἄρεως.*

22 *Ὁ δὲ ἐν τῷ Προκύνι λαμπρὸς τῷ τε τοῦ Ἑρμοῦ καὶ ἠρέμα τῷ τοῦ Ἄρεως.*

Οἱ δὲ κατὰ τὸν Ὕδρον λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ 655 *τῷ τῆς Ἀφροδίτης.*

T 638–671 (§ 20–24) Heph. I 5,1

S 645 *Κρόνου* Hyg. astr. 4,18 ‖ **651–652** *ἠρέμα τῷ τοῦ Ἄρεως* Sen. nat. 1,1,6

638 *περὶ … ζῳδιακοῦ* om. **αMS** Heph. (cod. U) | *τοῦ ζῳδιακοῦ* **VD** Heph. (cod. A) *μορφώσεων* **γ** ‖ **639** *μορφώσεων* **γ** ‖ **641** *τῆς Ἑρμῆς* V, cf. 1,556 ‖ **643** *τῶν* (ante *δὲ*) **Vβγ** *οἱ* **α** | *οἱ* **Vα** *ὁ* **βγ** ‖ **644** *λοιποὶ* **Vα** om. **βγ** ‖ **647** *Διός*] *Ἄρεως* Heph. | *Κρόνου*] *Κριὸς* V, quocum conferas errorem A. Olivieri, CCAG I (1898) p. 132,23 *Κρόνον*, sed *Κριὸν* codd., adde Ant. CCAG VII (1908) p. 112,10 ‖ **651** *ὁ δὲ*] *οἱ δὲ* **Y** | *περὶ τὸ στόμα* **Vγ** *ἐπὶ τοῦ στόματος* **αβ** Heph., cf. 1,570 ‖ **653** *ὁ δὲ … Ἄρεως* om. **α**

Οἱ δὲ ἐν τῷ Κρατῆρι τῷ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ.

Οἱ δὲ περὶ τὸν Κόρακα τῷ τε τοῦ Ἄρεως καὶ τῷ τοῦ 23
660 *Κρόνου.*

Οἱ δὲ τῆς Ἀργοῦς λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Διός.

Τῶν δὲ περὶ τὸν Κένταυρον οἱ μὲν ἐπὶ τῷ ἀνθρωπείῳ σώματι τῷ τε τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Ἑρμοῦ, οἱ δὲ ἐν
665 *τῷ ἵππῳ λαμπροὶ τῷ τε τῆς Ἀφροδίτης καὶ τῷ τοῦ Διός.*

m 28 *Οἱ δὲ περὶ τὸ Θηρίον λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ* 24 *ἠρέμα τῷ τοῦ Ἄρεως.*

Οἱ δὲ ἐν τῷ Θυμιατηρίῳ τῷ τε τῆς Ἀφροδίτης καὶ ἠρέμα τῷ τοῦ Ἑρμοῦ.

670 *Οἱ δὲ ἐν τῷ Νοτίῳ στεφάνῳ λαμπροὶ τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἑρμοῦ.*

ι′. Περὶ τῶν ὡρῶν τοῦ ἔτους

Αἱ μὲν οὖν τῶν ἀστέρων καθ' ἑαυτοὺς δυνάμεις τοιαύτης 1 *ἔτυχον ὑπὸ τῶν παλαιοτέρων παρατηρήσεως. καὶ τῶν*
675 *ὡρῶν δὲ τοῦ ἔτους τεσσάρων οὐσῶν (ἔαρός τε καὶ θέρους*
c 8 *καὶ μετοπώρου καὶ χειμῶνος) τὸ μὲν ἔαρ ἔχει τὸ μᾶλλον ἐν τῷ ὑγρῷ διὰ τὴν κατὰ τὸ παρῳχημένον ψῦχος ἀρχομέ-*

663 *ἐπὶ* **Vγ** *ἐν* **α** Heph. (recepit Robbins) *περὶ* **β**, cf. 1,570 ‖ **664** *Ἑρμοῦ* **Vα** ♂ **βγ** *Ἄρεως* Heph. ‖ **665** *ἵππῳ* **VLYDγ** Procl. *ἱππείῳ* **MS** Heph. | *Διός*] *Ἄρεως* Heph. ‖ **669** *Ἑρμοῦ*] *Κρόνου* **Σc** Heph. ‖ **670** *οἱ … λαμπροὶ* **α** Heph. Procl. *ὁ … λαμπρὸς* **Vβγ** ‖ **672** titulum post l. 674 *παρατηρήσεως* **VLDγ** | *τοῦ ἔτους* om. **αM** | postea *καὶ* [*τῶν* **D**] *τεσσάρων γωνίων δυνάμεως* add. **αβ** ‖ **677** *διὰ τὴν … διάχυσιν*] *τῆς κατὰ τὸ παρῳχημένον ψῦχος συστάσεως, ἀρχομένης δὲ τῆς θερμασίας διαχεῖσθαι* **Σ** (sim. Co le p. 25,–7)

νης τῆς θερμασίας διάχυσιν· τὸ δὲ θέρος τὸ πλεῖον ἔχει ἐν τῷ θερμῷ διὰ τὴν τοῦ ἡλίου πρὸς τὸν κατὰ κορυφὴν ἡμῶν τόπον ἐγγύτητα· τὸ δὲ μετόπωρον τὸ μᾶλλον ἐν τῷ ξηρῷ 680 *διὰ τὴν κατὰ τὸ παρῳχημένον καῦμα τῶν ὑγρῶν ἀνάποσιν· ὁ δὲ χειμὼν τὸ πλεῖον ἔχει ἐν τῷ ψυχρῷ διὰ τὸ τὸν ἥλιον πλεῖον ἀφίστασθαι τοῦ κατὰ κορυφὴν ἡμῶν τόπου.*
2 *διόπερ καὶ τοῦ ζῳδιακοῦ κύκλου μηδεμιᾶς οὔσης φύσει ἀρχῆς ὡς κύκλου τὸ ἀπὸ τῆς ἐαρινῆς ἰσημερίας ἀρχόμενον* 685 *δωδεκατημόριον τὸ τοῦ Κριοῦ καὶ τῶν ὅλων ἀρχὴν ὑποτίθενται, καθάπερ ἐμψύχου ζῴου τοῦ ζῳδιακοῦ τὴν ὑγρὰν τοῦ ἔαρος ὑπερβολὴν προκαταρκτικὴν ποιούμενοι καὶ ἐφεξῆς τὰς λοιπὰς ὥρας· διὰ τὸ καὶ πάντων ζῴων τὰς μὲν* m 29

S 684–685 *μηδεμιᾶς … ἀρχῆς* Harm. III 8 p. 101,5 ‖ **685** *ἐαρινῆς ἰσημερίας* Synt. II 7 p. 117,22, Euseb. in Const. VI 8 p. 208,26 Heikel ‖ **686–697** (§ 2 fin.) Ant. CCAG I (1898) p. 143,7–10. Porph. 2 p. 192,7–12. Hermipp. II 95. al. ‖ **686** *Κριοῦ … ἀρχὴν* Synt. VII 1 p. 8,20. Paul. Alex. 2 p. 2,10

678 *ἔχει* om. **α** ‖ **680** *τόπον* om. **Σ** | *τὸ μᾶλλον* **βγ** *μᾶλλον* **VL** *τῶν ἄλλων* **Y** ‖ **681** *ἀνάποσιν* **Vγ** *ἀνάπωσιν* **β** *ἀνείπωσιν* **L** *ἀνίπωσιν* **Y** *ἀνάπαυσιν* **Σc** *ἀνάπωτιν* Robbins nihil monens, cf. 1,713 ‖ **682** *ἔχει* om. **αMS** | *τὸ* **VΣ** Procl. *τε* **Y** *τότε* **A** *τὸ τότε* **βBC** | *πλεῖον* **VLDγ** *πλεῖστον* **α** *τὸ πλεῖστον* **MS**, cf. 1,690 ‖ **684** *κύκλου* prius om. **α**, neglexerunt uno animo Boll Robbins, cf. 2,505 ‖ **685** *τὸ* om. **VL** Procl. ‖ **687** *ἐμψύχου* **VαS** *ἔμψυχον* **DMγ** | *ζῴου* om. **βγ** | *τοῦ ζῳδιακοῦ*] *διὰ* **γ** | *τὴν* om. **VD** ‖ **688** *ἔαρος* **MS** Co p. 26,16 *ἀέρος* **VLYDγ**, cf. Paul. Alex. 2 p. 4,15 | *προκαταρκτικὴν* **αMS** *προκαταρτικὴν* **V** *προκαταρκτικὸν* **γ** *προκαταρτικῶς* **D** | *ποιούμενοι* **VYDγ** *ποιούμενος* **MS** | postea *τοῦ ζῳδιακοῦ* add. **γ** ‖ **689** *διὰ τὸ*] *διατάττουσι* **V**

690 *πρώτας ἡλικίας τὸ πλεῖον ἔχειν τῆς ὑγρασίας παραπλησίως τῷ ἔαρι, ἁπαλὰς οὔσας ἔτι καὶ τρυφεράς, τὰς δὲ δευτέρας τὰς μέχρι τῆς ἀκμαιότητος τὸ πλεῖον ἔχειν ἐν τῷ θερμῷ παραπλησίως τῷ θέρει, τὰς δὲ τρίτας καὶ ἤδη ἐν παρακμῇ καὶ ἀρχῇ φθίσεως τὸ πλεῖον ἤδη καὶ αὐτὰς*
695 *ἔχειν ἐν τῷ ξηρῷ παραπλησίως τῷ μετοπώρῳ, τὰς δὲ ἐσχάτας καὶ πρὸς τῇ διαλύσει τὸ πλεῖον ἔχειν ἐν τῷ ψυχρῷ, καθάπερ καὶ ὁ χειμών.*

ια'. Περὶ τῆς τῶν τεσσάρων γωνιῶν δυνάμεως

Ὁμοίως δὲ καὶ τῶν τεσσάρων τοῦ ὁρίζοντος τόπων καὶ γω- 1
700 *νιῶν, ἀφ' ὧν καὶ οἱ καθ' ὅλα μέρη πνέοντες ἄνεμοι τὰς ἀρχὰς ἔχουσιν, ὁ μὲν πρὸς ταῖς ἀνατολαῖς αὐτός τε τὸ πλεῖον ἔχει ἐν τῷ ξηρῷ (διὰ τὸ κατ' αὐτὸν γινομένου τοῦ ἡλίου τὰ ἀπὸ τῆς νυκτὸς ὑγρανθέντα τότε πρῶτον ἄρχεσθαι ξηραίνεσθαι) οἵ τε ἀπ' αὐτοῦ πνέοντες ἄνεμοι, οὓς*
705 *κοινότερον ἀπηλιώτας καλοῦμεν, ἄνικμοί τέ εἰσιν καὶ ξηραντικοί. ὁ δὲ πρὸς μεσημβρίᾳ τόπος αὐτός τέ ἐστι θερμό-* 2

S 690 *ὑγρασίας* Ap. IV 10,6 || **699–721** (§ 1–4) Hermipp. II 68–70

690 *πλεῖον* **Vα** *πλεῖστον* **βγ**, cf. l. 682 | *ὑγρασίας* **VDγ** *ὑγρᾶς οὐσίας* **LαMS** Procl. (praetulit Robbins) || **691** *ἁπαλὰς οὔσας*] *ἀπολαβούσας* **Y** || **692** *ἀκμαιότητος* **Vβγ** *ἀκμαιοτάτης* **α** || **693** *θερμῷ* **VLβγ** *θερμαίνειν* **α** || **698** *περὶ ... δυνάμεως* **VDSγ** Procl. *περὶ μερῶν τοῦ ὁρίζοντος* **L** om. **αM**, cf. apparatum ad l. 672 | post *δυνάμεως*: *ἤτοι τῆς φύσεως τῶν ἀνέμων* add. **D** || **699** *καὶ γωνιῶν ἀφ' ὧν*] *τῆς γῆς* **MS** || **700** *καθόλα μέρη* **VLα** *καθόλα* **γ** *καθόλου* **V**[1] **β**, cf. *οἱ καθολικοὶ ἄνεμοι* Procl. || **701** *ταῖς ἀνατολαῖς* **VLS** *ἀνατολαῖς* **M** *τὰς ἀνατολὰς* **α** *ἀνατολὰς* **Dγ** | *τε* **α** om. **VLβγ**, sed cf. l. 712 || **705** *καλοῦσι* **Σ**

τατος διά τε τὸ πυρῶδες τῶν τοῦ ἡλίου μεσουρανήσεων καὶ διὰ τὸ ταύτας κατὰ τὴν τῆς ἡμετέρας οἰκουμένης ἔγκλισιν πρὸς μεσημβρίαν μᾶλλον ἀποκλίνειν· οἵ τε ἀπ' αὐτοῦ πνέοντες ἄνεμοι, οὓς κοινῶς νότους καλοῦμεν, θερμοί 710
3 *τέ εἰσι καὶ πληρωτικοί. ὁ δὲ πρὸς ταῖς δυσμαῖς τόπος αὐτός τέ ἐστιν ὑγρὸς διὰ τὸ κατ' αὐτὸν γινομένου τοῦ ἡλίου τὰ ἀπὸ τῆς ἡμέρας ἀναποθέντα τότε πρῶτον ἄρχεσθαι* m 30 *ὑγραίνεσθαι· οἵ τε ἀπ' αὐτοῦ φερόμενοι ἄνεμοι, οὓς κοινό-*
4 *τερον ζεφύρους καλοῦμεν, νεαροί τέ εἰσι καὶ ὑγραντικοί. ὁ* 715 *δὲ πρὸς ταῖς ἄρκτοις τόπος αὐτός τέ ἐστι ψυχρότατος διὰ τὸ κατὰ τὴν τῆς ἡμετέρας οἰκουμένης ἔγκλισιν τὰς τῆς θερμότητος αἰτίας τοῦ ἡλίου μεσουρανήσεις πλεῖον αὐτοῦ διεστάναι ὥσπερ ἀντιμεσουρανοῦντος· οἵ τε ἀπ' αὐτοῦ* c 8ᵛ *πνέοντες ἄνεμοι (καλούμενοι δὲ κοινῶς βορέαι) ψυχροί τε* 720 *ὑπάρχουσι καὶ πυκνωτικοί.*

5 *χρησίμη δὲ καὶ ἡ τούτων διάληψις πρὸς τὸ τὰς συγκράσεις πάντα τρόπον ἑκάστοτε δύνασθαι διακρίνειν. εὐκατανόητον γάρ, διότι καὶ παρὰ τὰς τοιαύτας καταστάσεις ἤτοι τῶν ὡρῶν ἢ τῶν ἡλικιῶν ἢ τῶν γωνιῶν τρέπεταί πως* 725 *τὸ ποιητικὸν τῆς τῶν ἀστέρων δυνάμεως καὶ ἐν μὲν ταῖς οἰκείαις καταστάσεσιν ἀκρατοτέραν τε ἴσχουσι τὴν ποιότητα καὶ τὴν ἐνέργειαν ἰσχυροτέραν (οἷον ἐν ταῖς θερμαῖς*

711 *πληρωτικοί* **VLβγ** *μανωτικοί* **α** (recepit Robbins) || **712** *ὑγρὸς* **Vα** *ὑγρότατος* **MSγ** *ἐνυγρότατος* **D** || **713** *ἀναποθέντα* **VΣc** *ἀναπωθέντα* **βγ** *ἀνειπωθέντα* **L** *ἀνυποθέντα* **Y**, cf. 1,681 || **714** *ὑγραίνεσθαι* **VL** Procl. *διυγραίνεσθαι* **αβγ** (praetulit Robbins) || **718** *αἰτίας* pro adiectivo | *τοῦ ἡλίου μεσουρανήσεις* **Vβ** *τῶν τοῦ ☉ μεσουρανήσεων* **α** (recepit Robbins) *τοῦ ☉ μεσουρανοῦντος* **γ**Σ^2 (in margine) || **719** post *ὥσπερ*: *τοῦ ☉* (= *ἡλίου*) add. **c** || **720** *καλούμενοι δὲ*] *οἱ καλούμενοι* **Σ** || **722** *κατάληψις* **γ** || **723** *δύνασθαι* om. **Σ** || **728** *θερμαῖς*] *θερμασίαις* **V**


οἱ θερμαντικοὶ τὴν φύσιν καὶ ἐν ταῖς ὑγραῖς οἱ ὑγραντι-
730 *κοί), ἐν δὲ ταῖς ἐναντίαις κεκραμένην καὶ ἀσθενεστέραν,*
ὡς ἐν ταῖς ψυχραῖς οἱ θερμαντικοὶ καὶ ἐν ταῖς ξηραῖς οἱ
ὑγραντικοί, καὶ ἐν ταῖς ἄλλαις δὲ ὡσαύτως κατὰ τὸ ἀνά-
λογον τῆς διὰ τῆς μίξεως συγκιρναμένης ποιότητος.

m 31 *ιβ′. Περὶ τροπικῶν καὶ ἰσημερινῶν καὶ στερεῶν*
735 *καὶ δισώμων ζῳδίων*

Τούτων δὲ οὕτως προεκτεθέντων ἀκόλουθον ἂν εἴη συν- 1
άψαι καὶ τὰς αὐτῶν τῶν τοῦ ζῳδιακοῦ δωδεκατημορίων
παραδεδομένας φυσικὰς ἰδιοτροπίας. αἱ μὲν γὰρ ὁλοσχερέ-
στεραι καθ' ἕκαστον αὐτῶν κράσεις ἀναλόγως ἔχουσι ταῖς
740 *κατ' αὐτὰ γινομέναις ὥραις. συνίστανται δέ τινες αὐτῶν*
ἰδιότητες καὶ ἀπὸ τῆς πρός τε τὸν ἥλιον καὶ τὴν σελήνην
καὶ τοὺς ἀστέρας οἰκειώσεως, ἃς ἐν τοῖς ἐφεξῆς [I 14]
διελευσόμεθα, προτάξαντες τὰς κατὰ τὸ ἀμιγὲς αὐτῶν μό-
νων τῶν δωδεκατημορίων καθ' αὐτά τε καὶ πρὸς ἄλληλα
745 *θεωρουμένας δυνάμεις.*

730 *ἐν δὲ … ὑγραντικοί* om. **γ** ‖ **732** *τὸ ἀνάλογον* **VαDγ** *ἀναλογίαν* **MS** ‖ **733** *τῆς δὶα … ποιότητος*] *καὶ τῇ διὰ τῆς μίξεως συγκιρναμένῃ ποιότητι* **Σ** ‖ **734** titulum hic praebent **αDγ**, post l. 745 *δυνάμεις* **V** Procl. Co p. 28,–17 om. **L** | *καὶ ἰσημερινῶν*] *μεσεμβρινῶν* **D** om. Co | *καὶ στερεῶν* om. **Σc** ‖ **737** *τὰς* **VLY** ante **738** *παραδεδομένας* **Σγ** om. **β** ‖ **738** *δεδομένας* **Y** ‖ **739** *ἀναλόγως* **Lαβγc** *ἀνάλογον* **V** (praetulerunt Boll Robbins) ‖ **740** *κατ' αὐτὰ* **LΣβγ** *κατ' αὐτὸ* **V** *καθ' ἑαυτὸν* **Y**, cf. l. 744 ‖ **743** *μόνων* **αβγ** *μόνον* **VL** ‖ **744** *καθ' αὐτά* **LΣ** *κατ' αὐτάς* **V** *καθ' ἑαυτά* **βγ** (maluit Boll) om. **Y**, cf. 1,924. 3,1022. 4,714.738 necnon 2,1101. 3,527. 4,651 ‖ **745** *δυνάμεις* **deficit L**

fig. 1. tria quadrata



2 *πρῶται μὲν τοίνυν εἰσὶ διαφοραὶ τῶν καλουμένων τροπικῶν καὶ ἰσημερινῶν καὶ στερεῶν καὶ δισώμων. δύο μὲν γάρ ἐστι τροπικά· τό τε πρῶτον ἀπὸ τῆς θερινῆς τροπῆς*

S **746–775** (§ 2–5) Manil. II 159–196.658–667. Dor. A I 27,13. Val. I 2 passim. Sphuj. 1,45. Sext. Emp. V 6.10–11. Paul. Alex. 2 passim et p. 8,13–9,2. Lun. a. 354 p. 44. Ps.Cens. epit. 2,6. Heph. I 1 passim. Rhet. A p. 143,10–144,20. Rhet. B passim. Anon. L p. 105,16–18. 110,13–17. al. || **746–747** *τροπικῶν καὶ ἰσημερινῶν* Synt. I 8 p. 29,7–16, aliter Manil. III 618–666

748–750 *θερινῆς … τῆς* om. **V** || **748** *τροπῆς* om. **β**

τριακοντάμοιρον (τὸ τοῦ Καρκίνου) καὶ τὸ πρῶτον ἀπὸ
750 *τῆς χειμερινῆς τροπῆς (τὸ κατὰ τὸν Αἰγόκερων). ταῦτα δὲ* 3
ἀπὸ τοῦ συμβεβηκότος εἴληφε τὴν ὀνομασίαν· τρέπεται
γὰρ ἐν ταῖς ἀρχαῖς αὐτῶν γινόμενος ὁ ἥλιος, ἐπιστρέφων
εἰς τὰ ἐναντία τῶν κατὰ πλάτος παρόδων, καὶ κατὰ μὲν
τὸν Καρκίνον θέρος ποιῶν, κατὰ δὲ τὸν Αἰγόκερων χει-
755 *μῶνα. δύο δὲ καλεῖται ἰσημερινά· τό τε ἀπὸ τῆς ἐαρινῆς*
ἰσημερίας πρῶτον δωδεκατημόριον (τὸ τοῦ Κριοῦ) καὶ τὸ
ἀπὸ τῆς μετοπωρινῆς (τὸ τῶν Χηλῶν). ὠνόμασται δὲ καὶ
m 32 *ταῦτα πάλιν ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ κατὰ τὰς ἀρ-*
χὰς αὐτῶν γινόμενος ὁ ἥλιος ἴσας ποιεῖ πανταχῇ τὰς νύ-
760 *κτας ταῖς ἡμέραις.*

τῶν δὲ λοιπῶν ὀκτὼ δωδεκατημορίων τέσσαρα μὲν κα- 4
λεῖται στερεά, τέσσαρα δὲ δίσωμα. καὶ στερεὰ μέν ἐστι τὰ
ἑπόμενα τοῖς τε τροπικοῖς καὶ τοῖς ἰσημερινοῖς (Ταῦρος,
Λέων, Σκορπίος, Ὑδροχόος), ἐπειδὴ τῶν ἐν ἐκείνοις ἀρχο-
c 9 765 *μένων ὡρῶν αἵ τε ὑγρότητες καὶ θερμότητες καὶ ξηρότη-*
τες καὶ ψυχρότητες ἐν τούτοις γινομένου τοῦ ἡλίου μᾶλλον
καὶ στερεώτερον ἡμῶν καθικνοῦνται, οὐ τῶν καταστημά-
των φύσει γινομένων τότε ἀκρατοτέρων, ἀλλ' ἡμῶν ἐγκε-

S 751 *τρέπεται* Manil. II 191. III 666

749 *τριακοντάμοιρον* **VLαβ** *ιβ′ μοιρον* **γ** ‖ **753** *τῶν … παρόδων* **VL** *τὴν … πάροδον* **αβ** *τῆς παρόδου* **γ** | *καὶ* om. **S** neglexit Boll ‖ **754** *καρκῖνον* **V** (quod abhinc non notaverim) ‖ **763** post *ἰσημερινοῖς*: *ὡς μέσοις τοῖς τε τροπικοῖς καὶ* (sequente lacuna septem fere litterarum) add. **V**, *ἤγουν τὸ τοῦ* (siglo Tauri omisso) **γ**, cf. 1,771 ‖ **764** *ὑδρηχόος* **V** (cf. 1,585), quod abhinc monere supersedeo ‖ **766** *ψυχρότητες καὶ ξηρότητες* **α** | post *ἡλίου*: *ἐπιτεταγμέναι* Σ, inde *καὶ ἐπιτετα⟨γ⟩μέναι* **c** ‖ **768** *εὐκρατότερον* **β** | *ἡμῶν δὲ* **βγ** | postea *μᾶλλον* add. **γ**

χρονικότων αὐτοῖς ἤδη καὶ διὰ τοῦτο τῆς ἰσχύος αὐτῶν
5 *εὐαισθητότερον ἀντιλαμβανομένων. δίσωμα δέ ἐστι τὰ τοῖς* 770
στερεοῖς ἑπόμενα (Δίδυμοι, Παρθένος, Τοξότης, Ἰχθύες)
διὰ τὸ μεταξύ τε εἶναι τῶν στερεῶν καὶ τροπικῶν καὶ ἰση-
μερινῶν καὶ ὥσπερ κεκοινωνηκέναι κατά τε τὰ τέλη καὶ
κατὰ τὰς ἀρχὰς τῆς τῶν δύο καταστημάτων φυσικῆς
ἰδιοτροπίας. 775


ιγ΄. Περὶ ἀρρενικῶν καὶ θηλυκῶν ζῳδίων

1 *Πάλιν δὲ ὡσαύτως ἓξ μὲν τῶν δωδεκατημορίων ἀπένειμαν*
τῇ φύσει τῇ ἀρρενικῇ καὶ ἡμερινῇ, ἓξ δὲ τῇ θηλυκῇ καὶ
νυκτερινῇ. καὶ ἡ μὲν τάξις αὐτοῖς ἐδόθη παρ' ἓν διὰ τὸ
συνεζεῦχθαι καὶ ἐγγὺς ἀεὶ τυγχάνειν τὴν ἡμέραν τῇ νυκτὶ 780 m 33
2 *καὶ τὸ θῆλυ τῷ ἄρρενι. τῆς δὲ ἀρχῆς ἀπὸ τοῦ Κριοῦ δι' ἃς*
εἴπομεν [I 10,2] *αἰτίας λαμβανομένης, ὡσαύτως δὲ καὶ τοῦ*
ἄρρενος ἄρχοντος καὶ πρωτεύοντος, ἐπειδὴ καὶ τὸ ποιητι-
κὸν ἀεὶ τοῦ παθητικοῦ πρῶτόν ἐστι τῇ δυνάμει, τὸ

S 770–775 (§ 5) Manil. II 175–193. Schol. Paul. Alex. 1 || **777–789** (§ 1–2) Manil. II 150–154.221–222. Dor. A I 28. Val. I 2 passim. Mich. Pap. III 149 col. XVI 4–20. Sphuj. 1,30. Sext. Emp. V 6–8 (inde Hippol. ref. haer. V 13,6). Porph. 40. Firm. math. II 1,3 (cf. II 2,3–5). Paul. Alex. 2 passim et p. 8,7 (inde Co p. 29). Ps.Cens. epit. 2,5. Heph. I 1 passim (plenius Ep. IV 1). Rhet. A p. 144,23–25. Rhet. B passim. al.

769 *ἤδη αὐτοῖς* **γ** | *ἰσχύος*] *ἰχθύος* **V** | *αὐτῶν* om. **VYM** || **771** post *ἑπόμενα*: *ἤγουν τὸ τῶν* (sequentibus siglis) **γ**, cf. l. 763 || **772** *τε* om. **VLDγ** | *εἶναι* om. **γ** | *καὶ ἰσημερινῶν* **αγ** om. **Vβ** Procl. "fort. recte, sed v. Co [p. 29,–19]" Boll || **773** *τε* **VLγ** om. **αβ** || **778** *ἓξ δὲ* **V** Procl. *τὰ δὲ ἴσα* **αβγ** || **781** *τὸ θῆλυ τῷ ἄρρενι* **VYDγ** *τὸ ἄρρεν τῇ θηλείᾳ* **MS** || **782** *εἶπον* **β** || **783** *πρωτεύον* **V** || **784** *πρῶτον* cf. Blass-Debrunner–Rehkopf § 62

fig. 2. duo sexangulae figurae



785 *μὲν τοῦ Κριοῦ δωδεκατημόριον καὶ ἔτι τὸ τῶν Χηλῶν ἀρρενικά τε ἔδοξε καὶ ἡμερινά, ἐπειδήπερ ὁ ἰσημερινὸς κύκλος δι' αὐτῶν γραφόμενος τὴν πρώτην καὶ ἰσχυροτάτην τῶν ὅλων φορὰν ἀποτελεῖ, τὰ δὲ ἐφεξῆς αὐτῶν ἀκολούθως τῇ παρ' ἓν ὡς ἔφαμεν τάξει.*

785 *δωδεκαμόριον* **V** | *ἔτι τὸ* om. **V** ‖ **786** post *ἡμερινά*: *καὶ ἅμα* add. **α** (recepit Robbins antea interpungens) *ἅμα* tantum **β** ‖ **788** *τῶν ὅλων* **αMS** Procl. om. **VDγ** | *ἀκολούθως* **VMS** Procl. *ἀκόλουθα* **α**

3 *χρῶνται δέ τινες τῇ τάξει τῶν ἀρρενικῶν καὶ θηλυκῶν* 790
καὶ ἀπὸ τοῦ ἀνατέλλοντος δωδεκατημορίου, ὃ δὴ καλοῦσιν
ὡροσκοποῦν, τὴν ἀρχὴν τοῦ ἄρρενος ποιούμενοι. ὥσπερ
γὰρ καὶ τὴν τῶν τροπικῶν ἀρχὴν ἀπὸ τοῦ σεληνιακοῦ ζῳ-
δίου λαμβάνουσιν ἔνιοι, διὰ τὸ ταύτην τῶν ἄλλων τάχιον
τρέπεσθαι, οὕτως καὶ τὴν τῶν ἀρρενικῶν ἀπὸ τοῦ ὡρο- 795
4 *σκοποῦντος διὰ τὸ ἀπηλιωτικώτερον· καὶ οἱ μὲν ὁμοίως*
παρ' ἓν πάλιν τῇ τάξει χρώμενοι, οἱ δὲ καθ' ὅλα τεταρτη-
μόρια διαιροῦντες καὶ ἑῷα μὲν ἡγούμενοι καὶ ἀρρενικὰ τό
τε ἀπὸ τοῦ ὡροσκόπου μέχρι τοῦ μεσουρανοῦντος καὶ τὸ
κατὰ ἀντίθεσιν ἀπὸ τοῦ δύνοντος μέχρι τοῦ ὑπὸ γῆν μεσ- 800
ουρανοῦντος, ἑσπέρια δὲ καὶ θηλυκὰ τὰ λοιπὰ δύο τε- m 34
ταρτημόρια.
5 *καὶ ἄλλας δέ τινας τοῖς δωδεκατημορίοις προσηγορίας*
ἐφήρμοσαν ἀπὸ τῶν περὶ αὐτὰ μορφώσεων (λέγω δὲ οἷον
τετράποδα καὶ χερσαῖα καὶ ἡγεμονικὰ καὶ πολύσπορα καὶ 805

S **796–802** (§ 4) Ap. I 6,2. Rhet. A p. 144,25–29 || **803–806** (§ 5 in.) Manil. II 155–264. Serap. CCAG V 3 (1910) p. 96,24–97,25. Ant. CCAG VIII 3 (1912) p. 112,15–26 (cf. Thrasyll. ibid. p. 99,4–5). Val. I 2 passim. Iulian. Laodic. CCAG IV (1903) p. 152,6–23. Heph. I 1 passim. Rhet. B passim. Anon. CCAG I (1898) p. 164,8–166,37. Anon. L p. 105,1–110,2. Anon. M passim. Anon. S passim. Anon. CCAG V 1 (1904) p. 187,7–188,10

790 *καὶ θηλυκῶν* om. Σ || **791** *καὶ* ante *ἀπὸ* om. **βγ** || **792** *τοῦ ἄρρενος* om. Σ || **793** *καὶ* om. Σγ | *ζῳδίου*] *κύκλου* **ΜΣ** || **794** *τάχιον τῶν ἄλλων* Σ || **796** *τὸ ἀπηλιωτικώτερον* **V** Procl. *τὸ ἀφηλιωτικώτερον* **Γ** *τὸν ἀπηλιώτην* **αβγ** || **798** *ἡγούμενοι* om. **α** || **800** *ὑπὸ γῆν μεσουρανοῦντος* **Vβγ** *ἀντιμεσουρανοῦντος* **α** || **805** *πολύσπορα* **Vα** *πολύσπερμα* **βγ**, cf. Hübner, Eigenschaften 163

τὰ τοιαῦτα), ἃς αὐτόθεν τό τε αἴτιον καὶ τὸ ἐμφανιστικὸν ἐχούσας περισσὸν ἡγούμεθα καταριθμεῖν, τῆς ἐκ τῶν τοιούτων διατυπώσεων ποιότητος, ἐν αἷς ἂν τῶν προτελέσεων χρησίμη φαίνηται, δυναμένης προεκτίθεσθαι.

c 9ᵛ 810

ιδ′. Περὶ τῶν συσχηματιζομένων δωδεκατημορίων

Οἰκειοῦται δὲ ἀλλήλοις τῶν μερῶν τοῦ ζῳδιακοῦ πρῶτον 1 *τὰ συσχηματιζόμενα. ταῦτα δ' ἐστὶν ὅσα διάμετρον ἔχει στάσιν περιέχοντα δύο ὀρθὰς γωνίας καὶ ἓξ δωδεκατημό-*
815 *ρια καὶ μοίρας ρπ′, καὶ ὅσα τρίγωνον ἔχει στάσιν περιέχοντα μίαν ὀρθὴν γωνίαν καὶ τρίτον καὶ τέσσαρα δωδεκατημόρια καὶ μοίρας ρκ′, καὶ ὅσα τετραγωνίζειν λέγεται, περιέχοντα μίαν ὀρθὴν καὶ τρία δωδεκατημόρια καὶ μοίρας ϙ′, καὶ ἔτι ὅσα ἑξάγωνον ποιεῖται στάσιν περιέχοντα*
820 *δίμοιρον μιᾶς ὀρθῆς καὶ δωδεκατημόρια β′ καὶ μοίρας ξ′.*

S 812–839 (§ 1–3) Sext. Emp. V 39–40. Porph. 8 (~ Rhet. A p. 152 sq.). Paul. Alex. 10 ‖ **812–820** (§ 1) Synt. VIII 4 p. 185,18–186,4

806 *τὰ τοιαῦτα* **Vγ** *τὰς τοιαύτας* **β** *τὰ τοιαῦτα καλέσαντες* **α** | *ἃς* **Vβ** *ὡς* **Σγ** om. **Y** | *τό τε* **VYD** *τό γε* **MS** *τὸ* **Σγ** | *τὸ* post *καὶ* om. **α** ‖ **807** *τῆς* **α** *τοῖς* **V** *καὶ ὡς ἡ* **MSγ** *ὡς καὶ ἡ* **D** ‖ **808** *ποιότης* **βγ** ‖ **809** *δυναμένης* **VΓΨ** *δυνάμης* **Y** *δύναμις* **ΣΦ** *δυναμένη* **βγ** (abbrev. **MB**) | *προεκτίθεσθαι* **Vβγ** *πρωεκτέθηστ(αι)* **Y** *προεκτίθης* **G** *προεκτεθείσης* **ΣΦ** (abbrev.) **c** ‖ **810** *περὶ σχηματισμοῦ τῶν ἀστέρων* **L** ‖ **814** *δύο ὀρθὰς γωνίας* **Lα** Procl. *ὀρθὰς δύο γωνίας* **DMγ** *ὀρθὰς ἴσας γωνίας* **V** *ὀρθὰς γωνίας* **S** | *δωδεκατημόρια* **VLβγ** *δωδεκατημορίων* **Y** *τῶν δωδεκατημορίων* **Σ** ‖ **816** *τρίτον* **LY** Procl. *τρίτην* **V** *τρίτον ὀρθῆς* **βγ** ‖ **818** *ὀρθὴν* **VLαD** *ὀρθὴν γωνίαν* **MSγ** ‖ **820** *μιᾶς* **αβγ** *γωνίας* **VL** (recepit Boll) | *ξ′*] *ζ′* **V**

2 *δι' ἣν δὲ αἰτίαν αὗται μόναι τῶν διαστάσεων παρελήφθησαν, ἐκ τούτων ἂν μάθοιμεν. τῆς μὲν γὰρ κατὰ τὸ διάμετρον αὐτόθεν ἐστὶν ὁ λόγος φανερός, ἐπειδήπερ ἐπὶ μιᾶς εὐθείας ποιεῖται τὰς συναντήσεις. λαμβανομένων δὲ τῶν* m 35 *δύο μεγίστων καὶ διὰ συμφωνίας μορίων τε καὶ ἐπιμορίων,* 825 *μορίων μὲν πρὸς τὴν τῶν β' ὀρθῶν διάμετρον (τοῦ τε ἡμίσους καὶ τοῦ τρίτου), τὸ μὲν εἰς δύο τὴν τοῦ τετραγώνου πεποίηκε, τὸ δὲ εἰς τρία τὴν τοῦ ἑξαγώνου καὶ τὴν τοῦ*
3 *τριγώνου· ἐπιμορίων δὲ πρὸς τὸ τῆς μιᾶς ὀρθῆς τετράγωνον μεταξὺ λαμβανομένων (τοῦ τε ἡμιολίου καὶ τοῦ ἐπιτρί-* 830 *του), τὸ μὲν ἡμιόλιον πάλιν ἐποίησε τὴν τοῦ τετραγώνου πρὸς τὴν τοῦ ἑξαγώνου, τὸ δὲ ἐπίτριτον τὴν τοῦ τριγώνου πρὸς τὴν τοῦ τετραγώνου.*

τούτων μέντοι τῶν συσχηματισμῶν οἱ μὲν τρίγωνοι καὶ ἑξάγωνοι σύμφωνοι καλοῦνται διὰ τὸ ἐξ ὁμογενῶν συγκεῖσ- 835 *θαι δωδεκατημορίων ἤτοι ἐκ πάντων θηλυκῶν ἢ ἐκ*

S 834–839 (§ 3 fin.) Hermipp. I 138–139

821 *παρελέχθησαν* **β** ‖ **822** *ἂν μάθοιμεν* **VαSγ** *ἀναμάθοιμεν* **L** *ἂν μάθοιεν* **DM** | *τὸ* post *κατὰ* om. **Σγ** ‖ **826** *τὴν τῶν β' ὀρθῶν διάμετρον* **α** *τὸ τῶν β' ὀρθῶν* **V** (recepit Boll) *τὸ τῶν β' ὀρθὸν διάμετρον* **L** *τὸ τῶν β' ὀρθῶν διάμετρον* **β** *τὸ τῶν β' ὀρθῶν τετράγωνον* **γ** ‖ **828** *τρία*] *ς'* **V** | post *τὴν*: *τε* add. **V** ‖ **829** *τριγώνου*] *τετραγώνου* **Σ**, cf. l. 837 ‖ **830** *λαμβανομένων* **β** (cf. l. 821) *λαμβανόμενον* **γ** *λαμβανομένου* **Σ** *λαμβάνομεν* **V** *λαμβάνωμεν* **Y** ‖ **831** *πάλιν* om. **α** ‖ **832** *τὴν*] *τῶν* **V** ut l. 838, cf. 1,168 ‖ **834** *συσχηματισμῶν* **VM**(ex correctura)**Sγ** *σχηματισμῶν* **LαD** ‖ **836** *ἤτοι* **VLα** *ἢ* **βγ** | *θηλυκῶν ἢ ἐκ πάντων ἀρρενικῶν* **VLβ** *θηλυκῶν ἢ ἀρρενικῶν* **α** *ἀρρενικῶν ἢ ἐκ πάντων θηλυκῶν* **γ** *ἀρρενικῶν ἢ θηλυκῶν* Boll

πάντων ἀρρενικῶν, ἀσύμφωνοι δὲ οἵ τε τετράγωνοι καὶ οἱ κατὰ διάμετρον, διότι κατ᾽ ἀντίθεσιν τῶν ὁμογενῶν τὴν στάσιν λαμβάνουσι.

840 *ιε΄. Περὶ τῶν προστασσόντων καὶ ὑπακουόντων ὁμοίως ζῳδίων*


Ὡσαύτως δὲ προστάσσοντα καὶ ὑπακούοντα λέγεται τμήματα τὰ κατ᾽ ἴσην διάστασιν ἀπὸ τοῦ αὐτοῦ ἢ καὶ ὁποτέρου τῶν ἰσημερινῶν σημείων ἐσχηματισμένα, διὰ τὸ ἐν **1**
845 *τοῖς ἴσοις χρόνοις ἀναφέρεσθαί τε καὶ καταφέρεσθαι καὶ ἐπὶ τῶν ἴσων εἶναι παραλλήλων. τούτων δὲ τὰ μὲν ἐν τῷ* **2**

T 840–850 (§ 1–2) Heph. I 9,1

S 842–860 (c. 15–16) Manil. II 485–519. Val. I 7. Mich. Pap. III 149 col. XII 11–44. Porph. 31.33 (cf. 43 p. 215,16–20). Paul. Alex. 8. Firm. math. VIII 3,1–4. Heph. I 1 passim (plenius Ep. IV 1). Rhet. A p. 155,11–14. Anon. L p. 106,10–11. "Pal." CCAG VIII 1 (1929) p. 257,18–20 || **842–850** (§ 1–2) Rhet. B passim. Anon. R passim. Abū M. introd. VI 4 (~ Apom. Myst. III 19)

837 *τε* om. **α** | *τετράγωνοι* **α** *τρίγωνοι* **V** (cf. l. 829) *διάμετροι* **Lβγ** | *καὶ οἱ κατὰ διάμετρον* **Σ** *καὶ οἱ διάμετροι* **Y** *καὶ οἱ τετράγωνοι* **VDγ** *καὶ αἱ τετράγωνοι* **L** *καὶ τετράγωνοι* **MS** || **838** *τὴν*] *τῶν* **V** ut l. 832 q. v. || **839** *στάσιν* **VLβγ** *σύστασιν* **α** (recepit Robbins) || **840** *τῶν* om. **αM** Heph. ut l. 851, cf. 1,21 | *ὑπακουόντων* **Vβγ** *ἀκουόντων* **α** Heph., cf. ibid. et 1,865 || **841** *ὁμοίως* **V** (cf. 1,21) om. **αβγ** Heph. fort. recte | *ζῳδίων* om. **α** Heph. || **842** *ὑπακούοντα* **Vβγ** *ἀκούοντα* **α** Heph. cf. l. 842. al. || **843** *τὰ* om. **VD** Heph. || **844** *ἐσχηματισμένα* **Vβγ** Heph. *σχηματισμένῳ* **Y** *σχηματιζόμενα* **Σ** Procl. || **845** *τε καὶ καταφέρεσθαι* **Lβγ** Procl. (cf. Co p. 34,15 *ἀνενεχθήσονται, καὶ κατενεχθήσονται*) om. **Vα** || **846** *τῶν* om. **α**

fig. 3. signa imperantia et oboedientia




θερινῷ ἡμικυκλίῳ προστάσσοντα καλεῖται, τὰ δὲ ἐν τῷ χειμερινῷ ὑπακούοντα, διὰ τὸ κατ' ἐκείνων μὲν γινόμενον τὸν ἥλιον μείζονα ποιεῖν τῆς νυκτὸς τὴν ἡμέραν, κατὰ τούτων δὲ ἐλάττονα. 850

848 *ὑπακούοντα*] *ἀκούοντα* Heph. | *ἐκείνων* **βγ** *ἐκεῖνον* **VY** *ἐκεῖνο* **Σ** ‖ **850** *τούτων* **Vβγ** *τοῦτο* **α**

m 36 *ιϛ′. Περὶ τῶν βλεπόντων καὶ ἰσοδυναμούντων ἀλλήλοις*

Πάλιν δὲ ἰσοδυναμεῖν φασιν ἀλλήλοις μέρη τὰ τοῦ αὐτοῦ 1
c 10 *καὶ ὁποτέρου τῶν τροπικῶν σημείων τὸ ἴσον ἀφεστῶτα,*
855 *διὰ τὸ καθ' ἑκάτερον αὐτῶν τοῦ ἡλίου γινομένου τάς τε*

fig. 4. signa se invicem aspicientia



T 851–860 (§ 1) Heph. I 10,1

S 853–860 (§ 1) Olymp. 1 p. 1,5–7

851 *τῶν* om. **αM** Heph. ut l. 840, cf. 1,21 ‖ **852** *ἀλλήλοις* om. **αM** Heph. Co p. 34,21, cf. 1,22 ‖ **853** *δὲ* om. **γ** | *φησὶν τά τινα* **V**

ἡμέρας ταῖς ἡμέραις καὶ τὰς νύκτας ταῖς νυξὶ καὶ τὰ διαστήματα τῶν οἰκείων ὡρῶν ἰσοχρόνως ἀποτελεῖσθαι. ταῦτα δὲ καὶ βλέπειν ἄλληλα λέγεται διά τε τὰ προειρημένα καὶ ἐπειδήπερ ἑκάτερον αὐτῶν ἔκ τε τῶν αὐτῶν μερῶν τοῦ ὁρίζοντος ἀνατέλλει καὶ εἰς τὰ αὐτὰ καταδύνει. 860

ιζ΄. Περὶ τῶν ἀσυνδέτων

1 *Ἀσύνδετα δὲ καὶ ἀπηλλοτριωμένα καλεῖται τμήματα, ὅσα μηδένα λόγον ἁπλῶς ἔχει πρὸς ἄλληλα τῶν προκατειλεγμένων οἰκειώσεων. ταῦτα δέ ἐστιν ἃ μήτε τῶν προστασσόντων ἢ ὑπακουόντων τυγχάνει μήτε τῶν βλεπόντων ἢ* 865 *ἰσοδυναμούντων, ἔτι τε καὶ τῶν ἐκκειμένων τεσσάρων συσχηματισμῶν (τοῦ τε διαμέτρου καὶ τοῦ τριγώνου καὶ τοῦ τετραγώνου καὶ τοῦ ἑξαγώνου) κατὰ τὸ παντελὲς ἀμέτοχα καταλαμβανόμενα καὶ ἤτοι δι' ἑνὸς ἢ διὰ πέντε γινόμενα*

T **861–874** (§ 1–2) Heph. I 11,1

S **860** *ἀνατέλλει ... καταδύνει* Gem. 2,27 ‖ **862–874** (§ 1–2) Porph. 34. Paul. Alex. 11 (quo spectat Olymp. 4). Rhet. A p. 153,21 et 28–32

857 *ἰσοχρόνως* **Vβγ** *ἰσοχρόνος* **Γ** *ἰσοχρόνων* **Y** *ἰσοχρόνια* **ΣGc** *ἰσόχρονα* Procl. *ἰσοχρονίως* Heph. | *ἀποτελεῖσθαι* **αc** Heph. *ἀποτελεῖν* **Vβγ** (recepit Boll) ‖ **859** *τῶν αὐτῶν* **VΣβγ** *τοῦ αὐτῶν* **Y** ‖ **860** *καταδύνει* **Vβγ** (cf. *καταδύνειν* Heph.) *καταδύη* **Y** *καταδύει* **Σ** ‖ **861** *περὶ τῶν ἀσυνδέτων*] *ἀσύνδετα* **Σ** | *τῶν* **VSγ** om. **YDM** Heph. Procl. Co p. 35,9 ‖ **863** *ἁπλῶς* om. **V** | *κατειλεγμένων* **α** ‖ **864** *ἃ* **VΣ** *τὰ μετὰ* **Y** *τὰ μετὰ τοῦ* **βγ** ‖ **865** *ὑπακουόντων* **VDγ** *ἀκουόντων* **αMS**, cf. l. 840.842 | *τυγχάνειν* **βγ** ‖ **866** *τε* **V** *δὲ* **Σ** om. cett., cf. 1,288 ‖ **867** *διαμέτρου* **VYβγ** *κατὰ διάμετρον* **Σ**, cf. l. 837 ‖ **869** *καταλαμβανόμενα* **Σ** *λαμβανόμενα* **βγ** *καταλαμβανόμεθα* **V** *καταλαμβάνομεν* **Y** | *καὶ*] *τὰ* **V** | *γινομένων* **β**

870 *δωδεκατημορίων, ἐπειδήπερ τὰ μὲν δι' ἑνὸς ἀπέστραπταί* 2
τε ὥσπερ ἀλλήλων καὶ δύο αὐτὰ ὄντα ἑνὸς περιέχει γω-
νίαν, τὰ δὲ διὰ πέντε εἰς ἄνισα διαιρεῖ τὸν ὅλον κύκλον,
m 37 *τῶν ἄλλων σχηματισμῶν εἰς ἴσα τὴν τῆς περιμέτρου διαί-*
ρεσιν ποιουμένων.

875 *ιη′. Περὶ οἴκων ἑκάστου ἀστέρος*

Συνοικειοῦνται δὲ καὶ οἱ πλανῆται τοῖς τοῦ ζῳδιακοῦ μέ- 1
ρεσι κατά τε τοὺς καλουμένους οἴκους καὶ τρίγωνα καὶ
ὑψώματα καὶ ὅρια καὶ τὰ τοιαῦτα. καὶ τὸ μὲν τῶν οἴκων
τοιαύτην ἔχει φύσιν· ἐπειδὴ γὰρ τῶν ιβ′ ζῳδίων τὰ βορειό- 2
880 *τατα καὶ συνεγγίζοντα μᾶλλον τῶν ἄλλων τοῦ κατὰ κορυ-*
φὴν ἡμῶν τόπου θερμασίας τε καὶ ἀλέας διὰ τοῦτο περι-

S 870–874 (§ 2) Manil. II 385–390. Rhet. A p. 153,20–29 || **870** *ἀπέστραπται* Paul. Alex. 11 p. 25,11 (quo spectat Olymp. 4 p. 6,17). Sent. fund. p. 132,25 sq. || **876–920** (§ 1–8) Dor. apud Heph. I 7,1 (cf. Ep. IV 2. Dor. A I 1,8–9). Val. I 2 passim. Mich. Pap. III 149 col. XVI 11–22. Sext. Emp. V 34. Porph. 5. Antr. Nymph. 21–22. Firm. math. II 2,3–5 (cf. III 1,1 et Paul. Alex. 37). Macr. somn. I 21,24–26. Paul. Alex. 2 p. 9,3–6. Heph. I 1 passim. Rhet. B passim. Sent. fund. p. 132,13–30 || **879–882** *βορειότατα ... Καρκίνος* Ap. I 20,4. Gem. 2,28. Schol. Arat. 545, cf. Manil. II 510. al. Max. 444.548. Avien. Arat. 1736. Kam. 2130.

875 *ἑκάστου ἀστέρος* **VDSγ** Procl. om. **αM** Co le p. 35,–19 || **876** *πλανῆται* **V** Co le p. 35,–18 *πλάνητες* **αβγ** (recepit Robbins) || **878** *τὸ* **VΣ** *ἡ* **γ** *ὁ* **Y** om. **β** || **879** *φύσιν* **VLY** Procl. *φυσικὴν αἰτιλογίαν* **Σβγ** (cf. Co p. 36,–11 *ἔχει φυσικάν* [sic]· *τουτεστί, αἰτίαν*) | *γὰρ* om. **α** | *βορειότατα* **αS** *βορειότερα* **VLDMγ** || **880** *τοῦ ... τόπου* **VLY** *τῷ ... τόπῳ* **ΣDγ** *τῷ* **MS** || **881** *ἀλέας* **Vβγ** *ἀλαίας* **Lα**

ποιητικὰ τυγχάνοντα ὅ τε Καρκίνος καὶ ὁ Λέων ἐστί, τὰ δύο ταῦτα τοῖς μεγίστοις καὶ κυριωτάτοις, τουτέστι τοῖς 3 *δύο φωσὶν ἀπένειμαν οἴκους, τὸ μὲν τοῦ Λέοντος ἀρρενικὸν ὂν τῷ ἡλίῳ, τὸ δὲ τοῦ Καρκίνου θηλυκὸν τῇ σελήνῃ.* 885 *καὶ ἀκολούθως τὸ μὲν ἀπὸ Λέοντος μέχρι Αἰγόκερω ἡμικύκλιον ἡλιακὸν ὑπέθεντο, τὸ δὲ ἀπὸ Ὑδροχόου μέχρι Καρκίνου σεληνιακόν, ὅπως ἐν ἑκατέρῳ τῶν ἡμικυκλίων ἓν ζῴδιον καθ' ἕκαστον τῶν πέντε ἀστέρων οἰκείως ἀπονεμηθῇ (τὸ μὲν πρὸς ἥλιον, τὸ δὲ πρὸς σελήνην ἐσχη-* 890 *ματισμένον) ἀκολούθως ταῖς τε τῶν κινήσεων αὐτῶν σφαίραις καὶ ταῖς τῶν φύσεων ἰδιοτροπίαις.*

4 *τῷ μὲν οὖν τοῦ Κρόνου ψυκτικῷ ὄντι μᾶλλον τὴν φύσιν κατ' ἐναντιότητα τοῦ θερμοῦ καὶ τὴν ἀνωτάτω καὶ μακρὰν τῶν φώτων ἔχοντι ζώνην ἐδόθη τὰ διάμετρα ζῴδια* 895 *τοῦ τε Καρκίνου καὶ τοῦ Λέοντος (ὅ τε Αἰγόκερως καὶ ὁ* m 38 *Ὑδροχόος), μετὰ τοῦ καὶ ταῦτα τὰ δωδεκατημόρια ψυχρὰ* c 10ᵛ *καὶ χειμερινὰ τυγχάνειν καὶ ἔτι τοῦ τὸν κατὰ διάμετρον* 5 *συσχηματισμὸν ἀσύμφωνον πρὸς ἀγαθοποιίαν εἶναι. τῷ δὲ*

882 *ὅ τε Καρκίνος καὶ ὁ Λέων* **VLβγ** *τῷ τε* ♋ *ἐστὶ καὶ* ♌ **Υ** *τό τε τοῦ* ♋ *ἐστὶ καὶ τὸ τοῦ* ♌ **Σ** ‖ **883** *τοῖς δύο* **VLDγ** *τούτοις* **MS** *τοῖς* **α** ‖ **885** *ὂν* om. **VL** ‖ **887** *ἀπὸ Ὑδροχόου* **αβ** *τοῦ Διδύμου* **V** (de numero singulari cf. Cosmam Hierosolymitanum CCAG VIII 3 [1912], p. 121,17. 122,4 app. cr., al.) *ἀπὸ* ♋ **γ** ‖ **889** *ἓν*] *ἐν τῷ* **V** | *πέντε* om. **α** ‖ **891** *τε* **VLD** om. **αMSγ** ‖ **893** *οὖν* **γ** *διὰ* **V** *δὴ* **L** *δὲ* **Υ** *γὰρ* **Σ** (recepit Robbins) om. **β** ‖ **894** *τὴν* om. **β** ‖ **895** *ζώνην*] *ζωὴν* **V** | *τὰ διάμετρα* om. **V** ‖ **896** *Αἰγόκερως καὶ ὁ Ὑδροχόος* **DSγ** *Αἰγόκερως καὶ Ὑδροχόος* **α** *Ὑδροχόος καὶ ὁ Αἰγόκερως* **LM** *Ζυγὸς καὶ ὁ Αἰγόκερως* **V** ‖ **897** *τοῦ καὶ* om. **V** ‖ **898** *τοῦ τὸν* Boll *τοῦτον* **V** *τῶν* **L** *τῶν τῶν* **Υ** *τοῦ* **Σ** *τὸ τῶν* **β** *τὸ τοῦ* **γ** *τὸν* Robbins tacite | *κατὰ διάμετρον* **VΣγ** *διαμέτρων* **LΥ** om. **β** ‖ **899** *συσχηματισμὸν* **V** *συσχηματισμῶν* **LΥβ** *συσχηματισμοῦ* **γ**

900 *τοῦ Διός ὄντι εὐκράτῳ καὶ ὑπὸ τὴν τοῦ Κρόνου σφαῖραν ἐδόθη τὰ ἐχόμενα δύο τῶν προκειμένων πνευματικὰ ὄντα καὶ γόνιμα (ὅ τε Τοξότης καὶ οἱ Ἰχθύες) κατὰ τριγωνικὴν πρὸς τὰ φῶτα διάστασιν, ἥτις ἐστὶ συμφώνου καὶ ἀγαθοποιοῦ συσχηματισμοῦ. ἐφεξῆς δὲ τῷ τοῦ Ἄρεως ξηραν-* **6**
905 *τικῷ μᾶλλον ὄντι τὴν φύσιν καὶ ὑπὸ τὴν τοῦ Διὸς ἔχοντι τὴν σφαῖραν τὰ ἐχόμενα πάλιν ἐκείνων ἐδόθη δωδεκατημόρια τὴν ὁμοίαν ἔχοντα φύσιν (ὅ τε Κριὸς καὶ ὁ Σκορπίος) ἀκολούθως τῇ φθαρτικῇ καὶ ἀσυμφώνῳ ποιότητι τὴν τοῦ τετραγώνου πρὸς τὰ φῶτα ποιοῦντα διάστασιν. τῷ δὲ* **7**
910 *τῆς Ἀφροδίτης εὐκράτῳ τε ὄντι καὶ ὑπὸ τὴν τοῦ Ἄρεως τὰ ἐχόμενα ἐδόθη δύο ζῴδια γονιμώτατα ὄντα (αἵ τε Χηλαὶ καὶ ὁ Ταῦρος) τηροῦντα τὴν συμφωνίαν τῆς ἑξαγώνου διαστάσεως, καὶ ἐπειδήπερ οὐ πλεῖον δύο δωδεκατημορίων ὁ ἀστὴρ οὗτος ἐφ' ἑκάτερα τὸ πλεῖστον ἀφίσταται τοῦ*

S 901 *πνευματικὰ* Ap. II 12,7–8 (cf. I 19,2)

901 *ἐχόμενα δύο* **VLDγ** *δύο ἐχόμενα* **YMS** *ἐχόμενα* **γ** qui add. post *προκειμένων*: *δύο ιβμορίων* ‖ **903** *ἀγαθοποιοῦ* **Vα** *ἀγαθοῦ* **βγ** ‖ **904** *συσχηματισμοῦ* **VDγ** *σχηματισμοῦ* **LαMS** (praetulit Robbins) ‖ **905** *ὄντι*] *ὅτι* **V** ‖ **906** *δωδεκατημορίων* **V** ‖ **907** *Κριὸς καὶ ὁ Σκορπίος* **VLDγ** *Σκορπίος καὶ ὁ Κριὸς* **αMSc** (quem ordinem mavult Robbins: praecedit domus diurna) ‖ **908** *ἀσυμφώνῳ* **VYβγ** *συμφώνῳ* **L** *ἀκολούθως* repetit **Σ** om. **c** lacunam indicans | *καυστικῇ ἢ ξηραντικῇ* **m** in margine ‖ **909** *τοῦ τετραγώνου* **VL** *τετράγωνον* cett. (recepit Robbins) ‖ **910** *τῆς Ἀφροδίτης* **YDMγ** *τῆς Ἑρμῆς* **V** *τοῦ Ἑρμοῦ* **S** (postea correctum), cf. 1,556 | *εὐκράτῳ* **VLα** (cf. 1,900) *εὐρκατοτέρῳ* **βγ** (praetulit Boll) | *τὴν* (sc. *ζωνὴν*) *τοῦ* **VLDSγ** *τὴν* **Y** *τὸν τοῦ* **ΣM** ‖ **911** *ἐδόθη* om. **α** ‖ **912** *καὶ ὁ* ♉] *εὖ* **V**, cf. 1,999.1099. 2,143.231 | *τοῦ ἑξαγώνου* **V** ‖ **914** *τὸ πλεῖστον* hic **αMS**, post *ἡλίου* **Dγ** om. **VL**

fig. 5. planetarum duplex septizonium

♒ ♑
ὁ τοῦ | Κρόνου
♓ ♐
ὁ τοῦ | Διός
♈ ♏
ὁ τοῦ | Ἄρεως
♉ ♎
ὁ τῆς | Ἀφροδίτης
♊ ♍
ὁ τοῦ | Ἑρμοῦ
ἡ σελήνη | ὁ ἥλιος
♋ ♌
nox | dies

8 *ἡλίου. ἐπὶ τέλει δὲ τῷ τοῦ Ἑρμοῦ οὐδέποτε πλεῖον ἑνὸς* 915
δωδεκατημορίου τὴν ἀπὸ τοῦ ἡλίου διάστασιν ἐφ' ἑκάτερα
ποιουμένῳ καὶ ὑπὸ μὲν τοὺς ἄλλους ὄντι, σύνεγγυς δὲ
μᾶλλόν πως ἀμφοτέρων τῶν φώτων, τὰ λοιπὰ καὶ συνεχῆ
τοῖς ἐκείνων οἴκοις ἐδόθη δύο δωδεκατημόρια· τό τε τῶν
Διδύμων καὶ τὸ τῆς Παρθένου. 920

915 *οὐδέποτε* **VLDγ** *μηδέποτε* **αMS** | *ἑνὸς* om. **α** || **917** *ποιουμένου* **β** || **918** *πως*] *πρὸς* **L** *ὄντι* repetit **γ** || **919** *δωδεκατημορίοις* **VS** || **920** *τὸ* **Σγ** om. **VYβ**

tab. 6. regiones triangulorum tabellatim

triangulum	planetae			regiones	
	generatim	diei	noctis	platice	secundum mixturam
♈ ♌ ♐	♃ ☉	☉	♃	*βόρειον*	*βορρολιβυκόν*
♉ ♍ ♑	☾ ♀	♀	☾	*νότιον*	*νοταπηλιωτικόν*
♊ ♎ ♒	♄ ☿	♄	☿	*ἀπηλιωτικόν*	*βορραπηλιωτικόν*
♋ ♏ ♓	♂	♀	☾	*λιβυκόν*	*νοτολιβυκόν*

ιθ'. Περὶ τριγώνων m 39

1 *Ἡ δὲ πρὸς τὰ τρίγωνα συνοικείωσις τοιαύτη τις οὖσα τυγχάνει. ἐπειδὴ γὰρ τὸ τρίγωνον καὶ ἰσόπλευρον σχῆμα συμφωνότατόν ἐστιν αὐτῷ καὶ ὁ ζῳδιακὸς ὑπὸ τριῶν κύκλων ὁρίζεται (τοῦ τε ἰσημερινοῦ καὶ τῶν δύο τροπικῶν), διαιρεῖται* [*δὲ*] *τὰ ιβ' αὐτοῦ μέρη εἰς τρίγωνα ἰσόπλευρα τέσσαρα· τὸ μὲν πρῶτον, ὅ ἐστι διά τε τοῦ Κριοῦ καὶ τοῦ Λέοντος καὶ τοῦ Τοξότου, ἐκ τριῶν ἀρρενικῶν ζῳδίων συγκείμενον καὶ οἴκους ἔχον ἡλίου τε καὶ Διὸς καὶ Ἄρεως, ἐδόθη τῷ Διὶ καὶ ἡλίῳ, παρὰ τὴν αἵρεσιν τὴν ἡλιακὴν ὄντος τοῦ Ἄρεως. λαμβάνει δὲ αὐτοῦ τὴν πρώτην οἰκοδεσποτείαν ἡμέρας μὲν ὁ ἥλιος, νυκτὸς δὲ ὁ τοῦ Διός. καὶ ἔστιν ὁ μὲν Κριὸς μᾶλλον πρὸς τῷ ἰσημερινῷ κύκλῳ, ὁ δὲ Λέων πρὸς τῷ θερινῷ, ὁ δὲ Τοξότης πρὸς τῷ χειμερινῷ.* 925 930

S 922–982 (§ 1–8) Ap. II 2,3–5. Manil. II 273–286. Dor. apud Heph. I 6,1–4 (cf. Dor. A I 1,2–3). Val. I 2 passim. II 1,1–9. Paul. Alex. 2 p. 9,12–17 (quo spectat Olymp. 17 p. 33,7–19. 34 p. 107,18–108,5). Rhet. A p. 149,10–24. Rhet. B passim ‖ **930** *αἵρεσιν … ἡλιακὴν* Ap. I 7,2 ‖ **931–932** *οἰκοδεσποτείαν* Ant. CCAG VIII 3 (1912) p. 113,14–19. Porph. 7

924 *αὐτῷ* scripsi *αὑτῷ* **VY** *ἑαυτῷ* **Σβγ**, cf. 1,744 | *ζῳδιακὸς* **Vα** *ζῳδιακὸς κύκλος* (vel ⊙ *ος*) **βγ** Procl. Co p. 37,9, cf. 1,684 | *τριῶν* om. **V** ‖ **926** *δὲ* delevi ‖ **927** post *τέσσαρα*: *ὧν* add. **Σ** | *ὃ* **VLγ** om. **αβ** | *τοῦ Κριοῦ* geminavit **V** ‖ **928** post *ἐκ*: *γὰρ* add. **VL** ‖ **929** *τε* om. **M** | *ἡλίου τε καὶ Διὸς καὶ Ἄρεως* **Lβ** Procl. *ἡλίου τε καὶ Διὸς καὶ ἄρρεν* **V** *Ἄρεως καὶ Διὸς* **α** ♂ ☉ *καὶ* ♃ **γ** ‖ **930** *τῷ Διὶ καὶ ἡλίῳ* **LDγ** *δι* sequente lacuna **V** *καὶ ἡλίῳ* **YMS** *τῷ* ☉ *καὶ* ♃ **Σ** | *παρὰ* om. **V** ‖ **931** *ὄντος* **ωc** *ὑπάρχοντος* Procl. *ἐξωσθέντος* **m** | *Ἄρεως* om. **V** spatio relicto | *οἰκοδεσποτείαν* **αβγ** *συνοικοδεσποτείαν* **VL** (recepit Boll) ‖ **932** *ὁ τοῦ Διός* **VαDγ** *ὁ Ζεύς* **MS** ‖ **933** *τῷ ἰσημερινῷ … πρὸς* om. **Y**


935 *γίνεται δὲ προηγουμένως μὲν τοῦτο τὸ τρίγωνον βόρειον* 2
διὰ τὴν τοῦ Διὸς συνοικοδεσποτείαν, ἐπειδήπερ οὗτος
γόνιμός τέ ἐστι καὶ πνευματώδης, οἰκείως τοῖς ἀπὸ τῶν
ἄρκτων ἀνέμοις· διὰ δὲ τὸν τοῦ Ἄρεως οἶκον λαμβάνει
τινὰ μίξιν τοῦ λιβὸς καὶ συνίσταται βορρολιβυκόν, ἐπειδή-
940 *περ ὁ τοῦ Ἄρεως τοιούτων ἐστὶ πνευμάτων ποιητικός, διά*
τε τὴν τῆς σελήνης αἵρεσιν καὶ τὸ τῶν δυσμῶν τεθηλυσ-
μένον.

c 11 *τὸ δὲ δεύτερον τρίγωνον, ὅ ἐστι διά τε τοῦ Ταύρου* 3
καὶ Παρθένου καὶ Αἰγόκερω, συγκείμενον ἐκ τριῶν θηλυ-
945 *κῶν, ἀκολούθως ἐδόθη σελήνῃ τε καὶ Ἀφροδίτῃ, οἰκοδεσ-*
m 40 *ποτούσης αὐτοῦ νυκτὸς μὲν τῆς σελήνης, ἡμέρας δὲ τοῦ*
τῆς Ἀφροδίτης. καὶ ἔστιν ὁ μὲν Ταῦρος πρὸς τῷ θερινῷ
μᾶλλον κύκλῳ, ἡ δὲ Παρθένος πρὸς τῷ ἰσημερινῷ, ὁ δὲ
Αἰγόκερως πρὸς τῷ χειμερινῷ. γίνεται δὲ καὶ τοῦτο τὸ τρί- 4
950 *γωνον προηγουμένως μὲν νότιον διὰ τὴν τῆς Ἀφροδίτης οἰ-*
κοδεσποτείαν, ἐπειδήπερ ὁ ἀστὴρ οὗτος τῶν ὁμοίων ἐστὶ

S **935–982** (§ 2–8) *βόρειον* etc. Gem. 2,8–11. Firm. math. II 12. Paul. Alex. 2 p. 9,18–20. 18 p. 39,10–15 ‖ **937** *γόνιμος … πνευματώδης* Ap. I 18,5 ‖ **941** *τὴν τῆς σελήνης αἵρεσιν* Ap. I 7,2 ‖ **941–942** *τῶν δυσμῶν τεθηλυσμένον* Ap. I 6,2

935 *γίνεται δὲ* **Vγ** *γίνεται δὲ καὶ* **Lαβ** (recepit Robbins) | *μὲν* **αγ** om. **VLβ** ‖ **937** *τε* om. **VL** Procl. ‖ **939** *τινὰ* om. **α**, debuit scribere *μίξιν τινὰ* | *συνίσταται* **αβγ** *γίνεται* **VL** | *βορρολυβικόν* **V**, cf. *λυβικῷ* Heph. I 20,8 p. 44,9 (cod. **L**) necnon 1,464 ‖ **943** *ὅ* om. **MS** | *τοῦ* om. **MS** ‖ **944** *αἰγοκέρωτος* **S** ‖ **945** post *θηλυκῶν*: *ζῳδίων* add. **βγ** | ante *ἀκολούθως*: *ὅπερ* add. **β** | *σελήνῃ*] *σελητὲ* **V** *τῇ τε* ☾ **γ** | *τῷ τῆς* ♀ **γ** ‖ **946** *αὐτοῦ* **Yβγ** *αὐτῷ* **VL** *αὐτῶν* **Σ** ‖ **947** *τῆς Ἀφροδίτης*] *τῆς Ἑρμῆς* **V**, cf. 1,556 | *Ταῦρος*] *Κριὸς* **V** ‖ **948** *Παρθένος … ὁ δὲ* om. **V** sc. saltans ad siglum simile, cf. 1,1099.1164. 3,1484. 4,204.640 necnon Hübner, Eigenschaften 421–429, ubi addas Porph. 43 p. 215,16

fig. 7. regiones triangulorum figurate



πνευμάτων διὰ τὸ θερμὸν καὶ ἔνικμον τῆς δυνάμεως ποιητικός· προσλαβὸν δὲ μίξιν ἀπηλιώτου (διὰ τὸ τὸν τοῦ Κρόνου οἶκον ἐν αὐτῷ τυγχάνειν, τὸν Αἰγόκερων) συνίσταται καὶ αὐτὸ νοταπηλιωτικὸν κατ' ἀντίθεσιν τοῦ πρώτου, ἐπειδήπερ καὶ ὁ τοῦ Κρόνου τοιούτων ἐστὶ πνευμάτων ποιητικός, οἰκειούμενος καὶ αὐτὸς ταῖς ἀνατολαῖς διὰ τὴν πρὸς τὸν ἥλιον αἵρεσιν. 955

952 *διά τε* **βγ** ‖ 953 *τὸ* **VS** om. **LaDMγ** ‖ 955 *αὐτὸ νοταπηλιωτικὸν*] *αὐτὸν ὄντα ἀφηλιωτικὸν* **VL** ‖ 957 *ᾠκειωμένος* **βγ**

τὸ δὲ τρίτον τρίγωνον, ὅ ἐστι διά τε Διδύμων καὶ Χη- 5
960 *λῶν καὶ Ὑδροχόου, ἐκ τριῶν ἀρρενικῶν ζῳδίων συγκείμε-*
νον καὶ πρὸς μὲν τὸν τοῦ Ἄρεως μηδένα λόγον ἔχον, πρὸς
δὲ τὸν τοῦ Κρόνου καὶ τὸν τοῦ Ἑρμοῦ διὰ τοὺς οἴκους,
τούτοις ἀπενεμήθη πάλιν, οἰκοδεσποτούντων ἡμέρας μὲν
τοῦ τοῦ Κρόνου διὰ τὴν αἵρεσιν, νυκτὸς δὲ τοῦ τοῦ
965 *Ἑρμοῦ. καὶ ἔστι τὸ μὲν τῶν Διδύμων δωδεκατημόριον* 6
πρὸς τῷ θερινῷ, τὸ δὲ τῶν Χηλῶν πρὸς τῷ ἰσημερινῷ, τὸ
δὲ τοῦ Ὑδροχόου πρὸς τῷ χειμερινῷ. συνίσταται δὲ καὶ
τοῦτο τὸ τρίγωνον προηγουμένως μὲν ἀπηλιωτικὸν διὰ τὸν
τοῦ Κρόνου, κατὰ δὲ τὴν μίξιν βορραπηλιωτικόν, διὰ τὸ
970 *τὴν τοῦ Διὸς αἵρεσιν τῇ τοῦ Κρόνου πρὸς τὸν ἡμερινὸν*
λόγον συνοικειοῦσθαι.

m 41 *τὸ δὲ τέταρτον τρίγωνον, ὅ ἐστι διά τε Καρκίνου καὶ* 7
Σκορπίου καὶ Ἰχθύων, κατελείφθη μόνῳ λοιπῷ ὄντι τῷ τοῦ
Ἄρεως καὶ λόγον ἔχοντι πρὸς αὐτὸ διὰ τὸν οἶκον τὸν
975 *Σκορπίον, συνοικοδεσποτοῦσι δὲ αὐτῷ διά τε τὴν αἵρεσιν*
καὶ τὸ θηλυκὸν τῶν ζῳδίων νυκτὸς μὲν ἡ σελήνη, ἡμέρας
δὲ ὁ τῆς Ἀφροδίτης. καὶ ἔστιν ὁ μὲν Καρκίνος πρὸς τῷ
θερινῷ κύκλῳ, ὁ δὲ Σκορπίος πρὸς τῷ χειμερινῷ μᾶλλον,

959 *τὸ δὲ τρίτον τρίγωνον ὅ ἐστι* **VDγ** *τὸ δὲ τρίτον τρίγωνόν ἐστι* **MS** *τρίτον δὲ τρίγωνόν ἐστι* **α** | *καὶ* om. V, item l. 960 ‖ **960** *Ὑδροχόου*] *Σκορπίου* **V** ut l. 967 *τοῦ* ♒ **γ** ‖ **961** *καὶ* om. **γ** | *οὐδένα* **Dγ** | *ἔχει* **γ** ‖ **963** *ἀπενεμήθη* **VYβγ** *ἀπονεμηθὲν* **Σ** om. **G** | *οἰκοδεσποτοῦντος* **α** ‖ **966** *τὸ*] *τῷ* **A** ‖ **967** *Ὑδροχόου*] *Σκορπίου* **V** ut l. 960 ‖ **970** *τῇ* **LYβγ** *τὴν* **V** *τῷ* **Σ** (sc. *ἀστέρι*, recepit Robbins) | *ἡμερινὸν*] *ἰσημερινὸν* **V** ‖ **972** *ὅ ἐστι* om. **α** ‖ **973** *μόνῳ*] *μὲν* **VL** (maluit Robbins) ‖ **974** *τὸν Σκορπίον* **VY** (recepit Robbins) *τοῦ Σκορπίου* **LDγ** (maluit Boll) *Σκορπίου* **ΣS** om. **M** ‖ **976** *ἡ σελήνη* **VLDγ** *ὁ τῆς* ☾ **MS** *ἄρης* **α**, cf. l. 981 ‖ **977** *τῆς Ἀφροδίτης*] *τῆς Ἑρμῆς* **V**, cf. 1,556

8 *οἱ δὲ Ἰχθύες πρὸς τῷ ἰσημερινῷ. καὶ τοῦτο δὲ τὸ τρίγωνον συνίσταται προηγουμένως μὲν λιβυκὸν διὰ τὴν τοῦ Ἄρεως* 980 *καὶ τῆς σελήνης οἰκοδεσποτείαν, κατὰ μίξιν δὲ νοτολιβυκόν, διὰ τὴν τῆς Ἀφροδίτης συνοικοδεσποτείαν.*

κʹ. Περὶ ὑψωμάτων

1 *Τὰ δὲ καλούμενα τῶν πλανωμένων ὑψώματα λόγον ἔχει τοιόνδε. ἐπειδὴ γὰρ ὁ ἥλιος ἐν μὲν τῷ Κριῷ γενόμενος* 985 *τὴν εἰς τὸ ὑψηλὸν καὶ βόρειον ἡμικύκλιον μετάβασιν ποιεῖται, ἐν δὲ ταῖς Χηλαῖς τὴν εἰς τὸ ταπεινὸν καὶ νότιον, εἰκότως τὸν μὲν Κριὸν ὡς ὕψωμα ἀνατεθείκασιν αὐτῷ, καθ' ὃν ἄρχεται καὶ τὸ τῆς ἡμέρας μέγεθος καὶ τὸ τῆς φύσεως αὐτοῦ θερμαντικὸν αὔξεσθαι, τὰς δὲ Χηλὰς ὡς* 990 2 *ταπείνωμα διὰ τὰ ἐναντία. ὁ δὲ τοῦ Κρόνου πάλιν ἵνα πρὸς τὸν ἥλιον ἔχῃ διάμετρον στάσιν ὥσπερ καὶ ἐπὶ τῶν* c 11v *οἴκων, τὸν μὲν Ζυγὸν ἀντικειμένως ὡς ὕψωμα ἔλαβε, τὸν δὲ Κριὸν ὡς ταπείνωμα. ὅπου γὰρ τὸ θερμὸν αὔξεται,*

S 984–1018 (§ 1–6) Dor. apud Heph. I 8,1–2 (cf. Dor. A I 2,1–2). Plin. nat. II 65. Val. III 4,2–3. Mich. Pap. III 149 col. XVI 23–35. Sext. Emp. V 35–36. Paul. Alex. 2 p. 9,7–11. Heph. I 1 passim. Rhet. A p. 147,21–148,15. Rhet. B passim. Apom. Myst. III 14, CCAG V 1 (1904) p. 154,30–155,12 || **986–987** *ὑψηλὸν … ταπεινὸν* Theo Smyrn. p. 135,2–3 || **993** *Ζυγὸν* Mart. Cap. VIII 886

979 *οἱ δὲ* iteravit **V** || **981** *τῆς* **VLYS** *τὴν τῆς* **ΣDMγ**, cf. l. 976 || **982** *συνοικοδεσποτείαν* **Lβγ** *οἰκοδεσποτείαν* **Vα** (recepit Robbins) || **983** *ὑψωμάτων*] *ἰδιωμάτων* **S**, cf. **V** in indice 1,26 || **987** *εἰκότως* **Vβγ** *εἰκότος* **L** *οἰκ(ε)ίως* **α** || **992** *ἔχῃ διάμετρον στάσιν* **VLD** Procl. *διάμετρον στάσιν ἔχῃ* **α** *διάμετρον στάσιν σχῇ* **MS** *διάμετρον ἔχει στάσιν* **γ** || **993** *Ζυγὸν* om. **V** lacuna relicta

995 *μειοῦται ἐκεῖ τὸ ψυχρόν, καὶ ὅπου τὸ ψυχρὸν αὔξεται,*
m 42 *ἐκεῖ μειοῦται τὸ θερμόν. πάλιν ἐπειδὴ ἐν τῷ ὑψώματι τοῦ* 3
ἡλίου (τῷ Κριῷ) συνοδεύσασα ἡ σελήνη πρώτην ποιεῖται
φάσιν καὶ ἀρχὴν τῆς τοῦ φωτὸς αὐξήσεως καὶ ὡσπερανεὶ
ὑψώσεως ἐν τῷ τοῦ ἰδίου τριγώνου πρώτῳ ζῳδίῳ (τῷ
1000 *Ταύρῳ), τοῦτο μὲν αὐτῆς ὕψωμα ἐκλήθη, τὸ δὲ διάμετρον*
(τὸ τοῦ Σκορπίου) ταπείνωμα.

μετὰ ταῦτα δὲ ὁ μὲν τοῦ Διός τῶν βορείων καὶ γονί- 4
μων πνευμάτων ἀποτελεστικὸς ὤν, ἐν τῷ Καρκίνῳ μάλιστα
βορειότατος γινόμενος αὔξεται πάλιν καὶ πληροῖ τὴν ἰδίαν
1005 *δύναμιν, ὅθεν τοῦτο μὲν τὸ δωδεκατημόριον ὕψωμα πεποι-*
ήκασιν αὐτοῦ, τὸν δὲ Αἰγόκερων ταπείνωμα. ὁ δὲ τοῦ 5
Ἄρεως φύσει καυσώδης ὢν καὶ μᾶλλον ἐν Αἰγόκερῳ διὰ

S **1003** *Καρκίνῳ* Mart. Cap. VIII 885 ‖ **1004** *βορειότατος* Ap. I 18,2 (ubi plura) ‖ **1007** *Αἰγόκερῳ* Mart. Cap. VIII 884

995 *μειοῦται ἐκεῖ τὸ ψυχρόν* **αMS** *ἐκμειοῦται ἐκεῖ τὸ ψυχρόν* **V** *ἐκεῖ μειοῦται τὸ ψυχρόν* **L** (maluit Boll) *μειοῦται τὸ ψυχρὸν ἐκεῖ* **Dγ** | *καὶ*] *πάλιν* **L** | *τὸ ψυχρὸν αὔξεται* **VL** Procl. *ἐκεῖνο μειοῦται* **αβγ** ‖ **996** *ἐκμειοῦται ἐκεῖ τὸ θερμόν* **V** (cf. Procl. *ἐκεῖ τὸ θερμόν μειοῦται*) *μηοῦτε ἐκει* [sic] *τὸ θερμόν* **L** *τὸ θερμὸν αὔξεται* **Y** *τὸ ψυχρὸν αὐξάνει* **Σ** *τὸ ψυχρὸν αὔξεται* **β** *αὔξεται τὸ ψυχρόν* **γ** | *ἐπειδὴ* **Vβγ** *ἐπὶ δεῖ* **Y** *ἐπεὶ δὲ* **Σ** (interpungens post *πάλιν*, inde **cm**), cf. 1,1162. 3,121 ‖ **997** *ἐν τῷ Κριῷ* **α** | *συνοδεύουσα* **Lα** (recepit Robbins) ‖ **998** *ὡσπερανεὶ* Boll *ὥσπερ ἂν εἰ* **Y** *ὥσπερ ἂν εἴη* **V** *ὥσπερ ἂν ἥει* **L** *ὡσπερεὶ* **Σβγc** ‖ **999** *τῷ Ταύρῳ* **Lα** *τῷ* sequente lacuna **V** ut 2,246.262 (cf. 1,912) *τῷ τοῦ Ταύρου* **βγ**, cf. l. 1010 necnon 4,202 ‖ **1002** *μὲν τοῦ Διὸς*] *Ζεὺς* **M** | *τῶν … ἀποτελεστικὸς ὤν*] *διὰ τὸ … ἀποτελεστικὸν* **M** ‖ **1003** *τῷ* om. **M** ‖ **1005** *ὅθεν* om. **γ** | *δωδεκατημόριον* om. **V** spatio relicto

τὸ νοτιώτατος γίνεσθαι καυστικώτατος γινόμενος, καὶ αὐτὸς ὕψωμα μὲν ἔλαβεν εἰκότως κατ' ἀντίθεσιν τῷ τοῦ Διὸς τὸν Αἰγόκερων, ταπείνωμα δὲ τὸν Καρκίνον. 1010

6 *πάλιν ὁ μὲν τῆς Ἀφροδίτης ὑγραντικὸς ὢν φύσει καὶ μᾶλλον ἐν τοῖς Ἰχθύσιν, ἐν οἷς ἡ τοῦ ὑγροῦ ἔαρος ἀρχὴ προσημαίνεται, καὶ αὐτὸς αὐξάνων τὴν οἰκείαν δύναμιν, τὸ μὲν ὕψωμα ἔσχεν ἐν τοῖς Ἰχθύσι, τὸ δὲ ταπείνωμα ἐν τῇ*

7 *Παρθένῳ. ὁ δὲ τοῦ Ἑρμοῦ τὸ ἐναντίον μᾶλλον ὑπόξηρος* 1015 *ὢν εἰκότως κατὰ τὸ ἀντικείμενον ἐν μὲν τῇ Παρθένῳ, καθ' ἣν τὸ ξηρὸν μετόπωρον προσημαίνει, καὶ αὐτὸς ὥσπερ ὑψοῦται, κατὰ δὲ τοὺς Ἰχθύας ὥσπερ ταπεινοῦται.*

κα'. Περὶ ὁρίων διαθέσεως m 43

1 *Περὶ δὲ τῶν ὁρίων δισσοὶ μάλιστα φέρονται τρόποι· καὶ ὁ* 1020 *μέν ἐστιν Αἰγυπτιακός (ὁ πρὸς τὰς τῶν οἴκων ὡς ἐπίπαν*

T 1019–1188 (§ 1–30) cod. L fol. 148[v]

S 1020–1188 (§ 1–30) Val. III 3,13–17. IV 26,1–5. Mich. Pap. III 149 col. VII 28 – VIII 15. Paul. Alex. 32 (quo spectat Olymp. 34). Cod. Vindobon. philos. gr. 262 (CCAG VI [1903] p. 41) fol. 77[r], cf. Iulian. Laodic. CCAG IV (1903)

1008 *τὸ*] *τὸν* **V** | *νοτιώτατον* **VΣ** (Y minus perspicue) Robbins tacite *νοτιώτατος* **βγ** (C minus perspicue) Boll | *γενίσθαι* **M** *γενέσθαι* **DS** | *καυστικώτατος* **VLDγ** *καυστικώτερος* **MS** *καὶ καυστικώτερος* **α** | *γενόμενος* **MS** || **1010** *τὸν Αἰγόκερων* **Lα** *τῷ τοῦ Αἰγοκέρου* **V** om. **βγ** || **1011** *μὲν* **YMS** *μέντοι* **Σ** om. **VDγ** || **1012** *ἐν οἷς*] *ενιοις* **Y** | postea *μᾶλλον* iterant **VLβγ** || **1013** *προσημαίνεται* **Σ** *προσημαίνει* **V**, cf. l. 1017 || **1015** *μᾶλλον* **VDγ** *μᾶλον* **Y** *πάλιν* **ΣMS** *πάλιν ἢ μᾶλλον* **G** || **1016** *κατὰ … προσημαίνει* om. **D** ||

κυρίας), ὁ δὲ Χαλδαϊκός (ὁ πρὸς τὰς τῶν τριγώνων οἰκοδεσποτείας). ὁ μὲν οὖν Αἰγυπτιακὸς ὁ τῶν κοινῶς φερομένων ὁρίων οὐ πάνυ τι σῴζει τὴν ἀκολουθίαν οὔτε τῆς
1025 *τάξεως οὔτε τῆς καθ' ἕκαστον ποσότητος. πρῶτον μὲν ἐπὶ* **2** *τῆς τάξεως πῇ μὲν τοῖς τῶν οἴκων κυρίοις τὰ πρωτεῖα δεδώκασιν, πῇ δὲ τοῖς τῶν τριγώνων, ἐνίοτε δὲ τοῖς τῶν ὑψωμάτων. ἐπεὶ παραδείγματος ἕνεκεν, εἴτε τοῖς οἴκοις ἠκολουθήκασι, διὰ τί τῷ τοῦ Κρόνου εἰ τύχοι πρώτῳ δε-*

(S) p. 106,16–109,4. ‖ **1020** *δισσοὶ* cf. Sext. Emp. V 37 *διαφωνία* ‖ **1021** *Αἰγυπτιακὸς* Ant. CCAG VIII 3 (1912) p. 105,38–39 (inde Porph. 49 p. 222,18. Rhet. A p. 151,32–152,8)

S **1025–1087** (§ 2–11) Dor. apud Heph. I 1 passim (= Dor. App. II B1). Critod. Ap. (= Anon. De stellis fixis c. 5). Val. I 3,1–60. Tabulae Grandinenses, ed. R. Billoret, Gallia 28 (1970), 306–308. Firm. math. II 6,1–13. Paul. Alex. 3 p. 11,4–12,15

1017 *προσημαίνει* **ω** (*-μένη* **Y**) *προσημαίνετεαι* **c**, cf. l. 1013 ‖ **1018** *ὥσπερ* (post *Ἰχθύας*) om. **α** ‖ **1019** *ὁρίων* **VYβγ** Procl. (cf. 1,27) *τῶν ὁρίων* **LΣ** | *διαθέσεως* **VDSγ** *τῶν πέντε ἀστέρων* **L** om. **αMc** Co p. 39,–5 (cf. 1,27) ‖ **1020–1138** *περὶ* … (§ 1–21) **deficit L** ‖ **1021** *ἐστιν* **VDγ** om. **YMS** | *ὁ πρὸς* … *κυρίας* **α** (cf. *ὡς ἐπίπαν κυρίας* Co le p. 42,–16) om. **Vβγ** Procl.
1022 *ὁ πρὸς* … *οἰκοδεσποτείας* **ω** om. Procl. ‖ **1024** *τι* **Vα** *τοι* **βγ** ‖ **1025** *ἕκαστον*] *ἑκάτερα* **V** | *μὲν γὰρ* **α** (recepit Robbins) ‖ **1026** *ὅτι πῇ* **γ** | *τὰ πρωτεῖα δεδώκασιν* post l. 1027 *τριγώνων* transposuit **Σ** om. **Y** ‖ **1027** *ἐνίοτε*] *ἔνιοι* **S** | *δὲ καὶ* **α** (recepit Robbins) ‖ **1028** *ἐπεὶ παραδείγματος ἕνεκεν* **V** *ἐπὶ παραδείγματος δὲ ἕνεκεν* **Y** *παραδείγματος δὲ ἕνεκεν* **Σ** *ἐπὶ παραδείγματος τοῦ γε ἕνεκεν* **DM** *ἐπὶ παραδείγματος τό γε ἕνεκεν* **S** *ἐπὶ παραδείγματος δὲ ταῦτα εἰλήφθω* **γ** | *εἴτε* **V** *ὅτε* (vix *οἵ τε*) **Y** *ὅ τε* **Σ** *εἰ* **D** *εἴ γε* **MS** (elegit Robbins) *εἴπερ γὰρ* **γ** ‖ **1029** *Κρόνου εἰ τύχοι* om. **V** spatio relicto, *εἰ τύχοι* solum om. **γ**

δώκασιν ἐν Ζυγῷ καὶ οὐ τῷ τῆς Ἀφροδίτης; καὶ διὰ τί ἐν 1030
3 *Κριῷ τῷ τοῦ Διὸς καὶ οὐ τῷ τοῦ Ἄρεως; εἴτε τοῖς τριγώνοις, διὰ τί τῷ τοῦ Ἑρμοῦ δεδώκασιν ἐν Αἰγόκερῳ καὶ οὐ τῷ τῆς Ἀφροδίτης; εἴτε καὶ τοῖς ὑψώμασι, διὰ τί τῷ τοῦ Ἄρεως ἐν Καρκίνῳ καὶ οὐ τῷ τοῦ Διός; εἴτε τοῖς τὰ πλεῖστα τούτων ἔχουσι διὰ τί ἐν Ὑδροχόῳ τῷ τοῦ Ἑρμοῦ δε-* 1035 *δώκασι, τρίγωνον ἔχοντι μόνον, καὶ οὐχὶ τῷ τοῦ Κρόνου;*
4 *τούτου γὰρ καὶ οἶκός ἐστι καὶ τρίγωνον. ἢ διὰ τί ὅλως ἐν Αἰγόκερῳ τῷ τοῦ Ἑρμοῦ πρώτῳ δεδώκασι, μηδένα λόγον ἔχοντι πρὸς τὸ ζῴδιον οἰκοδεσποτείας; καὶ ἐπὶ τῆς λοιπῆς διατάξεως τὴν αὐτὴν ἀναλογίαν ἄν τις εὕροι.* 1040

5 *δεύτερον δὲ καὶ ἡ ποσότης τῶν ὁρίων οὐδεμίαν ἀκολουθίαν ἔχουσα φαίνεται. ὅ τε γὰρ καθ' ἕνα ἕκαστον ἀστέρα* c 12 *ἐπισυναγόμενος ἐκ πάντων ἀριθμός, πρὸς ὅν φασιν αὐτῶν* m 44 *τὰ χρονικὰ ἐπιμερίζεσθαι, οὐδένα οἰκεῖον οὐδὲ εὐαπόδεικτον ἔχει λόγον. ἐὰν δὲ καὶ τούτῳ τῷ κατὰ συναγωγὴν* 1045 *ἀριθμῷ πιστεύσωμεν ὡς ἄντικρυς ὑπ' Αἰγυπτίων ὡμολογημένῳ, πολλαχῶς μὲν καὶ ἄλλως τῆς κατὰ τὸ ζῴδιον ποσότητος ἐναλλασσομένης ὁ αὐτὸς ἀριθμὸς ἂν συναγόμενος εὑρεθείη.*

1030 *οὐ* om. V spatio relicto | *τῷ τῆς Ἀφροδίτης*] *ὁ τῆς Ἑρμῆς* V, cf. 1,556 || **1031** *οὐ*] *οὕτω* V Procl. | *εἴτε* **VY** *εἴτ' ἐν* **β** *εἰ δὲ* **Σγ** || **1033** *εἴτε* **Vαβ** *εἰ δέ γε* **γ** || **1034** *εἴτε* **Vα** *εἰ δὲ* **βγ** || **1036** *ἔχουσι* **V** || **1037** *ὅλως* **VΣβ** *ὅλο* **Y** *ὅλου* **G** *ὅλος* **γc** || **1038** *πρώτῳ* **Vβγ** *πρῶτον* **α** || **1040** *διατάξεως* **G** *διατάξαιως* **Y** *δὲ τάξεως* **VΣαβγ** (recepit Boll), cf. 2,192 | *ἀναλογίαν*] *ἀνακολουθίαν* **c** || **1042** *τε* om. **α** | *ἕκαστον ἀστέρα* **Vβγ** *τῶν ἀστέρων* **α** || **1044** *μερίζεσθαι* **α** || **1045** *δὲ* **α** (quos secutus est Robbins) *τε* **Vβγ** (maluit Boll) | *τούτῳ τῷ*] *τούτῳ* **Y** *τῷ τούτου* **Σ** | *συναγωγὴν* **βγ** *συναγωγῆς* **V** *τὴν ἐπισυναγωγὴν* **α** (recepit Robbins) || **1046** *ὑπ' Αἰγυπτίων* om. **Y** || **1047** *τῆς*] *τοῖς* **Y** || **1048** *ὁ αὐτὸς … εὑρεθείη* om. **γ** (lacuna duodetriginta fere litterarum **B**, add. **A**^{2}) | *αὐτὸς* **α** om. **Vβγ** | *ἂν* **VS** *ἐὰν* **DM** om. **α**

1050 *καὶ ὃ πιθανολογεῖν τε καὶ σοφίζεσθαί τινες ἐπιχειροῦσι* 6
περὶ αὐτῶν (ὅτι κατὰ παντὸς κλίματος ἀναφορικὸν λόγον
οἱ καθ' ἕκαστον ἀστέρα σχηματιζόμενοί πως χρόνοι τὴν
αὐτὴν ἐπισυνάγουσι ποσότητα) ψεῦδός ἐστι. πρῶτον μὲν 7
γὰρ ἀκολουθοῦσι τῇ κοινῇ πραγματείᾳ καὶ πρὸς ὁμαλὰς
1055 *ὑπεροχὰς τῶν ἀναφορῶν συνισταμένῃ (μὴ κατὰ μικρὸν ἐγ-*
γιζούσης τῆς ἀληθείας), καθ' ἣν ἐπὶ τοῦ διὰ τῆς κάτω χώ-
ρας τῆς Αἰγύπτου παραλλήλου τὸ μὲν τῆς Παρθένου καὶ
τῶν Χηλῶν δωδεκατημόριον ἐν λη′ χρόνοις ἑκάτερον καὶ
ἔτι τρίτῳ θέλουσιν ἀναφέρεσθαι, τὸ δὲ τοῦ Λέοντος καὶ
1060 *τοῦ Σκορπίου ἑκάτερον ἐν λε′, δεικνυμένου διὰ τῶν γραμ-*
μῶν, ὅτι ταῦτα μὲν ἐν πλείοσι τῶν λε′ χρόνων ἀναφέρεται,
τὸ δὲ τῆς Παρθένου καὶ τὸ τῶν Χηλῶν ἐν ἐλάττοσι. ἔπειτα 8
καὶ οἱ τὸ τοιοῦτον ἐπιχειρήσαντες κατασκευάζειν οὐκέτι
φαίνονται κατηκολουθηκότες οὐδὲ οὕτως τῇ παρὰ τοῖς
1065 *πλείστοις φερομένῃ ποσότητι τῶν ὁρίων καὶ τὰ πολλὰ διη-*
m 45 *ναγκασμένοι καταψεύσασθαι καί που καὶ μορίοις μορίων*

S **1056–1062** (§ 7 fin.) Synt. II 8 p. 136,17–28 || **1066** *μορίοις μορίων* Schol. Paul. Alex. 5, cf. Ap. I 22,1

1050 *τε καὶ* scripsi   *δὲ καὶ* **VY**   *δὲ καὶ οὐ* **MS**   *καὶ* **ΣDγ** (praetulit Boll) || **1052** *συσχηματιζόμενοι* **α** || **1053** *ψεῦδος* **Vβγ** Procl.   *ψευδές* **α** (maluit Boll) || **1054** *ἠκολουθήκασι* **Σ** || **1055** *τῶν*] *τῷ* **V** | *συνιστάμενα* **V** | *μὴ* **VY**   *μηδὲ* **Σβγ** | *ἐγγιζούσης* **VMSγ**   *ἐγγὺς οὔσῃ* **α** (recepit Robbins)   *ἐγγιζομένου* **D**   *ἐγγυζούσῃ* Boll || **1058** *ἐν* **Vα** om. **βγ** || **1061** *ἐν*] *ἔτι* **V** || **1062** *ἐν* **αγ** Procl. om. **Vβ** || **1065** *καὶ τὰ* **Vβ**   *κατὰ* **Y**   *καίτοι* **Σγ** || **1066** *καταψεύσασθαι* **Vβ**   *μὴ διαψεύσασθαι* **γ** | *καί που … χρήσασθαι* om. **Y**

χρήσασθαι τοῦ σῶσαι τὸ προκείμενον αὐτοῖς ἕνεκεν, οὐδ' αὐτοῖς (ὡς ἔφαμεν) ἀληθοῦς ἐχομένοις σκοποῦ.

τὰ μέντοι φερόμενα παρὰ τοῖς πολλοῖς διὰ τὴν τῆς ἐπάνωθεν παραδόσεως ἀξιοπιστίαν τοῦτον ὑπόκειται τὸν 1070
τρόπον·

9 [tab. 8.] *ὅρια κατ' Αἰγυπτίους*

♈			♉			♊			♋			♌			♍			
♃	ϛ'	ϛ'	♀	η'	η'	☿	ϛ'	ϛ'	♂	ζ'	ζ'	♃	ϛ'	ϛ'	☿	ζ'	ζ'	
♀	ϛ'	ιβ'	☿	ϛ'	ιδ'	♃	ϛ'	ιβ'	♀	ϛ'	ιγ'	♀	ε'	ια'	♀	ι'	ιζ'	1075
☿	η'	κ'	♃	η'	κβ'	♀	ε'	ιζ'	☿	ϛ'	ιθ'	♄	ζ'	ιη'	♃	δ'	κα'	
♂	ε'	κε'	♄	ε'	κζ'	♂	ζ'	κδ'	♃	ζ'	κϛ'	☿	ϛ'	κδ'	♂	ζ'	κη'	
♄	ε'	λ'	♂	γ'	λ'	♄	ϛ'	λ'	♄	δ'	λ'	♂	ϛ'	λ'	♄	β'	λ'	

10

♎			♏			♐			♑			♒			♓			
♄	ϛ'	ϛ'	♂	ζ'	ζ'	♃	ιβ'	ιβ'	☿	ζ'	ζ'	☿	ζ'	ζ'	♀	ιβ'	ιβ'	1080
☿	η'	ιδ'	♀	δ'	ια'	♀	ε'	ιζ'	♃	ζ'	ιδ'	♀	ϛ'	ιγ'	♃	δ'	ιϛ'	
♃	ζ'	κα'	☿	η'	ιθ'	☿	δ'	κα'	♀	η'	κβ'	♃	ζ'	κ'	☿	γ'	ιθ'	
♀	ζ'	κη'	♃	ε'	κδ'	♄	ε'	κϛ'	♄	δ'	κϛ'	♂	ε'	κε'	♂	θ'	κη'	
♂	β'	λ'	♄	ϛ'	λ'	♂	δ'	λ'	♂	δ'	λ'	♄	ε'	λ'	♄	β'	λ'	

S **1072–1084** (§ 9–10) Dor. App. II B1. Val. Add. 6 p. 358

1067 *χρήσασθαι* **MS** *ἐχρήσασθαι* **V** *ἐχρήσαντο* **ΣDγ** *χρῆσθαι* Co le p. 43,14 ‖ **1068** *αὐτοῖς* **Vβ** *αὐτὸ* **α** *αὐτῆς* **γ** | *ἐχομένοις* **VS** *ἐχομένης* **DMγ** *ἔχωμεν* **Y** *ἔχομεν* **G** *ἐχόμενον* **Σ** ‖ **1069** *ἐπάνωθεν* **αMS** *ἔτι ἄνωθεν* **VDγ** (recepit Boll) ‖ **1070** *ὑπόκεινται* **γ** ‖ **1072** *ὅρια κατ' Αἰγυπτίους* **VαDM** *ἔκθεσις Αἰγυπτιακῶν ὁρίων* **γ** om. **S** ‖ **1073–1084** tabulam om. **V** (spatio relicto) **S** (lineis tantum adumbratis ut 1,1174–1185) **Y** (manu posteriore addita, ut vid.) ‖ de Tauro: **1075** ☿ ϛ'] ☿

1085 *Συνάγεται δὲ ἑκάστου αὐτῶν ὁ ἀριθμὸς οὕτως· Κρόνου* **11**
μοῖραι νζ′, Διὸς οϑ′, Ἄρεως ξς′, Ἀφροδίτης πβ′, Ἑρμοῦ
ος′· γίνεται ὁμοῦ τξ′.

tab. 9. Chaldaeorum fines: gradus

	△ 1 ♈ ♌ ♐	△ 2 ♉ ♍ ♑	△ 3 ♊ ♎ ♒	△ 4 ♋ ♏ ♓	fines
	die nocte	die nocte	die nocte	die nocte	
8	♃	♀	♄ ☿	♂	1– 8
7	♀	♄ ☿	☿ ♄	♃	9–15
6	♄ ☿	☿ ♄	♂	♀	16–21
5	☿ ♄	♂	♃	♄ ☿	22–26
4	♂	♃	♀	☿ ♄	27–30
30					

planetarum summae

♄	18 15	21 18	24 21	15 12	78 66
♃	24	12	15	21	72
♂	12	15	18	24	69
♀	21	24	12	18	75
☿	15 18	18 21	21 24	12 15	66 78
					360


η′ α ‖ de Cancro: **1075** ♀ *ς′*] ♀ *ζ′* γ falso, sed summa integra ‖ de Scorpione: **1083** ♃ *ε′ κδ′*] ♃ *ε′ κε′* **L** ‖ de Capricorno: **1082** ♀ *η′*] ♀ *ζ′* α ‖ **1084** ♂ *δ′*] ♂ *ε′* α (ita ut summa servetur)

1085–1087 *Συνάγεται … τξ′* om. **ΣS** ‖ **1085** *ὁ* **V** (suprascriptum) om. praeter **ΣS** etiam **YDMγ** ‖ **1086** *μοῖραι* γ *μὲν ἔτη* **VDM** *μὲν* **Y** ‖ **1087** *γίνεται … τξ′* om. praeter ceteros etiam **YM** | *γίνονται* **V**, cf. l. 1186 et l. 1113 *συνάγεται* | *ὁμοῦ* γ om. cett., cf. l. 1117.1188

12 *Ὁ δὲ Χαλδαϊκὸς τρόπος ἁπλῆν μέν τινα ἔχει καὶ μᾶλλον πιθανήν, οὐχ οὕτως δὲ αὐτάρκη πρός τε τὰς τῶν τριγώνων δεσποτείας τὴν ἀκολουθίαν καὶ τὴν τῆς ποσό-* 1090 *τητος τάξιν, ὥστε μέντοι καὶ χωρὶς ἀναγραφῆς δύνασθαι*
13 *ῥᾳδίως τινὰ διαβάλλειν αὐτούς. ἐν μὲν γὰρ τῷ πρώτῳ τριγώνῳ Κριοῦ καὶ Λέοντος καὶ Τοξότου τὴν αὐτὴν ἔχοντι* m 46 *παρ' αὐτοῖς κατὰ ζῴδιον διαίρεσιν πρῶτος μὲν λαμβάνει ὁ τοῦ τριγώνου κύριος (ὁ τοῦ Διός), εἶθ' ἑξῆς ὁ τοῦ ἐφεξῆς* 1095 *τριγώνου (λέγω δὴ τὸν τῆς Ἀφροδίτης), εἶθ' ἑξῆς ὁ τῶν Δι-* c 12v *δύμων (ὅ τε τοῦ Κρόνου καὶ ὁ τοῦ Ἑρμοῦ), τελευταῖος δὲ*
14 *ὁ τοῦ λοιποῦ τριγώνου κύριος (ὁ τοῦ Ἄρεως). ἐν δὲ τῷ δευτέρῳ τριγώνῳ Ταύρου καὶ Παρθένου καὶ Αἰγόκερω πάλιν τὴν αὐτὴν κατὰ ζῴδιον ἔχοντι διαίρεσιν ὁ μὲν τῆς* 1100

1088 titulum inseruerunt: *κατὰ Χαλδαίους* Σ *κατὰ τὸν Χαλδαικὸν τρόπον* S | *ὁ δὲ*] *τὸ δὲ* Y || **1089** post *αὐτάρκη*: *τὴν ἀκολουθίαν* ex l. 1090 anticipavit γ | *δὲ* om. V | *πρός τε* **Vβγ** *τήν τε πρὸς* **YΣ** *τῆς τε πρὸς* **G** | | *τῶν τεσσάρων τριγώνων* **S** *τῶν δ' τριγώνων* **Ψ** (cf. *τῶν* Δ^ων Σ) || **1090** *τὴν* ante *ἀκολουθίαν* om. α (de stirpe γ v. supra) | *ἀκολουθίαν*] *ἀκολούθως* **Φ** || **1092** *ῥᾳδίως τινὰ* **VDγ** *τινα ῥᾳδίως* **MS** *ῥᾳδίως* **αc** | *διαβάλλειν* **VDγ** *ἐπιβαλεῖν* **αc** *ἐπιβάλλειν* **MS** (cf. 3,817) *διεκβάλλειν* Σ^2 in margine | *αὐτούς* Boll tacite *αὐτοῖς* **Vβ** *αὐταῖς* **αc** *αὐτά* **ACΣ**^{2} (in margine) *αὐτόν* **B** || **1094** *πρῶτον* **V** || **1095** *ὁ τοῦ ἐφεξῆς* om. **V** || **1096** *δὴ*] *δὲ* **MS** | *τὸν τῆς Ἀφροδίτης* **Σβ** *ὁ τῆς Ἑρμῆς* **V** ut l. 1100 (cf. 1,556) *τὴν τῆς* ♀ **Y** *ὁ τῆς* ♀ **γ** | *εἴθ' ἑξῆς* **VDγ** *ἐφεξῆς* **α** *εἴθ' ἐφεξῆς* **M** *εἰτ' ἐφεξῆς* **S** *ἐφεξῆς δὲ* Robbins tacite | *ὁ τῶν Διδύμων* **VY** Procl. *οἱ τῶν Διδύμων* **β** *οἱ τοῦ τρίτου, λέγω δὲ* [*δὴ* **A**] **Σγ**, cf. Val. II 2,13 p. 56,22 || **1097** *ὁ* ante *τοῦ Ἑρμοῦ* om. **V** || **1099** *Ταύρου* om. V, cf. 1,912 | *καὶ* ante *Παρθένου* om. **γ** | *Αἰγόκερω*] *Παρθένῳ* iteravit V, cf. 1,948 || **1100** *διαίρεσιν* **VYβ** *διαφορὰν* **Σ** (*διαίρεσιν* in margine) **γ**| *τῆς Ἀφροδίτης*] *τῆς Ἑρμῆς* **V** ut l. 1095 q. v.

fig. 10. Chaldaeorum fines: triangula



Ἀφροδίτης πρῶτος, εἶθ' ὁ τοῦ Κρόνου πάλιν καὶ ὁ τοῦ Ἑρμοῦ, μετὰ ταῦτα δὲ ὁ τοῦ Ἄρεως, τελευταῖος δὲ ὁ τοῦ Διός. σχεδὸν δὲ καὶ ἐπὶ τῶν λοιπῶν δύο τριγώνων ἡ τάξις ἥδε συνορᾶται. τῶν μέντοι τοῦ αὐτοῦ τριγώνου δύο κυρίων **15**

1102 *δὲ* **αγ** *δὲ καὶ* **Vβ** | *τελευταῖος δὲ*] *τελευταῖος δὲ καὶ* **V** ‖ **1103** *ἥδε* om. **V**

(λέγω δὲ τοῦ τοῦ Κρόνου καὶ τοῦ τοῦ Ἑρμοῦ) τὸ πρωτεῖον 1105
τῆς κατὰ τὸ οἰκεῖον τάξεως ἡμέρας μὲν ὁ τοῦ Κρόνου λαμ-
βάνει, νυκτὸς δὲ ὁ τοῦ Ἑρμοῦ. καὶ ἡ καθ' ἕκαστον δὲ πο-
16 *σότης ἁπλῆ τις οὖσα τυγχάνει. ἵνα γὰρ καθ' ὑπόβασιν τῆς*
τῶν πρωτείων τάξεως καὶ ἡ ποσότης τῶν ἑκάστου ὁρίων
μιᾷ μοίρᾳ λείπηται τῆς προτεταγμένης, τῷ μὲν πρώτῳ 1110
πάντοτε διδόασι μοίρας η', τῷ δὲ δευτέρῳ ζ', τῷ
δὲ τρίτῳ ς', τῷ δὲ τετάρτῳ ε', τῷ δὲ πέμπτῳ δ', συμ-
17 *πληρουμένων οὕτως τῶν κατὰ τὸ ζῴδιον λ' μοιρῶν. συν-*
άγεται δὲ καὶ ἐκ τούτου τοῦ μὲν τοῦ Κρόνου μοῖραι ἡμέ-
ρας μὲν οη', νυκτὸς δὲ ξς', τοῦ δὲ τοῦ Διὸς οβ', τοῦ δὲ 1115
τοῦ Ἄρεως ξθ', τοῦ δὲ τῆς Ἀφροδίτης οε', τοῦ δὲ τοῦ
Ἑρμοῦ ἡμέρας μὲν ξς', νυκτὸς δὲ οη'. γίνεται τὸ πᾶν τξ'.
18 *τούτων μὲν οὖν τῶν ὁρίων ἀξιοπιστότερα ὡς ἔφαμεν* m 47
τυγχάνει τὰ κατὰ τὸν Αἰγυπτιακὸν τρόπον καὶ διὰ τὸ τὴν
συναγωγὴν αὐτῶν παρὰ τοῖς Αἰγυπτίοις συγγραφεῦσιν ὡς 1120
χρησίμην ἀναγραφῆς ἠξιῶσθαι καὶ διὰ τὸ συμφωνεῖν αὐ-
τοῖς ὡς ἐπίπαν τὰς μοίρας τῶν ὁρίων ἐν ταῖς κατατεταγ-

S **1106** *ἡμέρας* Ap. I 7,2

1105 *πρῶτον* **V** Procl. ‖ **1107** *ἡ* om. **Y** ‖ **1112** *ε'*] *μοίρας πέντε* **V** | *πέμπτῳ* **VS** (*τρίτῳ* suprascriptum) *τελευταίῳ* **αDMγ** fort. recte | *δ'*] *μοίρας δ'* **V** ‖ **1113** *συμπληρουμένων ... μοιρῶν* om. **V** Procl. | *συνάγεται* **VDγ** (cf. l. 1087.1186. al. *γίνεται*) *συνάγονται* **αMS** (maluit Robbins) ‖ **1114** *καὶ* om. **γ** | *τούτου* **Vβγ** *τούτων* **α** | *μοῖραι* **αβ** *μοῖρα* **V** (cf. l. 1113) om. **γ** ‖ **1116** *μοίρας οε'* **Vβ** ‖ **1117** *ξς'* **Yβγ** *ξε'* **V** *ξη'* **Σ** | *γίνεται τὸ πᾶν τξ'* **VDγ** *γίνεται μοῖραι τξ'* **Y** *γίνονται μοῖραι τξ'* **Σ** *ὁμοῦ τριάκοντα ἑξήκοντα* **MS**, cf. l. 1087.1113 ‖ **1118** *ὡς ἔφαμεν τυγχάνει* **VαDγ** *φαμεν τυγχάνειν* **MS** om. **c** ‖ **1120** *Αἰγυπτίων* **γ** ‖ **1121** *τὸ*] *τοῦτο* **β** ‖ **1122** *ἐν* om. **α** | *ταῖς κατατεταγμέναις*] *κατὰ τὰς τεταγμένας* **Y**

μέναις παρ' αὐτῶν παραδειγματικαῖς γενέσεσιν· αὐτῶν μέν- 19
τοι τούτων τῶν συγγραφέων μηδαμῇ τὴν σύνταξιν αὐτῶν
1125 *μηδὲ τὸν ἀριθμὸν ἐμφανισάντων, ὕποπτον ἂν εἰκότως καὶ*
εὐδιάβλητον αὐτῶν γίνοιτο τὸ περὶ τὴν τάξιν ἀνομόλογον.
ἤδη μέντοι περιτετυχήκαμεν ἡμεῖς ἀντιγράφῳ πα- 20
λαιῷ καὶ τὰ πολλὰ διεφθαρμένῳ, περιέχοντι φυσικὸν καὶ
σύμφωνον λόγον τῆς τε τάξεως καὶ τῆς ποσότητος αὐτῶν,
1130 *μετὰ τοῦ τάς τε τῶν προειρημένων γενέσεων μοιρογραφίας*
καὶ τὸν τῶν συναγωγῶν ἀριθμὸν σύμφωνον εὑρίσκεσθαι τῇ
τῶν παλαιῶν ἀναγραφῇ. τὸ δὲ κατὰ λέξιν τοῦ βιβλίου 21
πάνυ μὲν μακρὸν ἦν καὶ μετὰ περισσῆς τινος ἀποδείξεως,
ἀδιάγνωστον δὲ διὰ τὸ διεφθάρθαι καὶ μόλις ἡμῖν αὐτὴν
1135 *τὴν καθόλου προαίρεσιν δυνάμενον ὑποτυπῶσαι καὶ ταῦτα*
συνεφοδιαζούσης καὶ αὐτῆς τῆς τῶν ὁρίων ἀναγραφῆς μᾶλ-
λόν πως διὰ τὸ πρὸς τῷ τέλει τοῦ βιβλίου κατατετάχθαι
διασεσωσμένης.

T 1130–1140 *τοῦτον* Procl. non vertit

S 1127–1128 *ἀντιγράφῳ παλαιῷ* Schol. Paul. Alex. 4

1123 *παρ'* **VDγ** *ὑπ'* **αMS** || **1126** *ἀνομόλογον* **VY** *ἀνωμολόγητον* **Σ** *ἀνομολόγητον* **βγ** Co le p. 44,4 || **1127** *ἡμεῖς* om. **β** || **1128** *καὶ τὰ* **Vβγ** *κατὰ* **α** || **1129** *τε* **V** om. cett. || **1130** *προειρημένων γενέσεων* **β** *γενέσεων προειρημένας* **V** *πρωγενομένων γενέσεων* **Y** *προγενομένων γενέσεων* **Σc** *προγινομένων γενέσεων* **G** *γενέσεων* **γ** || **1133** *περισσῆς τινος* **βγ** *περισσῆς* **α** *πολλῆς τινος* **V** (recepit Boll) || **1134** *ἀδιάγνωστον* **βγ** *ἀδιάσωστον* **Vac** | *διὰ τὸ διεφθάρθαι* **VDγ** *διὰ τὸ ἐφθάρθαι* **MS** *καὶ διεφθάρθαι* **Y** *καὶ διεφθαρμένον* **Σ** | *ἡμῖν* hic **VΣ** post 1135 *δυνάμενον* **Yβγ** || **1135** *ὑποτυπῶσαι* **αβγ** (recepit Robbins tacite) *ὑποδεῖξαι καὶ τυπῶσαι* **V** (praetulit Boll) || **1136** *αὐτῆς τῆς τῶν*] *τῆς αὐτῶν τῶν* **MS** || **1138** *διασεσωσμένης* **V** *διασεσωσμένοις* **Y** *διασεσωσμένων* **Σ** *διασεσωσμένην* **βγ**

22 *ἔχει δὲ γοῦν ὁ τύπος τῆς ὅλης αὐτῶν ἐπιβολῆς τὸν τρόπον τοῦτον· ἐπὶ μὲν γὰρ τῆς τάξεως τῆς καθ' ἕκαστον δωδεκατημόριον παραλαμβάνεται τά τε ὑψώματα καὶ τὰ τρίγωνα καὶ οἱ οἶκοι. καθόλου μὲν γὰρ ὁ μὲν δύο τούτων ἔχων ἀστὴρ οἰκοδεσποτείας ἐν τῷ αὐτῷ ζῳδίῳ προτάσσεται, κἂν κακοποιὸς ᾖ.* 23 *ὅπου δὲ τοῦτο οὐ συμβαίνει, οἱ μὲν κακοποιοὶ πάντοτε ἔσχατοι τάσσονται, πρῶτοι δὲ οἱ τοῦ ὑψώματος κύριοι, εἶτα οἱ τοῦ τριγώνου, εἶτα οἱ τοῦ οἴκου ἀκολούθως τῇ ἐφεξῆς τάξει τῶν ζῳδίων, πάλιν τῶν ἑξῆς ἀνὰ δύο ἐχόντων οἰκοδεσποτείας προτασσομένου τοῦ μίαν ἔχοντος ἐν τῷ αὐτῷ ζῳδίῳ.* 24 *ὁ μέντοι Καρκίνος καὶ ὁ Λέων οἶκοι ὄντες ἡλίου καὶ σελήνης, ἐπεὶ οὐ δίδοται τοῖς φωσὶν ὅρια, ἀπονέμονται τοῖς κακοποιοῖς, διὰ τὸ ἐν τῇ τάξει πλεονεκτεῖσθαι, ὁ μὲν Καρκίνος τῷ τοῦ Ἄρεως, ὁ δὲ Λέων τῷ τοῦ Κρόνου, ἐν οἷς καὶ ἡ τάξις αὐτοῖς ἡ οἰκεία φυλάσσεται.*

25 *ἐπὶ δὲ τῆς ποσότητος τῶν ὁρίων, ὡς μὲν μηδενὸς εὑρισκομένου κατὰ δύο τρόπους κυρίου ἤτοι ἐν αὐτῷ τῷ ζῳδίῳ ἢ καὶ ἐν τοῖς ἐφεξῆς μέχρι τεταρτημορίου, τοῖς μὲν ἀγα-*

[m 48, 1140, c 13, 1145, 1150, 1155]

S **1150** *ἡλίου καὶ σελήνης* Ap. I 18,2–3 || **1153** *τάξις ... οἰκεία* Ap. I 7,2

1139 *δὲ γοῦν* **Y** *δὲ οὖν* **Vβγ** (recepit Boll) *γοῦν* **Σ** || **1140** post *τοῦτον* titulum inseruerunt: *περὶ ὁρίων ὡς* [**V** *ὁ* **Dγ**] *Πτολεμαῖος* **VDγ** | *τῆς καθ' ἕκαστον δωδεκατημόριον* **Vα** *τῶν καθ' ἕκαστον δωδεκατημορίων* **βγ** || **1143** *οἰκοδεσποτ(ε)ίας* om. **α** || **1144** *κἂν*] *καὶ* **V** || **1147** *τῇ ἐφεξῆς* **VLβγ** *τὰ ἑξῆς* **α** | post *ζῳδίων* scholion interpolavit **L** | *τῶν ἑξῆς* **VLβγ** *δὲ ἐφεξῆς* **α** || **1148** *ἀνὰ δύο ἐχόντων* **VLβγ** *ἀνὰ δύο ἐχωντ(ον)* **Y** *οἱ ἀνὰ δύο ἔχοντες* **Σ** | *προτασσομένων* **Vβ** Procl. *προτασσομένου* **γ** (maluit Boll) *προτασσόμενοι* **α** (praetulit Robbins) *προτασσόμενος* **L** || **1150** *δίδονται* **αM**

θοποιοῖς (τουτέστι τῷ τε τοῦ Διὸς καὶ τῷ τῆς Ἀφροδίτης) ἑκάστῳ δίδονται μοῖραι ζ΄, τοῖς δὲ κακοποιοῖς (τουτέστι
1160 *τῷ τε τοῦ Κρόνου καὶ τῷ τοῦ Ἄρεως) ἑκάστῳ μοῖραι ε΄, τῷ δὲ τοῦ Ἑρμοῦ ἐπικοίνῳ ὄντι μοῖραι ς΄ εἰς συμπλήρωσιν τῶν λ΄. ἐπειδὴ δὲ ἔχουσί τινες ἀεὶ δύο λόγους (ὁ γὰρ τῆς* 26
m 49 *Ἀφροδίτης μόνος γίνεται οἰκοδεσπότης τοῦ κατὰ τὸν Ταῦρον καὶ ⟨Παρθένον καὶ⟩ Αἰγόκερων τριγώνου, τῆς σελή-*
1165 *νης εἰς τὰ ὅρια μὴ παραλαμβανομένης), προσδίδοται μὲν ἑκάστῳ τῶν οὕτως ἐχόντων (ἐάν τε ἐν αὐτῷ τῷ ζῳδίῳ, ἐάν τε ἐν τοῖς ἑξῆς μέχρι τεταρτημορίου) μοῖρα μία, οἷς καὶ παρέκειντο στιγμαί. ἀφαιροῦνται δὲ αἱ προστιθέμεναι τοῖς* 27 *διπλοῖς ἀπὸ τῶν λοιπῶν καὶ μοναχῶν, ὡς ἐπὶ τὸ πολὺ δὲ*
1170 *ἀπὸ τοῦ τοῦ Κρόνου, εἶτα καὶ τοῦ τοῦ Διὸς διὰ τὸ βραδύτερον αὐτῶν τῆς κινήσεως. ἔστι δὲ καὶ ἡ τούτων τῶν ὁρίων ἔκθεσις τοιαύτη·*

T 1159–1188 cod. Laurentianus XXVIII 14 (CCAG I [1898] 35) fol. 295v

S 1161 *ἐπικοίνῳ* Ap. I 7,1 (ubi plura)

1158 *τε* om. **VL** | *τῷ* ante *τῆς* om. **α** || **1159** *δίδοται* **VLD** | *μοίρας* **V** || **1160** *τῷ τε* **β** om. **VLαγ** | *μοίρας* **VL** || **1162** *ἐπειδὴ δὲ* **VLY** (cf. 1,996) *ἐπεὶ δὲ* **Σc** *εἴγε μὴ* **DMγ** *εἴγε* **S** add. **Σ** in margine: *εἴ γε μὴ ἔχουσί τινες δύο λόγους*, quod in textum recepit **m** || **1162** *τῆς Ἀφροδίτης* **Vα** *τοῦ Ἑρμοῦ* **βγ**, cf. 1,556 || **1163** *οἰκοδεσπότης* **Vα** *συνοικοδεσπότης* **βγ** || **1163** *Ταῦρον καὶ Αἰγόκερων* manus longe posterior in margine **V** (qui omisit sigla) *Καρκίνον καὶ Αἰγόκερων* **α** *Καρκίνον* **βγ** | *⟨Παρθένον καὶ⟩* supplevi propter siglorum similitudinem, cf. 1,1099 necnon 1,948. 4,204 || **1165** *προσδίδοται* **αMS** *προσδίδοντες* **V** *προσδίδονται* **Dγ** || **1166** *ἐὰν* utrobique **VL** *ἂν* **αβγ** || **1167** *ἐν* ante *τοῖς* om. **β** | *ἑξῆς* **VL** *ἐφεξῆς* **αβγ**

28 [tab. 11. *ὅρια κατὰ Πτολεμαῖον*]

♈			♉			♊			♋			♌			♍			
♃	ς′	ς′	♀	η′	η′	☿	ζ′	ζ′	♂	ς′	ς′	♄	ς′	ς′	☿	ζ′	ζ′	1175
♀	η′	ιδ′	☿	ζ′	ιε′	♃	ς′	ιγ′	♃	ζ′	ιγ′	☿	ζ′	ιγ′	♀	ς′	ιγ′	
☿	ζ′	κα′	♃	ζ′	κβ′	♀	ζ′	κ′	☿	ζ′	κ′	♀	ς′	ιθ′	♃	ε′	ιη′	
♂	ε′	κς′	♄	δ′	κς′	♂	ς′	κς′	♀	ζ′	κζ′	♃	ς′	κε′	♄	ς′	κδ′	
♄	δ′	λ′	♂	δ′	λ′	♄	δ′	λ′	♄	γ′	λ′	♂	ε′	λ′	♂	ς′	λ′	

29

♎			♏			♐			♑			♒			♓			1180
♄	ς′	ς′	♂	ς′	ς′	♃	η′	η′	♀	ς′	ς′	♄	ς′	ς′	♀	η′	η′	
♀	ε′	ια′	♃	η′	ιδ′	♀	ς′	ιδ′	☿	ς′	ιβ′	☿	ς′	ιβ′	♃	ς′	ιδ′	
♃	η′	ιθ′	♀	ζ′	κα′	☿	ε′	ιθ′	♃	ζ′	ιθ′	♀	η′	κ′	☿	ς′	κ′	
☿	ε′	κδ′	☿	ς′	κζ′	♄	ς′	κε′	♂	ς′	κε′	♃	ε′	κε′	♂	ς′	κς′	
♂	ς′	λ′	♄	γ′	λ′	♂	ε′	λ′	♄	ε′	λ′	♂	ε′	λ′	♄	δ′	λ′	1185

T 1174–1179 de Ariete Heph. I 1,10 | de Tauro Heph. I 1,29 | de Geminis Heph. I 1,48 | de Cancro Heph. I 1,67 | de Leone Heph. I 1,87 | de Virgine Heph. I 1,106 || **1180–1185** de Libra Heph. I 1,125 | de Scorpione Heph. I 1,145 | de Sagittario Heph. I 1,165 | de Capricorno Heph. I 1,184 | de Aquario Heph. I 1,203 | de Piscibus Heph. I 1,223

S 1173–1185 (§ 28–29) Cod. Angelicus gr. 74 (CCAG V 1 [1904] p. 57) fol. 108r. Cod. Berolinensis 149 (CCAG VII [1908] p. 39) fol. 151v

1173 hunc titulum praebent **VLαDM** *ἔκθεσις τῶν κατὰ Πτολεμαῖον ὁρίων* **γ** om. **S** del. Robbins || **1174–1185** tabulam om. **V** (spatio relicto) **S** (lineis tantum adumbratis ut § 9–10), hic ex **L** cum Vat. gr. 1291 et Proclo semper congruente recepta || de Tauro: **1178** ♄ *δ′*] ♄ *β′* **α** || de Geminis: **1176** ♃ *ς′ ιγ′*] ♃ *ζ′ ιδ′* **D** || **1177** ♀ *ζ′ κ′*] ♁ *ζ′ κα′* **D** || **1178** ♂ *ς′ κς′*] ♄ *δ′*

γίνεται καὶ τούτων ἐκ τῆς ἐπισυνθέσεως Κρόνου μοῖραι 30
νζ', Διὸς οθ', Ἄρεως ξς', Ἀφροδίτης πβ', Ἑρμοῦ ος'·
ὁμοῦ τξ'.

κβ'. Περὶ τόπων καὶ μοιρῶν ἑκάστου

1190 *Διεῖλον δέ τινες καὶ εἰς ἔτι τούτων λεπτομερέστερα τμή-* 1
ματα τὰς οἰκοδεσποτείας, τόπους καὶ μοίρας ὀνομάσαντες·
καὶ τόπον μὲν ὑποτιθέμενοι τὸ τοῦ δωδεκατημορίου δωδε-
m 50 *κατημόριον (τουτέστι μοίρας β' ἥμισυ) καὶ διδόντες αὐτοῦ*

T **1190–1194** Rhet. A p. 152,17–19 (nec non apud Dor. G p. 327,4–6 Pingree, qui numerat c. I 26)

S **1192–1193** *δωδεκατημορίου δωδεκατημόριον* Manil. II 740 sq. Dor. A I 8,7. Val. I 11. Sext. Emp. V 9 (inde Hippol. ref. haer. V 13,7). Heph. III 4,23–34, cf. Ap. I 21,8 ||

κε' **D** || **1179** ♄ *δ' λ'*] ♂ *ε' λ'* **D** || de Leone: **1175** ♄] ♃ **α** || **1177** ♀] ♄ **α** || **1178** ♃] ♀ **α** || de Libra: **1183** ♃ *η'*] ☿ *η'* **γ** ☿ *ε'* **α** || **1184** ☿ *ε'*] ♃ *ε'* **γ** ♃ *η'* **α** || de Scorpio: **1182** ♃ *η'*] ♀ *ζ'* **α** || **1183** ♀ *ζ'*] ♃ *η'* **α** || de Sagittario: **1182** ♀ *ς'*] ♀ *ε'* **Y** || de Capricorno: **1184** ♂ *ς'*] ♂ *ε'* **α** || **1185** ♄ *ε'*] ♄ *ς'* **α** (ita ut summa servetur) || de Piscibus: **1184** ♂ *ς'*] ♂ *ε'* **α** || **1185** ♄ *δ'*] ♄ *ε'* **α** (item) ||

1186–1188 *γίνεται ... τξ'* (rubro scripsit V) om. **Lα** || **1186** *ἐπισυνθέσεως* **Vβ** *συνθέσεως* **γ** || **1187** *πβ' Ἑρμοῦ* om. **V** propter siglorum similitudinem, cf. 1,556 || **1188** *ὁμοῦ* **DMγ** *γίνονται* **VS**, cf. 1,1087 || **1189** *κβ'*] *κς'* Rhet. A | *ἑκάστου* om. **Y** ut 1,28, totum titulum om. **Σ** || **1190** *τὰ τμήματα* **Σ** || **1193** *τουτέστι ... ἥμισυ* om. **γ** | *μοίρας*] *μόρια* **V** | post *ἥμισυ*: *ἀρχόμενοι ἀπὸ τοῦ δωδεκατημορίου* [*ζῳδίου* **AC**], *καθ' ὅ ἐστιν ὁ ἀστήρ* add. **ΣAC** *ἀρχόμενοι ἀπὸ τοῦ* sequente lacuna quinque fere litterarum add. **B** | *αὐτοῦ* **Vα** *αὐτῶν* **βγ** ||

τὴν κυρίαν τοῖς ἐφεξῆς ζῳδίοις, ἄλλοι δὲ καὶ κατ' ἄλλας τινὰς ἀλόγους τάξεις, μοῖραν δὲ ἑκάστην πάλιν ἀπ' ἀρχῆς 1195 *ἑκάστῳ διδόντες τῶν ἀστέρων ἀκολούθως τῇ τάξει τῶν*
2 *Χαλδαϊκῶν ὁρίων. ταῦτα μὲν οὐ πιθανὸν καὶ οὐ φυσικὸν ἀλλὰ κενόδοξον ἔχοντα λόγον παρήσομεν. ἐκεῖνο δὲ ἐπι-* c 13v *στάσεως ἄξιον τυγχάνον οὐ παραλείψομεν ὅτι καὶ τὰς τῶν δωδεκατημορίων καὶ τὰς τῶν ὁρίων ἀρχὰς ἀπὸ τῶν τροπι-* 1200 *κῶν καὶ τῶν ἰσημερινῶν σημείων εὔλογόν ἐστι ποιεῖσθαι, καὶ τῶν συγγραφέων τοῦτό πως ἐμφανισάντων, καὶ μάλιστα διότι τὰς φύσεις καὶ τὰς δυνάμεις καὶ τὰς συνοικειώσεις αὐτῶν ὁρῶμεν ἐκ τῶν προαποδεδειγμένων ἀπὸ τῶν τροπικῶν καὶ ἰσημερινῶν ἀρχῶν καὶ οὐκ ἀπ' ἄλλου τινὸς* 1205
3 *ἐχούσας τὴν αἰτίαν. ἄλλων γὰρ ἀρχῶν ὑποτιθεμένων ἢ μηκέτι συγχρῆσθαι ταῖς φύσεσιν αὐτῶν εἰς τὰς προτελέσεις ἀναγκασθησόμεθα ἢ συγχρώμενοι διαπίπτειν, παραβάντων καὶ ἀπαλλοτριωθέντων τῶν τὰς δυνάμεις αὐτοῖς ἐμπεριποιησάντων τοῦ ζῳδιακοῦ διαστημάτων.* 1210

S 1194 *ἄλλοι … ἄλλας* v. ad 1,1020

1195 *ἑκάστην* **Vβγ** *ἑκάστῳ* **α** ‖ **1196** *ἑκάστῳ* **VYβγ** *ἑκάστου* **Σ** ‖ **1197** *ταῦτα μὲν οὐ* scripsi (coll. *οὔτε πιθανὸν οὔτε φυσικὸν* Co le p. 48,–17) *ταῦτα μὲν οὖν* **α** (receperunt Boll Robbins) *τοῦτο μὲν οὖν* **V** *τὰ μὲν* **β** *ἡμεῖς δὲ τὰ μὲν* **γ** | *πιθανὸν* ⟨*μόνον*⟩ suppl. Boll coll. 1,1050 *πιθανολογεῖν καὶ σοφίζεσθαι* ‖ **1198** *δὲ* **Vα** *δὲ τὸ* **βγ** ‖ **1199** *καὶ τὰς τῶν ὁρίων* om. **α** haud scio an recte ‖ **1206** *ἐχούσας*] *ἔχοντας* **Σ** | *γὰρ*] *μὲν γὰρ* **α** ‖ **1207** *συγχρῆσθαι* **Lα** *συγχωρῆσθαι* **V** *συγχρήσασθαι* **βγ** ‖ **1209** *ἀπαλλοτριωθέντων* **VY** *ἀλλοτριωθέντων* **Σβγ** | *ἐμπεριποιησάντων* **VLα** *περιποιησάντων* **β** *περιποιούντων* **γ** ‖ **1210** *τοῦ*] *τῶν τοῦ* **β**

κγ΄. Περὶ προσώπων καὶ λαμπηνῶν καὶ τῶν τοιούτων

Αἱ μὲν οὖν συνοικειώσεις τῶν τε ἀστέρων καὶ τῶν δωδεκα- 1
τημορίων σχεδὸν ἂν εἶεν τοσαῦται. λέγονται δὲ καὶ ἰδιο-
m 51 1215 *προσωπεῖν μὲν ὅταν ἕκαστος αὐτῶν τὸν αὐτὸν διασώζῃ*
πρὸς ἥλιον ἢ σελήνην σχηματισμόν, ὅνπερ καὶ ὁ οἶκος αὐ-
τοῦ πρὸς τοὺς ἐκείνων οἴκους· οἷον ὅταν ὁ τῆς Ἀφροδίτης
λόγου ἕνεκεν ἑξάγωνον ποιήσῃ πρὸς τὰ φῶτα διάστασιν,
ἀλλὰ πρὸς ἥλιον μὲν ἑσπέριος ὤν, πρὸς σελήνην δὲ ἑῷος
1220 *ἀκολούθως τοῖς ἐξ ἀρχῆς οἴκοις. λαμπήναις δ᾽ ἐν ἰδίαις* 2
λέγονται εἶναι καὶ θρόνοις καὶ τοῖς τοιούτοις, ὅταν κατὰ
δύο ἢ καὶ πλείους τῶν προεκτεθειμένων τρόπων συνοι-
κειούμενοι τυγχάνωσι τοῖς τόποις ἐν οἷς καταλαμβάνονται,
τότε μάλιστα τῆς δυνάμεως αὐτῶν πρὸς ἐνέργειαν αὐξομέ-

T 1211–1224 *καταλαμβάνονται* (§ 1–2) Heph. I 19,1–2

S 1221 *θρόνοις* Mich. Pap. III 149 col. XVI 24

1211 *προσώπων*] *ἰδιοπροσώπων* Σ Co p. 49,9 *ἰδιοπροσωπίας* Heph. | *καὶ τῶν τοιούτων* Vβγ *καὶ θρόνων* Σ Heph. om. Y || **1213** *τε*] *ε΄* A || **1214** *ἰδιοπροσωπεῖν* Vβγ Heph. *ἰδιοπρόσωποι* α || **1215** *ὅταν* om. Σ || **1216** *πρὸς τὸν ἥλιον* βγ | *συσχηματισμόν* V || **1218** *ποιῇ* α Heph. || **1220** *λαμπήναις δ(ὲ) ἐν ἰδίαις* VYβγ *ἐν ἰδίοις θρόνοις* L *καὶ ἐν λαμπήναις ἰδίαις* Σ || **1221** *λέγονται* Σ om. VLYβγ post *τοιούτοις* transposuit Heph. | *θρόνοις*] *λαμπήναις* L, v. supra | *τοιούτοις* Vα *τοιούτοις οἱ ἀστέρες λέγονται* β *τοιούτοις λέγονται οἱ ἀστέρες* γ || **1222** *καὶ* Vα *κατὰ* βγ || **1224** *τότε* VY *τότε γὰρ* ΣMSγ | *αὐξανομένης* α

νης διὰ τὸ ὅμοιον καὶ συμπρακτικὸν τῆς τῶν περιεχόντων 1225
δωδεκατημορίων ὁμοφύλου οἰκειότητος.

3 *χαίρειν δέ φασιν αὐτούς, ὅταν κἂν μὴ πρὸς αὐτοὺς ᾖ ἡ συνοικείωσις τῶν περιεχόντων ζῳδίων, ἀλλὰ μέντοι πρὸς τοὺς τῶν αὐτῶν αἱρέσεων, ἐκ μακροῦ μὲν μᾶλλον οὕτως γινομένης τῆς συμπαθείας, κοινωνούσης δὲ ὅμως καὶ κατὰ* 1230 *τὸν τοιοῦτον τρόπον τῆς ὁμοιότητος· ὥσπερ, ὅταν ἐν τοῖς ἠλλοτριωμένοις καὶ τῆς ἐναντίας αἱρέσεως τόποις καταλαμβάνωνται, πολὺ παραλύεται τῆς οἰκείας αὐτῶν δυνάμεως, ἄλλην τινὰ φύσιν μικτὴν ἀποτελούσης τῆς κατὰ τὸ ἀνόμοιον τῶν περιεχόντων ζῳδίων κράσεως.* 1235

κδʹ. Περὶ συναφῶν καὶ ἀπορροιῶν καὶ τῶν ἄλλων δυνάμεων

c 14
m 52

1 *Καθόλου συνάπτειν μὲν λέγονται τοῖς ἑπομένοις οἱ προηγούμενοι, ἀπερρυηκέναι δὲ οἱ ἑπόμενοι τῶν προηγουμένων,*

S **1227** *χαίρειν* Dor. A I 1,9 (aliter Dor. apud Heph. I 7). Ant. CCAG VIII 3 (1912) p. 107,35. Val. II 7,1. 9,6. 32,3.4 (ex Timaeo). III 5,1.2.4. Porph. 54. Firm. math. I 4,6. II 3,2. 7,1. al. Rhet. A p. 159,20–29. al. Apom. Myst. I 151 (ined.), aliter Manil. II 167. al. || **1238–1249** (§ 1–2) Porph. 11.13 (~ Heph. I 14,1–2). Firm. math. IV 25,1–2. Paul. Alex. 17 p. 36–38 (quem interpretatur Olymp. 2 p. 3). Rhet. A p. 158,13–18. Ps.Serap. CCAG VIII 4 (1921) p. 228,34–229,10

1226 *ὁμοφύλου* L *ὁμοφίλου* V *ὁμοφυοῦς* **αβγ** *ὁμοφυλοῦς* Feraboli perperam | *οἰκειότητος*] *οἰκειώσεως* Σ | postea *ἰδιοθρονεῖν καὶ λάμπειν λέγονται* add. **Σβγ** || **1227** *χαίρειν*] *φέρειν* **V** || **1228** *συνοικειώσεις* **V** || **1229** *μὲν* om. **α** || **1230** *κοινωνούσης* **Vβγ** *κοινωνοῦσι* **α** | *ὅμως* **Vβγ** *ὁμοίως* **α** || **1231** *τοιοῦτον* **Vβγ** *αὐτὸν* **α** || **1233** *τῆς* **Vβγ** *τὸ τῆς* **α** || **1238** *καθόλου* **Vβγ** *καὶ καθόλου δὲ* **α** || **1239** *ἀπερρυηκέναι* **αγ** *ἀπερρευκέναι* **Vβ**

1240 *ἐφ' ὅσον ἂν μὴ μακρὸν ᾖ τὸ μεταξὺ αὐτῶν διάστημα. παραλαμβάνεται δὲ τὸ τοιοῦτον ἐάν τε σωματικῶς ἐάν τε καὶ κατά τινα τῶν παραδεδομένων σχηματισμῶν συμβαίνῃ· πλὴν ὅτι γε πρὸς μὲν τὰς δι' αὐτῶν τῶν σωμάτων συν-* 2 *αφὰς καὶ ἀπορροίας καὶ τὰ πλάτη παρατηρεῖν αὐτῶν χρή-*
1245 *σιμον εἰς τὸ μόνας τὰς ἐπὶ τὰ αὐτὰ μέρη τοῦ διὰ μέσων εὑρισκομένας παρόδους παραδέχεσθαι. πρὸς δὲ τὰς διὰ τῶν συσχηματισμῶν περισσόν ἐστι τὸ τοιοῦτον, πασῶν ἀεὶ τῶν ἀκτίνων ἐπὶ τὰ αὐτά (τουτέστιν ἐπὶ τὸ κέντρον τῆς γῆς) φερομένων καὶ ὁμοίως πανταχόθεν συμβαλλουσῶν.*

1250 *ἐκ δὴ τούτων ἁπάντων εὐσύνοπτον ὅτι τὸ μὲν ποιὸν* 3 *ἑκάστου τῶν ἀστέρων ἐπισκεπτέον ἔκ τε τῆς ἰδίας αὐτῶν φυσικῆς ἰδιοτροπίας καὶ ἔτι τῆς τῶν περιεχόντων δωδεκατημορίων ἢ καὶ τῆς τῶν πρός τε τὸν ἥλιον καὶ τὰς γωνίας συσχηματισμῶν κατὰ τὸν ἐκτεθειμένον ἡμῖν περὶ αὐτῶν*

S 1251–1252 *ἰδίας ... ἰδιοτροπίας* Rhet. A p. 159,11–14 ‖ **1252** *περιεχόντων* Ap. III 5,2. Ant. CCAG VIII 3 (1912) p. 114,23–27. Porph. 14 (~ Heph. I 15,1–2). Rhet. A p. 159,7–10 ‖ **1253–1259** (§ 3 fin.) Dor. A I 6,6. IV 1,5. Maneth. II(I) 403–409. Porph. 53 p. 227,2–6. Paul. Alex. 14 p. 28,19–29,16. Hermipp. II 57, aliter Porph. 54 p. 228,7–9. Plotin. Enn. II 3,3 l. 18–19. Rhet. A p. 159,20–29

1242 *κατά τινα* **Vαγ** Procl. Co p. 50,–14 *κατ' ἀκτῖνα* **β** ‖ **1246** *παρόδους* om. **YMS** | *τὰς διὰ τῶν συσχηματισμῶν*] *τὸν γινόμενον σχηματισμὸν* **Σc** ‖ **1247** *ἐστι* **αγ** Procl. *ἔτι* **Vβ** (cf. 2,189. 3,556) *ἔτη* **L** ‖ **1250** titulum inseruit **S**[2]: *περὶ τοῦ ἐκ τίνος δεῖ γινώσκειν τὴν ποιότητα τῶν ἀστέρων καὶ ἐκ τίνος τὴν τούτων δύναμιν* ‖ **1253** *τὰς γωνίας* **αMS** Procl. *τῶν γωνιῶν* **VDγ** ‖ **1254** *συσχηματισμῶν* **βγ** Procl. *συσχηματισμοὺς* **Y** *σχηματισμῶν* **VLΣ** | *αὐτῶν τούτων* **VLγ** *πάντων τούτων* **α** *αὐτῶν τούτων πάντων* **D** *αὐτῶν πάντων τούτων* **M** *αὐτῶν πάντων* **S**

τούτων τρόπον, τὴν δὲ δύναμιν πρῶτον μὲν ἐκ τοῦ ἤτοι 1255
ἀνατολικοὺς αὐτοὺς εἶναι καὶ προσθετικοὺς ταῖς ἰδίαις κι-
νήσεσι (τότε γὰρ μάλιστά εἰσιν ἰσχυροί) ἢ δυτικοὺς καὶ
ἀφαιρετικούς (τότε γὰρ ἀσθενεστέραν ἔχουσι τὴν ἐνέρ- m 53
4 *γειαν), ἔπειτα καὶ ἐκ τοῦ πως ἔχειν πρὸς τὸν ὁρίζοντα· μεσ-*
ουρανοῦντες μὲν γὰρ ἢ ἐπαναφερόμενοι τῷ μεσουρανήματι 1260
μάλιστά εἰσι δυναμικοί, δεύτερον δὲ ὅταν ἐπ' αὐτοῦ τοῦ
ὁρίζοντος ὦσι ἢ ἐπαναφέρωνται, καὶ μᾶλλον ὅταν ἐπὶ τοῦ
ἀνατολικοῦ, ἧττον δὲ ὅταν ὑπὸ γῆν μεσουρανῶσιν ἢ
ἄλλως συσχηματίζωνται τῷ ἀνατέλλοντι τόπῳ. μὴ οὕτως δὲ
ἔχοντες ἀδύναμοι παντελῶς τυγχάνουσιν. 1265

S **1259–1265** (§ 4) Val. II 2,3, cf. III 5,20

1255 *ἤτοι* om. **βγ** ‖ **1257** *δυτικοὺς καὶ ἀφαιρετικούς* **αβγ** *ἀφαιρετικοὺς καὶ δυτικούς* **VL** ‖ **1259** *πως ἔχειν*] an *πῶς ἔχουσι*? ‖ **1260** *ἐπιφερόμενοι* **α** ‖ **1261** *μάλιστά εἰσι δυναμικοί* om. **γ** ‖ **1264** *μὴ* om. **V** ‖ **1265** *ἀδύναμοι* **αS** Procl. *ἀδύνατοι* **VDMγ** (praetulit Boll) ‖ **subscriptiones:** *τέλος τοῦ α' βιβλίου Κλαυδίου Πτολεμαίου* **V** *τέλος τοῦ πρώτου βιβλίου τῶν ἀποτελεσματικῶν Πτολεμαίου* **S** *τέλος τοῦ α' βιβλίου* **Dγ** *τέλος Κλαυδίου Πτολεμαίου ἀποτελεσματικῶν πρῶτον* **M** om. **α**

c 14v

ΒΙΒΛΙΟΝ Β'

Τάδε ἔνεστιν ἐν τῷ β' βιβλίῳ

α'. διαίρεσις τῆς καθολικῆς ἐπισκέψεως
β'. περὶ τῶν καθ' ὅλα κλίματα ἰδιωμάτων
5 *γ'. περὶ τῆς τῶν χωρῶν πρὸς τὰ τρίγωνα καὶ πρὸς τοὺς ἀστέρας συνοικειώσεως*
δ'. ἔκθεσις τῶν ἀνηκουσῶν χωρῶν ἑκάστῳ τῶν ζῳδίων
ε'. ἔφοδος εἰς τὰς κατὰ μέρος προτελέσεις τῶν ἐκλείψεων
ς'. περὶ τῆς τῶν διατιθεμένων χωρῶν ἐπισκέψεως
10 *ζ'. περὶ τοῦ χρόνου τῶν ἀποτελουμένων*
η'. περὶ τοῦ γένους τῶν διατιθεμένων
θ'. περὶ τῆς αὐτοῦ τοῦ ἀποτελέσματος ποιότητος
ι'. περὶ χρωμάτων ἐκλείψεως καὶ κομητῶν καὶ τῶν τοιούτων
ια'. περὶ τῆς τοῦ ἔτους νεομηνίας
15 *ιβ'. περὶ τῆς μερικῆς πρὸς τὰ καταστήματα φύσεως τῶν ζῳδίων*
ιγ'. περὶ τῆς ἐπὶ μέρους τῶν καταστημάτων ἐπισκέψεως
ιδ'. περὶ τῆς τῶν μετεώρων σημειώσεως

T 2–17 CCAG VIII 3 (1912) p. 94,6–23

1 titulum *Κλαυδίου Πτολεμαίου ἀποτελεσματικὸν β'* add. **αM** om. cett. ‖ **2** *Τάδε ... βιβλίῳ* Boll *τάδε ἔνεστιν ἐν τῷ β' βιβλίῳ τῶν πρὸς Σύρον συμπερασματικῶν* **γ** *κεφάλαια τοῦ δευτέρου βιβλίου* **VDM** (qui add. *Κλαυδίου Πτολεμαίου*) *Κλαυδίου Πτολεμαίου ἀποτελεσματικὸν δεύτερον* iteravit e l. 1 **Y** ‖ **3** *α'* etc.] capitum numeros praebent **VYDγ** om. **ΣMS** | *α' ... ἐπισκέψεως* om. **M** *α' Τὰ μὲν δὴ κυριότερα τῶν πινακικῶς προεκτεθεμένων* **Y** e l. 19 ‖ **4** *καθ' ὅλα*] *καθόλου* **DM** | *κλιμάτων ἢ ἰδιωμάτων* **DM** ‖ **5** *πρὸς* alterum om. **YDγ** (non ita 2,120) | *τοὺς ἀστέρας*] *ἑξάγωνα* **D** propter siglorum similitudinem ut 2,120 ‖ **7** *ἔκθεσις ... ζῳδίων* om. **YM** | *ἑκάστῳ τῶν ζῳδίων* om. **D** ‖ **8** *ἔφοδος*] *περὶ ἐφόδου* **M** | *τῶν ἐκλείψεων* **VD** om. **YMγ**, cf. 2,512 ‖ **12** *τοῦ* om. **Y** ‖ **13** *ἐκλείψεων* **YM** ‖ **14** *νεομηνίας* **VYD** *νουμηνίας* **Mγ** ‖ **16** *τῆς τῶν ἐπὶ* **M**

α΄. Διαίρεσις τῆς καθολικῆς ἐπισκέψεως

1 *Τὰ μὲν δὴ κυριώτερα τῶν πινακικῶς προεκτεθειμένων εἰς τὴν τῶν κατὰ μέρος προρρήσεων ἐπίσκεψιν ὡς ἐν κεφα-* 20 *λαίοις μέχρι τοσούτων ἡμῖν ἐφοδευέσθω. συνάψομεν δὲ ἤδη κατὰ τὸ ἑξῆς τῆς ἀκολουθίας τὰ καθ' ἕκαστα τῆς τῶν εἰς τὸ δυνατὸν τῆς τοιαύτης προρρήσεως ἐμπιπτόντων πραγματείας, ἐχόμενοι πανταχῇ τῆς κατὰ τὸν φυσικὸν τρόπον ὑφηγήσεως.* 25

2 *εἰς δύο τοίνυν τὰ μέγιστα καὶ κυριώτατα μέρη διαιρουμένου τοῦ δι' ἀστρονομίας προγνωστικοῦ, καὶ πρώτου μὲν ὄντος καὶ γενικωτέρου τοῦ καθ' ὅλα ἔθνη καὶ χώρας ἢ* m 54 *πόλεις λαμβανομένου (ὃ καλεῖται καθολικόν), δευτέρου δὲ καὶ εἰδικωτέρου τοῦ καθ' ἕνα ἕκαστον τῶν ἀνθρώπων* 30 *(ὅπερ καλεῖται γενεθλιαλογικόν), προσήκειν ἡγούμεθα περὶ τοῦ καθολικοῦ πρῶτον ποιήσασθαι τὸν λόγον, ἐπειδήπερ ταῦτα μὲν κατὰ μείζους καὶ ἰσχυροτέρας αἰτίας τρέπεσθαι* 3 *πέφυκε μᾶλλον τῶν μερικῶς ἀποτελουμένων. ὑποπιπτου-*

S 19 *πινακικῶς* Rhet. C p. 118,1 || 34–36 *ὑποπιπτουσῶν … καθόλου* Ap. I 3,7

18 *α΄* **VYDγ** om. **ΣMS** et sic deinceps | *διαίρεσις … ἐπισκέψεως* **VDγ** om. **αMS** (S etiam reliquorum librorum titulos) || 19 *δὴ* **α** Co le p. 53,4 (iteratum in Y l. 3) *οὖν* **β** om. **VLγ** | *κυριώτερα* **VYD** *κυριώτατα* **ΣMSγ** *κυριώτητα* Co le ibid. | post *προεκτεθειμένων*: *ἡμῖν* add. **VDγ**, *νῦν* add. c (quem secutus est Robbins) || 21 *τοσοῦτον* **β** | *ἐφοδεύσθω* **V** | *συνάψωμεν* **α** || 22 *τὰ* **V** *τὰς* (sc. *πραγματείας*) **Σβγ** (recepit Robbins) om. **Y** | *ἕκαστον* **βγ** | *τῆς τῶν* scripsi *τῆς πραγματείας τῶν* **V** (v. infra) *τῶν* **αMSγ** *τῆς* **D** || 23 post *ἐμπιπτόντων*: *τῆς πραγματείας* **Y** *πραγματείας* **V** (iterans) **Σβγ** || 31 *ὅπερ* **V** *ὃ καὶ αὐτὸ* **αβγ** *ὃ κατ' αὐτὸ* Feraboli || 33 *μὲν* **Vα** om. **βγ**

35 *σῶν δὲ ἀεὶ τῶν ἀσθενεστέρων φύσεων ταῖς δυνατωτέραις καὶ τῶν κατὰ μέρος ταῖς καθόλου, παντάπασιν ἀναγκαῖον ἂν εἴη τοῖς προαιρουμένοις περὶ ἑνὸς ἑκάστου σκοπεῖν πολὺ πρότερον περὶ τῶν ὁλοσχερεστέρων προδιειληφέναι.*

καὶ αὐτῆς δὲ τῆς καθολικῆς ἐπισκέψεως τὸ μὲν πάλιν 4
40 *κατὰ χώρας ὅλας λαμβάνεται, τὸ δὲ κατὰ πόλεις, καὶ ἔτι τὸ μὲν κατὰ μείζους καὶ περιοδικωτέρας περιστάσεις, οἷον πολέμων ἢ λιμῶν ἢ λοιμῶν ἢ σεισμῶν ἢ κατακλυσμῶν καὶ τῶν τοιούτων, τὸ δὲ κατ' ἐλάττους καὶ καιρικωτέρας, οἷαί εἰσιν αἱ τῶν ἐτησίων ὡρῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον*
45 *ἀλλοιώσεις περί τε ἀνέσεις ἢ ἐπιτάσεις χειμώνων καὶ καυμάτων καὶ πνευμάτων ἢ εὐφορίας τε καὶ ἀφορίας καὶ τὰ τοιαῦτα. προηγεῖται δὲ καὶ τούτων εἰκότως ἑκατέρου* 5 *τό τε κατὰ χώρας ὅλας καὶ τὸ κατὰ μείζους περιστάσεις*
m 55 *διὰ τὴν αὐτὴν αἰτίαν τῇ προειρημένῃ. πρὸς δὲ τὴν τούτων*
50 *ἐπίσκεψιν μάλιστα παραλαμβανομένων δύο τούτων (τῆς τε τῶν δωδεκατημορίων τοῦ ζῳδιακοῦ καὶ ἔτι τῆς τῶν ἀστέ-*

S 42 *λιμῶν ἢ λοιμῶν* Ap. I 3,7. Stob. Anth. I 21 (p. 191, 20–22 W.-H. = Herm. Exc. VI 8). Theoph. Edess. CCAG VIII 1 (1929) p. 268,20.24 sq. Hermipp. II 39

38 *προδιειληφέναι* **V** (cf. indicem) *περιδιειληφέναι* **α** *διειληφέναι* **βγ** ‖ **40** *ὅλαι* **V** | *κατὰ πόλεις*] *κατὰ χώρας καὶ κατὰ πόλεις* **Σ** Procl. (cf. l. 28) ‖ **41** *περιστάσεις* om. **MS** ‖ **42** *ἢ λιμῶν ἢ λοιμῶν* **VM** *ἢ λοιμῶν ἢ λειμῶν* **Sγ** *ἢ λιμῶν* **D** *ἢ λοιμῶν* **α** ‖ **43** *καιρικωτέρας* **VDγ** *καιριωτέρας* **MS** (cf. Procl.) *μικροτέρας* **α** ‖ **44** *ἐτησίων* **Vα** (cf. 1,115) *ἐνιαυσιαίων* **βγ** | *κατὰ* **αβγ** *καὶ ἡ κατὰ* **V** (quem secutus est Boll) *καὶ* **c** *καὶ κατὰ* Robbins tacite ‖ **45** *ἀλλοιώσεις* **αDγ** *ἀλλοίωσις* **V** *ἐναλλοιώσεις* **MS** ‖ **46** *πνευμάτων καὶ καυμάτων* **α** | *ἢ* **α** *καὶ* **βγ** om. **V** | *ἀφορίας καὶ εὐφορίας* **MS** | *τε* **Vα** om. **βγ** ‖ **47** *ἑκατέρων* **βγ** ‖ **48** *τό τε*] *τὸ σκοπεῖν ἢ τὸ λαμβάνεσθαι* **m** ‖ **51** *ἔτι* om. **βγ** | *τῆς* **βγ** *ταῖς* **V** om. **α**

ρων πρὸς ἕκαστα τῶν κλιμάτων συνοικειώσεως καὶ τῶν ἐν τοῖς οἰκείοις μέρεσι κατὰ καιροὺς γινομένων ἐπισημασιῶν,
6 *κατὰ μὲν τὰς συζυγίας ἡλίου καὶ σελήνης τῶν ἐκλειπτικῶν, κατὰ δὲ τὰς τῶν πλανωμένων παρόδους τῶν περὶ τὰς* 55 c 15
ἀνατολὰς καὶ τοὺς στηριγμούς) προεκθησόμεθα τὸν τῶν εἰρημένων συμπαθειῶν φυσικὸν λόγον ἅμα παριστάντες ἐξ ἐπιδρομῆς καὶ τὰς καθ' ὅλα ἔθνη θεωρουμένας ὡς ἐπίπαν σωματικάς τε καὶ ἠθικὰς ἰδιοτροπίας, οὐκ ἀλλοτρίας τυγχανούσας τῆς τῶν συνοικειουμένων ἀστέρων τε καὶ δωδε- 60 *κατημορίων φυσικῆς περιστάσεως.*

β'. Περὶ τῶν καθ' ὅλα κλίματα ἰδιωμάτων

1 *Τῶν τοίνυν ἐθνικῶν ἰδιωμάτων τὰ μὲν καθ' ὅλους παραλλήλους καὶ γωνίας ὅλας διαιρεῖσθαι συμβέβηκεν ὑπὸ τῆς πρὸς τὸν διὰ μέσων τῶν ζῳδίων κύκλον καὶ τὸν ἥλιον αὐ-* 65
2 *τῶν σχέσεως. τῆς γὰρ καθ' ἡμᾶς οἰκουμένης ἐν ἑνὶ τῶν βορείων τεταρτημορίων οὔσης οἱ μὲν ὑπὸ τοὺς νοτιωτέρους παραλλήλους (λέγω δὲ τοὺς ἀπὸ τοῦ ἰσημερινοῦ μέχρι τοῦ θερινοῦ τροπικοῦ) κατὰ κορυφὴν λαμβάνοντες τὸν ἥλιον*

S 63–118 (§ 1–10) Posidon. F 49,310–327 E.-K. (apud Strabonem II 3,7). Vitruv. VI 1,3–11. Manil. IV 711–743. Plin. nat. II 189–190 || **69–75** (§ 2 fin.) Manil. IV 758–759. Gem. 16,26. Cleom. I 1 l. 177. al. Todd || **69** *κατὰ κορυφὴν* Posidon. F 49,50 E.-K. apud Strabonem II 2,3

52 *τῶν* prius om. **γ** || 53 *κατὰ*] *ἐπὶ* **V** || 56 *ἀνατολὰς* om. **V** lacuna relicta || 57 *παριστάντες* **Vαβ** *παριστῶντες* **γ** || 58 *ἐπιδρομῆς* **VαS** *ὑποδρομῆς* **DMγ** *περιδρομῆς* **c** || 62 *κλίματα* **VYβγ** *ἔθνη* **Σc**, cf. *καθ' ὅλα ἔθνη* Co p. 54,–5 || 64 *ὑπὸ* **VYβ** *τὰ δὲ ὑπὸ* **Σγ** || 65 *αὐτῶν* **VΣγ** *αὐτὸν* **Yβ** || 69 *λαμβάνοντες* **VαMS** *λαβόντες* **D** *λαχόντες* **γ** (**A**[2] in margine *γρ. λαμβάνοντες*)

m 56 70 *καὶ διακαιόμενοι, μέλανές τε τὰ σώματα καὶ τὰς τρίχας οὖλοί τε καὶ δασεῖς καὶ τὰς μορφὰς συνεσπασμένοι καὶ τὰ μεγέθη συντετηγμένοι καὶ τὰς φύσεις θερμοὶ καὶ τοῖς ἤθεσιν ὡς ἐπίπαν ἄγριοι τυγχάνουσι διὰ τὴν ὑπὸ τοῦ καύματος συνέχειαν τῶν οἰκήσεων· οὓς δὴ καλοῦμεν κοινῶς* 75 *Αἰθίοπας. καὶ οὐ μόνον αὐτοὺς οὕτως ὁρῶμεν ἔχοντας,* **3** *ἀλλὰ καὶ τὸ περιέχον αὐτοὺς τοῦ ἀέρος κατάστημα καὶ τὰ ἄλλα ζῷα καὶ τὰ φυτὰ παρ' αὐτοῖς ἐμφανίζοντα τὴν διαπύρωσιν.*

οἱ δὲ ὑπὸ τοὺς βορειοτέρους παραλλήλους (λέγω δὲ τοὺς **4** 80 *ὑπὸ τὰς ἄρκτους τὸν κατὰ κορυφὴν ἔχοντες τόπον) πολὺ τοῦ ζῳδιακοῦ καὶ τῆς τοῦ ἡλίου θερμότητος ἀφεστῶτες κατεψυγμένοι μέν εἰσι διὰ τοῦτο, δαψιλεστέρας δὲ μεταλαμβάνοντες τῆς ὑγρᾶς οὐσίας θρεπτικωτάτης οὔσης καὶ ὑπὸ μηδενὸς ἀναπινομένης θερμοῦ, λευκοί τε τὰ χρώματά*

S 71 *οὖλοι ... συνεσπασμένοι* Porph. Antr. Nymph. 28 p. 74,17 ‖ **73** *ἄγριοι* Aristot. Problem. 14,1 p. 909ª ‖ **75** *Αἰθίοπας* cf. Manil. IV 758 ‖ **77** *ζῷα καὶ τὰ φυτὰ* Strab. II 3,7. Cleom. II 1 l. 380–381 Todd. Plotin. Enn. III 1,5 ‖ **84** *ὑπὸ μηδενὸς ἀναπινομένης θερμοῦ* Ap. I 4,2 (ubi plura)

70 *μέλανες ... συνεσπασμένοι* om. **Y** | *τε* om. **V** ut l. 71 ‖ **71** *συνασπασμένοι* **V** | *καὶ ... συντετηγμένοι* om. **S** ‖ **73** *τοῦ* om. **α** ‖ **74** *συνέχειαν* **Vα** *ἀεὶ συνέχειαν* **βγ** ut l. 87 | *δὴ καὶ* **βγ** | *κοινῶς* om. **α** ‖ **75** *οὕτως ὁρῶμεν* **VDγ** *ὁρῶμεν οὕτως* **αMS** ‖ **77** *ἐμφανίζοντα* **VYD** *ἐμφανίζονται* **MS** *τοιαύτην ἐμφανίζοντα* **Σγ** | *διαπύρωσιν* **V** *διαπίρωσιν* **Y** *διαπίονσιν* **G** *διάθεσιν* **Σβγ** *τὸ διάπυρον* Procl. (cf. *τῇ πυρώδει ... κράσει* Co p. 55,32) ‖ **79** *ὑπὸ* om. **βγ** ‖ **80** *τὸν*] *τῶν* **VY** ‖ **81** *ἀφεστῶτες* **VD** *ἀφεστῶτα* **γ** *διεστηκῶτες* **Y** *διεστηκότες* **ΣGc** *διεστηκότα* **MS** ‖ **82** *δαψιλεστέρας* **VMS** *δαψιλεστέρως* **ΣGγ** *δαψηλεσταίρος* **Y** ‖ **84** *ἀναπινομένης* **Σ** *ἀναπουμένης* **V** *ἀνυπουμένης* **Y** *ἀνικμουμένου* **DM** *ἀνικνουμένης* **Sγ** *ἐξικμαζομένης* Procl.

εἰσι καὶ τετανοὶ τὰς τρίχας τά τε σώματα μεγάλοι καὶ εὐ- 85
τραφεῖς τοῖς μεγέθεσι καὶ ὑπόψυχροι τὰς φύσεις, ἄγριοι δὲ
καὶ αὐτοὶ τοῖς ἤθεσι διὰ τὴν ὑπὸ τοῦ κρύους συνέχειαν
5 *τῶν οἰκήσεων· ἀκολουθεῖ δὲ τούτοις καὶ ὁ τοῦ περιέχοντος*
αὐτοὺς ἀέρος χειμὼν καὶ τῶν φυτῶν τὰ μεγέθη καὶ τὸ
δυσήμερον τῶν ζῴων. καλοῦμεν δὲ τούτους ὡς ἐπίπαν 90
Σκύθας.

6 *οἱ δὲ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τῶν ἄρκτων,*
μήτε κατὰ κορυφὴν γινομένου παρ' αὐτοῖς τοῦ ἡλίου μήτε m 57
πολὺ κατὰ τὰς μεσημβρινὰς παρόδους ἀφισταμένου, τῆς
τῶν ἀέρων εὐκρασίας μετειλήφασι, καὶ αὐτῆς μὲν δια- 95
φερούσης, ἀλλ' οὐ σφόδρα μεγάλην τὴν παραλλαγὴν τῶν
7 *καυμάτων πρὸς τὰ ψύχη λαμβανούσης. ἔνθεν τοῖς χρώ-* c 15v
μασι μέσοι καὶ τοῖς μεγέθεσι μέτριοι καὶ ταῖς φύσεσιν εὔ-
κρατοι καὶ ταῖς οἰκήσεσι συνεχεῖς καὶ τοῖς ἤθεσιν ἥμεροι
8 *τυγχάνουσι. τούτων δὲ οἱ πρὸς νότον ὡς ἐπίπαν ἀγχινού-* 100
στεροι καὶ εὐμήχανοι μᾶλλον καὶ περὶ τὴν τῶν θείων ἱστο-
ρίαν ἱκανώτεροι διὰ τὸ συνεγγίζειν αὐτῶν τὸν κατὰ κορυ-
φὴν τόπον τοῦ ζῳδιακοῦ καὶ τῶν περὶ αὐτὸν πλανωμένων
ἀστέρων, οἷς οἰκείως καὶ αὐτοὶ τὰς ψυχικὰς κινήσεις εὐεπι-

85 *τά τε* **V** *καὶ τὰ* **αβγ** | *καὶ*] *τε καὶ* **α** | *εὐστραφεῖς* **V** || **87** *συνέχειαν* **Vα** Co p. 56,24 *ἀεὶ συνέχειαν* **βγ** ut l. 74 | *αὐτοὺς* **VY** *αὐτὰς* **βγ** om. **Σ** || **90** *δὲ* **MS** *δὲ καὶ* **VαDγ** || **102** *αὐτῶν* **Vα** *αὐτοῖς* **βγ** || **103** *τῷ ζῳδιακῷ καὶ τοῖς πλανωμένοις περὶ αὐτὸν ἀστράσιν* **Σc** | *περὶ αὐτὸν πλανωμένων*] *πλανωμένων περὶ αὐτὸν* **Y** || **104** *οἷς οἰκείως καὶ* om. **V** lacuna decem fere litterarum patente | *εὐεπιβόλους* **ΣDγ** (cf. Pap. It. 158,10) *εὐεπιβούλους* **VY** *εὐεπηβόλους* **MS**, cf. 2,465. 3,1344.1408 necnon Val. I 19,18 p. 39,10 (*ἐπηβόλους* Pingree *ἐπιβόλους* cod. **M** Kroll *ἐπιβούλους* cod. **V**). II 38,27 (*εὐεπίβολοι* Kroll *εὐεπίβουλοι* cod. **V** *ἐπίβουλοι* cod. S), plura in indice

105 *βόλους ἔχουσι καὶ διερευνητικὰς καὶ τῶν ἰδίως καλουμένων μαθημάτων περιοδευτικάς. καθόλου δὲ πάλιν οἱ μὲν* 9 *πρὸς ἕω μᾶλλόν εἰσιν ἠρρενωμένοι καὶ εὔτονοι τὰς ψυχὰς καὶ πάντα ἐκφαίνοντες, ἐπειδὴ τὰς ἀνατολὰς ἄν τις εἰκότως τῆς ἡλιακῆς φύσεως ὑπολάβοι καὶ τὸ μέρος ἐκεῖνο*
110 *ἡμερινόν τε καὶ ἀρρενικὸν καὶ δεξιόν, καθ' ὃ καὶ ἐν τοῖς ζῴοις ὁρῶμεν τὰ δεξιὰ μέρη μᾶλλον ἐπιτηδειότητα ἔχοντα πρὸς ἰσχὺν καὶ εὐτονίαν. οἱ δὲ πρὸς ἑσπέραν τεθηλυσμένοι* **10** *μᾶλλόν εἰσι καὶ τὰς ψυχὰς ἁπαλώτεροι καὶ τὰ πολλὰ*
m 58 *κρύπτοντες, ἐπειδὴ πάλιν τοῦτο τὸ μέρος σεληνιακὸν τυγ-*
115 *χάνει, πάντοτε τῆς σελήνης τὰς πρώτας ἐπιτολὰς καὶ ἀπὸ συνόδου φαντασίας ἀπὸ λιβὸς ποιουμένης. διὰ δὴ τοῦτο νυκτερινὸν δοκεῖ καὶ θηλυκὸν καὶ εὐώνυμον, ἀντικείμενον τῷ ἀνατολικῷ.*

S **110** *ἀρρενικὸν* Ap. I 6 | *δεξιόν* Hom. Il. XII 239 (et schol. A). Plat. Legg. VI p. 760^D^. Aristot. Cael. II 2 p. 285^b^16–19. Hyg. astr. I 6 l. 30 Viré. IV 8 l. 214. Comment. Arat. p. 102,6. 319,1

106 post *εὐεπιβόλους*: *τε* add. **MS** | *καθόλου* **Vβγ** *καὶ τούτων* **α** | *δὲ* om. **V** || **107** *ταῖς ψυχαῖς* **α** || **108** *ἐπειδὴ τὰς ἀνατολὰς* om. **V** parvo spatio relicto || **109** *τῆς ἡλιακῆς φύσεως ὑπολάβοι* **Vα** *τῆς ἡλιακῆς φύσεως τοιαύτας ὑπολάβοι* **β** *ὑπολάβοι τῆς ἡλιακῆς φύσεως εἶναι* **γ** | post *ὑπολάβοι*: *διὰ τοῦτο* add. **Σγ** || **110** *τε ἅμα καὶ* **γ** | *καὶ ἐν* **Yβγ** *κἂν* **Σm** (*κᾶν* **c** *κἀν* Robbins) *ἐν* **V** || **111** *ζῳδίοις* **Mγ** || **113** *ἁπαλώτεροι μᾶλλον κατὰ τὰς ψυχὰς* **V** | *ἁπαλώτεροι* **VαS** *ἁπλούστεροι* **DMγ** || **115** *καὶ* om. **ΣSγ** || **116** *δὴ* **VD** *δὲ* **αMS** om. **γ** | *τοῦτο*] *τὸ* **MS** || **117** *καὶ θηλυκὸν* **αβγ** *κλίμα θηλυκὸν* **V** (recepit Robbins) *κλίμα καὶ θηλυκὸν* Boll om. **c** | postea *δοκεῖ* iteravit **Σ** *ἀντικειμένως* **α** || **118** *ἀνατολι* **V** spatio relicto

γ'. Περὶ τῆς τῶν χωρῶν πρὸς τὰ τρίγωνα καὶ πρὸς τοὺς ἀστέρας συνοικειώσεως 120

1 *Ἤδη δέ τινες καὶ ἐν ἑκάστοις τούτοις τῶν ὅλων μερῶν ἰδιότροποι περιστάσεις ἠθῶν καὶ νομίμων φυσικῶς ἐξηκολούθησαν. ὥσπερ γὰρ ἐπὶ τῶν τοῦ περιέχοντος καταστημάτων καὶ ἐν τοῖς ὡς ἐπίπαν κατειλεγμένοις θερμοῖς ἢ ψυχροῖς ἢ εὐκράτοις καὶ κατὰ μέρος ἰδιάζουσι τόποι καὶ* 125 *χῶραί τινες ἐν τῷ μᾶλλον ἢ ἧττον ἤτοι διὰ θέσεως τάξιν ἢ διὰ ὕψος ἢ ταπεινότητα ἢ διὰ παράθεσιν, ἔτι δὲ ὡς ἱππικοί τινες μᾶλλον διὰ τὸ τῆς χώρας πεδινὸν καὶ ναυτικοὶ διὰ τὴν τῆς θαλάσσης ἐγγύτητα καὶ ἥμεροι διὰ τὴν* 2 *τῆς χώρας εὐθηνίαν, οὕτως καὶ ἐκ τῆς πρὸς τοὺς ἀστέρας* 130 *καὶ τὰ δωδεκατημόρια φυσικῆς τῶν κατὰ μέρος κλιμάτων συνοικειώσεως ἰδιοτρόπους ἄν τις εὕροι φύσεις παρ' ἑκάστοις, καὶ αὐτὰς δὲ ὡς ἐπίπαν, οὐχ ὡς καὶ καθ' ἕνα ἕκα-*

S 127–128 *ἱππικοί* Posidon. F 49,326–327 E.-K. apud Strabonem II 3,7

119 titulum hic praebet **α**, post l. 136 *ἐπελθεῖν* **Vβ** (spatium tantum tit. omisso S) **γ** Procl. Co p. 57,–11 (quos secutus est Robbins) | *καί*] *καὶ ἑξάγωνα καὶ* **D** *καὶ τὰ ἑξάγωνα καὶ* **M** Co le p. 57,–11 propter siglorum similitudinem, cf. 2,5 || **120** *πρὸς* om. **αMSγ** Co le ibid. | *τοὺς ἀστέρας* om. **M** || **121** *τούτοις* **VαD** *τούτων* **MSγ** (recepit Boll) | *ὅλων μερῶν* **Vβγ** *δώδεκα μερῶν* **Y** *ιβμορίων* **Σ** *δωδεκατημορίων* **c** | post *μερῶν*: ⟨*μορίοις*⟩ suppl. Boll || **122** *παραστάσεις* V, cf. 2,872 | *φυσικῶν* **α** || **124** *τοῖς* **V** *αὐτοῖς* **YΣβγ** om. **G** | *κατειλημένοις* **V** *τοῖς κατειληγμένοις* **Σγ** || **125** *τόποι* **Vα** *τόποις* **βγ** || **126** *ἐν τῷ* **αMS** *ἐν τὸ* **V** *τὸ* **Dγ** || **127** *ἢ διὰ ὕψος* **βγ** *ἢ ὕψος* **Vα** || **130** *τοὺς* om. **V** || **131** *καὶ τὰ* **Vβγ** *κατὰ τὰ* **α** | *κλιμάτων* **VGβγ** *λημ(μ)άτων* **YΣc**

στον πάντως ἐνυπαρχούσας. ἀναγκαῖον οὖν, ἐφ' ὅσον ἂν
135 *εἴη χρήσιμον, πρὸς τὰς κατὰ μέρος ἐπισκέψεις κεφαλαιωδῶς ἐπελθεῖν.*

τεσσάρων δὴ τριγωνικῶν σχημάτων ἐν τῷ ζῳδιακῷ θεω- 3
c 16 *ρουμένων – ὡς δέδεικται διὰ τῶν ἔμπροσθεν* [I 19] *ἡμῖν,*
m 59 *ὅτι τὸ μὲν κατὰ τὸν Κριὸν καὶ τὸν Λέοντα καὶ τὸν Τοξό-*
140 *την βορρολιβυκόν τέ ἐστι καὶ οἰκοδεσποτεῖται μὲν προηγουμένως ὑπὸ τοῦ τοῦ Διὸς διὰ τὸ βόρειον, συνοικοδεσποτεῖται δὲ καὶ ὑπὸ τοῦ τοῦ Ἄρεως διὰ τὸ λιβυκόν· τὸ δὲ* 4 *κατὰ τὸν Ταῦρον καὶ τὴν Παρθένον καὶ τὸν Αἰγόκερων νοταπηλιωτικόν τέ ἐστι καὶ οἰκοδεσποτεῖται μὲν πάλιν*
145 *προηγουμένως ὑπὸ τοῦ τῆς Ἀφροδίτης διὰ τὸ νότιον, συνοικοδεσποτεῖται δὲ ὑπὸ τοῦ Κρόνου διὰ τὸ ἀπηλιωτι-*

T 137–458 (§ 3–50) Heph. I 1 passim (adde Ep. IV 1). Vicellius (?) apud Lyd. Ost. 23–26. 55–58. Lyd. Ost. 71 p. 158,16–160,6. Val. App. III 1–49. Anon. CCAG VII (1908) p. 59 fol. 156^v

S 137–154 (§ 3–5) Ap. I 19,1–8. Dor. A I 28. Gem. 2,8–11. Ant. CCAG VIII 3 (1912) p. 112,20–26. Paul. Alex. 2 passim et p. 9,18–20 (cf. 18 p. 39,10–15). Rhet. B p. 212,18–22. al., cf. Firm. math. II 10,5

134 *ἀναγκαῖον* cum prioribus coniunxerunt **Vβγ**: *ἐνυπαρχούσας ἀναγκαῖον* **VDγ** *ἀναγκαῖον ἐνυπαρχούσας* **MS** | *οὖν* om. **α** | *ὅσον* **Vβγ** *ὧν* **α** || **136** de titulo post *ἐπελθεῖν* posito cf. ad l. 119 || **137** *τριγωνικῶν* **V**(in rasura)**Dγ** *τριγώνων* **αMS** || **138** *ὡς* **VΣDγ** om. **YMS** (quos secutus est Boll) | *ἡμῖν* om. **V** || **139** articulum ante signorum et stellarum nomina modo omittunt, modo ponunt codices, quae singula notare taeduit Bollium || **143** *Ταῦρον*] *Ζυγὸν* **V** (correxit V^2) ut 2,231, cf. 1,912 || **146** *καὶ ὑπὸ* **MSγ** (recepit Boll), cf. l. 151.154

κόν· τὸ δὲ κατὰ τοὺς Διδύμους καὶ τὰς Χηλὰς καὶ τὸν Ὑδροχόον βορραπηλιωτικόν τέ ἐστι καὶ οἰκοδεσποτεῖται μὲν προηγουμένως ὑπὸ τοῦ Κρόνου διὰ τὸ ἀπηλιωτικόν,
5 *συνοικοδεσποτεῖται δὲ καὶ ὑπὸ τοῦ Διὸς διὰ τὸ βόρειον· τὸ* 150
δὲ κατὰ τὸν Καρκίνον καὶ τὸν Σκορπίον καὶ τοὺς Ἰχθύας νοτολιβυκόν τέ ἐστι καὶ οἰκοδεσποτεῖται μὲν πάλιν προηγουμένως ὑπὸ τοῦ τοῦ Ἄρεως διὰ τὸ λιβυκόν, συνοικοδεσ-
6 *ποτεῖται δὲ ὑπὸ τοῦ τῆς Ἀφροδίτης διὰ τὸ νότιον – τούτων δὴ οὕτως ἐχόντων, διαιρουμένης δὲ τῆς καθ' ἡμᾶς* 155
οἰκουμένης εἰς τέσσαρα τεταρτημόρια τοῖς τριγώνοις ἰσάριθμα (κατὰ μὲν πλάτος ὑπό τε τῆς καθ' ἡμᾶς θαλάσσης ἀπὸ τοῦ Ἡρακλείου πορθμοῦ μέχρι τοῦ Ἰσσικοῦ κόλπου καὶ τῆς ἐφεξῆς πρὸς ἀνατολὰς ὀρεινῆς ῥάχεως, ὑφ' ὧν χω-
7 *ρίζεται τό τε νότιον καὶ τὸ βόρειον αὐτῆς μέρος, κατὰ δὲ* 160
μῆκος ὑπὸ τοῦ Ἀραβικοῦ κόλπου καὶ Αἰγαίου πελάγους καὶ Πόντου καὶ τῆς Μαιώτιδος λίμνης, ὑφ' ὧν χωρίζεται m 60
τό τε ἀπηλιωτικὸν καὶ τὸ λιβυκὸν μέρος), γίνεται τεταρτημόρια τέσσαρα σύμφωνα τῇ θέσει τῶν τριγώνων· ἓν μὲν τὸ πρὸς βορρόλιβα τῆς ὅλης οἰκουμένης κείμενον, τὸ κατὰ 165
τὴν Κελτογαλατίαν, ὃ δὴ κοινῶς Εὐρώπην καλοῦμεν·
8 *τούτῳ δὲ ἀντικείμενον καὶ πρὸς νοταπηλιώτην τὸ κατὰ τὴν ἑῴαν Αἰθιοπίαν, ὃ δὴ τῆς Μεγάλης Ἀσίας νότιον ἂν μέρος καλοῖτο. καὶ πάλιν τὸ μὲν πρὸς βορραπηλιώτην τῆς*

147 *τὰς Χηλὰς*] *τὰ* (ex *τοῦ*) *Κριοῦ* **V** ‖ **149** *τοῦ* ⟨*τοῦ*⟩ *Κρόνου* supplere nolui respicens sequentia ‖ **150** *καὶ* **VDγ** om. **αMS**, cf. l. 146 ‖ **152** *μὲν πάλιν προηγουμένως* **Vβγ** *προηγουμένως μὲν* **α** ‖ **154** *δὲ καὶ* **γ**, cf. l. 146 ‖ **156** *εἰς τὰ* **V** ‖ **159** *ῥάχεως* **VMSγ** *ῥαχαίας* **Y** *ῥαχείας* **Σc** | *ὑφ' ὧν χωρίζεται* om. **V** ‖ **160** *νότιον καὶ τὸ βόρειον* **VYDS** *βόρειον καὶ τὸ νότιον* **ΣMγ** ‖ **164** *ἓν μὲν τὸ* **Vγ** *ἐν μὲν τῷ* **Σβ** *ἐν μὲν τῇ* **Y** ‖ **165** *βορρολίβα* **Vγ** *βορὰ λλήβα* **Y** *βορρὰν καὶ λίβα* **Σc** *βορρολιβικῷ* **β** ‖ **169** post *πάλιν*: *μέρος* add. **γ**

170 *ὅλης οἰκουμένης τὸ κατὰ τὴν Σκυθίαν, ὃ δὴ καὶ αὐτὸ βόρειον μέρος τῆς Μεγάλης Ἀσίας γίνεται· τὸ δὲ ἀντικείμενον τούτῳ καὶ πρὸς λιβόνοτον ἄνεμον, τὸ κατὰ τὴν ἑσπερίαν Αἰθιοπίαν, ὃ δὴ κοινῶς Λιβύην καλοῦμεν.*

πάλιν δὲ καὶ ἑκάστου τῶν προκειμένων τεταρτημορίων **9**
175 *τὰ μὲν πρὸς τῷ μέσῳ μᾶλλον ἐσχηματισμένα τῆς ὅλης οἰκουμένης τὴν ἐναντίαν λαμβάνει θέσιν πρὸς αὐτὸ τὸ περιέχον τεταρτημόριον ὥσπερ ἐκεῖνο πρὸς ὅλην τὴν οἰκουμένην· τοῦ γὰρ κατὰ τὴν Εὐρώπην πρὸς βορρόλιβα κειμέ-* **10** *νου τῆς ὅλης οἰκουμένης τὰ περὶ τὸ μέσον αὐτοῦ καὶ*
180 *ἀντιγώνια πρὸς νοταπηλιώτην αὐτοῦ τοῦ τεταρτημορίου τὴν θέσιν ἔχοντα φαίνεται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὡς ἐκ τούτων ἕκαστον τῶν τεταρτημορίων δυσὶ καὶ τοῖς ἀντικειμένοις τριγώνοις συνοικειοῦσθαι· τῶν μὲν ἄλλων μερῶν* **11**
m 61 *πρὸς τὴν καθόλου πρόσνευσιν ἐφαρμοζομένων, τῶν δὲ περὶ*
c 16ᵛ 185 *τὸ μέσον πρὸς τὴν κατ' αὐτὸ τὸ μέρος ἀντικειμένην, συμπαραλαμβανομένων πρὸς τὴν οἰκείωσιν καὶ τῶν ἐν τοῖς οἰκείοις τριγώνοις τὴν οἰκοδεσποτείαν ἐχόντων ἀστέρων· ἐπὶ μὲν τῶν ἄλλων οἰκήσεων πάλιν αὐτῶν μόνων, ἐπὶ δὲ τῶν περὶ τὸ μέσον τῆς οἰκουμένης κἀκείνων καὶ ἔτι τοῦ τοῦ*


170 *ὅλης ... κατὰ* om. V spatio relicto ‖ **174** *τεταρτημορίου* V ‖ **175** *τὰ μὲν* V *τὰ* **αβγ** (quos secutus est Boll) | *τὸ μέσον* **α** ‖ **176** *θέσιν* **Vβγ** *φύσιν* **α** (om. G) ‖ **177** *ὥσπερ* V (recepit Robbins coll. Procl.) *ἥνπερ* **Yβγ** (quos secutus est Boll) *ἧπερ* **Σc** ‖ **178** *γὰρ* **Vβγ** *τε* **α** | *βορρολιβικὰ* **β** ‖ **180** *τεταρτημορίου*] *τεσσάρων μοιρῶν* V ut l. 182 ‖ **181** *ὡς* om. V ‖ **182** *τεταρτημορίων*] *τεσσάρων μοιρῶν* V ut l. 180 ‖ **183** *συνοικειοῦται* V ‖ **184** *πρόσνευσιν* **Vα** om. **βγ** ‖ **185** *κατ' αὐτὸ τὸ* **Vα** *κατὰ* **βγ** | *μέρος* **Σβγ** *μερικὸν* **VY** | post *ἀντικειμένην* interpunxit Boll, post 186 *οἰκείωσιν* Robbins ‖ **188** *οἰκειώσεων* **βγ** | *μόνων* **Vαβ** *μόνον* **Γγc**, cf. 4,685 ‖ **189** *κἀκεῖνον* **α** | *ἔτι*] *ἔστι* V, cf. 1,1247


Ἑρμοῦ διὰ τὸ μέσον καὶ κοινὸν αὐτὸν ὑπάρχειν τῶν αἱρέ- 190
σεων.

12 *ἐκ δὴ τῆς τοιαύτης διατάξεως τὰ μὲν ἄλλα μέρη τοῦ πρώτου τῶν τεταρτημορίων (λέγω δὲ τοῦ κατὰ τὴν Εὐρώπην) τὰ πρὸς βορρόλιβα κείμενα τῆς ὅλης οἰκουμένης συνοικειοῦται μὲν τῷ βορρολιβυκῷ τριγώνῳ τῷ κατὰ Κριὸν* 195 *καὶ Λέοντα καὶ Τοξότην, οἰκοδεσποτεῖται δὲ εἰκότως ὑπὸ τῶν κυρίων τοῦ τριγώνου Διὸς καὶ Ἄρεως ἑσπερίων.* **13** *ἔστι δὲ ταῦτα καθ' ὅλα ἔθνη λαμβανόμενα Βρεττανία Γαλατία Γερμανία Βασταρνία Ἰταλία Γαλλία Ἀπουλία Σικελία Τυρρηνία Κελτικὴ Σπανία. εἰκότως δὲ τοῖς προκειμένοις ἔθνε-* 200 *σιν ὡς ἐπίπαν συνέπεσε (διά τε τὸ ἀρχικὸν τοῦ τριγώνου καὶ τοὺς συνοικοδεσποτήσαντας ἀστέρας) ἀνυποτάκτοις τε*

S **190** *κοινὸν* Ap. I 5,2 (ubi plura) || **192–458** (§ 12–50) Manil. IV 744–817. Dor. apud Heph. I 1 passim (= Dor. App. II A). Val. I 2 passim (adde App. III = Anon. L p. 112,15–119,12). Heph. I 1 passim (cf. I 21–22). Paul. Alex. 2 p. 10,1–8. Horosc. L 621 apud Steph. philos. 22–23 (= p. 274, 16–275,9). Apom. Myst. 1,12 CCAG IV (1903) p. 126,3–127,7. Hermipp. II 92–94 || **201** *ἀρχικὸν* Manil. II 523–529. Serap. CCAG V 3 (1910) p. 97,11. Val. I 2 passim. Rhet. B passim. Anon. L p. 107,7. Anon. R passim

190 *αὐτὸν* **Σβγ** *αὐτῶν* **V** om. **Y** || **192** *ἐκ δὴ τῆς τοιαύτης διατάξεως* **VY** *(διατάξεων)* **βγ** Co le p. 59,-17 *ἐν δὲ τῇ τοιαύτῃ διατάξει* **Σc** || **194** *ὅλης* om. **αc** || **195** *μὲν* om. **V** | *τὸ βορρολιβικὸν τρίγωνον* **V** | *τῷ* alterum om. **V** || **196** *εἰκότως* **V** om. **γ** || **199** *Βασταρνία ... Γαλλία* om. **V** Procl. || **200** *Σπανία* **VYβ** Procl. (de forma cf. Diod. V 37,2) *ἱσπανία* **Σ** *ἰσπανία* **γ**, cf. l. 222 || **201** *συνέπεσε* **Vβγ** *συνέπεται* **αc**, cf. l. 293 || **202** *συνοικοδεσποτήσαντας* **αβ** *συνοικοδεσποτοῦντας* **γ** *οἰκοδεσποτοῦντας* **V** | *ἀνυποτάκτους* (et sic deinceps) **αc**


fig. 12. planetarum quadrantes



εἶναι καὶ φιλελευθέροις καὶ φιλόπλοις καὶ φιλοπόνοις καὶ πολεμικωτάτοις καὶ ἡγεμονικοῖς καὶ καθαρίοις καὶ μεγα-
205 *λοψύχοις. διὰ μέντοι τὸν ἑσπέριον συσχηματισμὸν Διὸς καὶ* **14**

S 203 *φιλόπλοις* Ap. III 14,28. IV 4,7 (cf. II 3,40). Val. I 3,43. al. Porph. 47 p. 220,15. Schol. Paul. Alex. 9 p. 104,25 || **204–205** *μεγαλοψύχοις* Ap. III 14,12.20.22. IV 5,5. Val. I 2,2.56. 3,8. al. Firm. math. V 2,5. Anon. De stellis fixis II 2,7

204 *καθαρίοις* **Vβγ** *καθαροὺς* **αc** (inde *καθαροῖς* Robbins), cf. l. 290. al. | postea *τε* add. **βγ** || **205** *τὸν … συσχηματισμὸν* **V** *τὸ τοῦ κατὰ ⌊τὸν⌋* (om. **D**) *σχηματισμὸν* **αβ** *κατὰ τὸν συσχηματισμὸν* **γ**

Ἄρεως καὶ ἔτι διὰ τὸ τοῦ προκειμένου τριγώνου τὰ μὲν ἐμπρόσθια ἠρρενῶσθαι, τὰ δὲ ὀπίσθια τεθηλῦσθαι πρὸς m 62 *μὲν τὰς γυναῖκας ἀζήλοις αὐτοῖς εἶναι συνέπεσε καὶ καταφρονητικοῖς τῶν ἀφροδισίων, πρὸς δὲ τὴν τῶν ἀρρένων συνουσίαν κατακορεστέροις τε καὶ μᾶλλον ζηλοτύποις αὐ-* 210 *τοῖς τε τοῖς διατιθεμένοις μήτε αἰσχρὸν ἡγεῖσθαι τὸ γινόμενον μήτε ὡς ἀληθῶς ἀνάνδροις διὰ τοῦτο καὶ μαλακοῖς ἀποβαίνειν ἕνεκεν τοῦ μὴ παθητικῶς διατίθεσθαι, συντηρεῖν δὲ τὰς ψυχὰς ἐπάνδρους καὶ κοινωνικὰς καὶ πιστὰς*

15 *καὶ φιλοικείους καὶ εὐεργετικάς. καὶ τούτων δὲ αὐτῶν τῶν* 215 *χωρῶν Βρεττανία μὲν καὶ Γαλατία καὶ Γερμανία καὶ Βασταρνία μᾶλλον τῷ Κριῷ συνοικειοῦνται καὶ τῷ τοῦ Ἄρεως, ὅθεν ὡς ἐπίπαν οἱ ἐν αὐταῖς ἀγριώτεροι καὶ αὐθα-*

16 *δέστεροι καὶ θηριώδεις τυγχάνουσιν· Ἰταλία δὲ καὶ Ἀπουλία καὶ Σικελία καὶ Γαλλία τῷ Λέοντι καὶ τῷ ἡλίῳ, διόπερ* 220 *ἡγεμονικοὶ μᾶλλον οὗτοι καὶ εὐεργετικοὶ καὶ κοινωνικοί·*

T 216–217 Heph. I 1,6. Rhet. B p. 195,18–19. Val. App. III 1 ‖ **219–220** Heph. I 1,84. Rhet. B p. 201,27–28. Val. App. III 21

S 207 *ὀπίσθια τεθηλῦσθαι* Ant. CCAG VII (1908) p. 113,15–16 et CCAG VIII 4 (1921) p. 195,22 (cf. VIII 3 [1912] p. 109,16) ‖ **208–211** Diod. V 32,7 de Gallis (cf. Strabonem IV 4,6 [ex Artemidoro] de Celtis ut Athen. XIII 79). Sext. Emp. Hypoth. III 24,199 de Germanis, cf. ad III 14,25 ‖ **221** *ἡγεμονικοὶ* Val. I 2,40. Heph. I 1,81. Rhet. B p. 201,8. Anon. L p. 107,6–8. al.

208 *μὲν*] *τε* **V** | *τὴν γυναῖκα* **Y** | *συνέπεσε* **Vβγ** *συνέπεται* **α** (cf. l. 201) om. **c** ‖ **216** *βαρσανία* **V** om. Heph. ‖ **217** *συνοικειοῦται* **V**, cf. l. 286.324. al. ‖ **218** *ὅθεν* **Vβγ** *ἔνθεν* **α** ‖ **220** *γαλλία καὶ ἀπουλία καὶ σικελία* **γ** (cf. *Γαλλία* [*γαλατία* var. l.], *Ἀπουλία* Heph.) *σικελία καὶ γαλλία* **VD** Procl. *γαλλία καὶ σικελία* **αMS**

Τυρρηνία δὲ καὶ Κελτικὴ καὶ Σπανία τῷ Τοξότῃ καὶ τῷ τοῦ Διός, ὅθεν τὸ φιλελεύθερον αὐτοῖς καὶ ἁπλοῦν καὶ φιλοκάθαρον.

225 *τὰ δὲ ἐν τούτῳ μὲν ὄντα τῷ τεταρτημορίῳ μέρη, περὶ δὲ* 17 *τὸ μέσον ἐσχηματισμένα τῆς οἰκουμένης, Θρᾴκη τε καὶ Μακεδονία καὶ Ἰλλυρία καὶ Ἑλλὰς καὶ Ἀχαΐα καὶ Κρήτη, ἔτι δὲ αἵ τε Κυκλάδες καὶ τὰ παράλια τῆς Μικρᾶς Ἀσίας καὶ Κύπρος (τὰ πρὸς νοταπηλιώτην κείμενα τοῦ ὅλου τε-*

m 63 230 *ταρτημορίου) προσλαμβάνει τὴν συνοικείωσιν τοῦ νοταπηλιωτικοῦ τριγώνου τοῦ κατὰ τὸν Ταῦρον καὶ τὴν Παρθένον καὶ τὸν Αἰγόκερων, ἔτι δὲ συνοικοδεσποτοῦντας τόν τε* 18

c 17 *τῆς Ἀφροδίτης καὶ τὸν τοῦ Κρόνου καὶ ἔτι τὸν τοῦ Ἑρμοῦ, ὅθεν οἱ κατοικοῦντες τὰς χώρας ἐκείνας συγκατεσχηματισ-*

235 *μένοι μᾶλλον ἀπεφάνθησαν καὶ κεκραμένοι τοῖς τε σώμασι καὶ ταῖς ψυχαῖς, ἡγεμονικοὶ μὲν καὶ αὐτοὶ τυγχάνον-*

T 222–223 Heph. I 1,161. Rhet. B p. 207,20–21. Val. App. III 3

S 222 *Σπανία* Hipparch. apud Heph. I 1,162 ‖ 224 *φιλοκάθαρον* Abū M. introd. VI 15 (~ Apom. Myst. III 28)

222 *ἱσπανία* **Σγ**, cf. l. 200.493 | *Τοξότῃ*] *τοῦ Ἄρεως* **V** propter siglorum similitudinem ut 2,315. 4,38 ‖ 223 *αὐτοῖς* **V** *αὐτῶν* **αβγ** ‖ 224 *φιλοκαθάριον* **βγ** ‖ 225 *μὲν ὄντα*] *μένοντα* **V**, cf. 3,787 ‖ 227 *ἰλλυρὶς* **α** fort. recte, cf. l. 253 ‖ 228 *αἵ τε* **αMS** *καὶ* **γ** om. **VD** *καὶ αἱ* Boll | *κυκλάδες νῆσοι* **βγ**, cf. 2,475 ‖ 229 *Κύπρου* **V** Procl. | *τὰ* **V** om. **αβγ** (quos secuti sunt Boll Robbins) ‖ 231 *τοῦ κατὰ* **αβγ** *τοῦ τε καὶ κατὰ* **V** *τοῦ τε κατὰ* Boll | *Ταῦρον*] *Ζυγὸν* **V** ut l. 143 q. v. ‖ 232 *συνοικοδεσποτοῦντας* **V** *συνοικοδεσπότας* **αβγ** | *τε* om. **γ** ‖ 233 *Κρόνου* **VαDγ** *Ἑρμοῦ* **MS** | *καὶ … Ἑρμοῦ* om. **A** | *ἔτι* **V** om. **αβBC** | *Ἑρμοῦ* **VαDBC** *Κρόνου* **MS** ‖ 234 *ἐκείνας* om. **VY** cf. 2,295 ‖ 235 *ἀπεφάνθησαν* **V** *ἀπέβησαν* **αβγ**

τες καὶ γενναῖοι καὶ ἀνυπότακτοι διὰ τὸν τοῦ Ἄρεως,
19 *φιλελεύθεροι δὲ καὶ αὐτόνομοι καὶ δημοκρατικοὶ καὶ*
νομοθετικοὶ διὰ τὸν τοῦ Διός, φιλόμουσοι δὲ καὶ φιλομα-
θεῖς καὶ φιλαγωνισταὶ καὶ καθάριοι ταῖς διαίταις διὰ τὸν 240
τῆς Ἀφροδίτης, κοινωνικοί τε καὶ φιλόξενοι καὶ φιλοδί-
καιοι καὶ φιλογράμματοι καὶ ἐν λόγοις πρακτικώτατοι διὰ
τὸν τοῦ Ἑρμοῦ, μυστηρίων δὲ μάλιστα συντελεστικοὶ διὰ
20 *τὸν τῆς Ἀφροδίτης ἑσπέριον σχηματισμόν. πάλιν δὲ κατὰ*
μέρος καὶ τούτων αὐτῶν οἱ μὲν περὶ τὰς Κυκλάδας καὶ τὰ 245
παράλια τῆς Μικρᾶς Ἀσίας καὶ Κύπρον τῷ τε Ταύρῳ καὶ

T 245–246 Heph. I 1,26. Rhet. B p. 197,20–21. Val. App. III 6

S 239 *φιλόμουσοι* Ap. II 3,36. III 14,24.34. Firm. math. VII 26,7. Rhet. C p. 213,10, aliter Ap. III 14,3. Val. I 2,16.19. Rhet. C p. 218,4. Exc. Paris. p. 219,21. Anon. De stellis fixis VII 9,4 || **242** *ἐν λόγοις* Ap. II 3,21. III 13,5. 14,36. IV 2,2. 10,7. Teucr. III p. 181,6. Dor (?) apud Heph. III 20,7. Porph. 45. Heph. I 1, 100. II 27,10. 35,1.15. al. Rhet. A p. 148,23. Rhet. B p. 202,16. Apom. Myst. III 55 CCAG XI 1 (1932) p. 183,5 Kam. 2036. Theod. Pr. 316, cf. Iulian. Laodic. CCAG V 1 (1904) p. 187,21–22 necnon Plat. Crat. 407[E]–408[B]. Heracl. All. 28. Ps.Dion. Hal. Rhet. 7,2 p. 285,11. Varro ant. rer. div. 250 Cardauns || **246** *Κύπρον* Anon. apud Heph. I 1,27. Val. I 2,17. Dodecaeteris CCAG VIII 3 (1912) p. 189,14

237 *Ἄρεως* **Vα** *Κρόνου* **βγ** haud scio an recte, sed v. 3,1310.1353. 4,241.257 || **239** *διὰ τὸν ... φιλομαθεῖς* om. **Y** | *φιλόμουσοι ... φιλομαθεῖς* post 237 *Ἄρεως* inseruerunt **Σc** || **240** *καθάριοι* **Vβγ** *φιλοκαθάριοι* **α**, cf. l. 248 | *διαίταις* **Vβγ** *καρδίαις* **αc** *τὰς διαγωγὰς* Procl. | postea interpunxit Boll perperam || **242** *πρακτικώτατοι* **VDγ** Co le p. 61,11 *πρακτικώτεροι* **αMS** || **244** *ἑσπέριον τῆς* ♀ **Σ** || **245** *αὐτῶν* om. **α** || **246** *κύπρου* **VY** Procl. | *Ταύρῳ* om. **V** spatio relicto ut 1,999 q. v.

τῷ τῆς Ἀφροδίτης μᾶλλον συνοικειοῦνται, ὅθεν ὡς ἐπὶ τὸ πλεῖστον τρυφηταί εἰσι καὶ καθάριοι καὶ τοῦ σώματος ἐπιμέλειαν ποιούμενοι· οἱ δὲ περὶ τὴν Ἑλλάδα καὶ τὴν Ἀχαΐαν 21
250 *καὶ τὴν Κρήτην τῇ τε Παρθένῳ καὶ τῷ τοῦ Ἑρμοῦ, διὸ μᾶλλον λογικοὶ τυγχάνουσι καὶ φιλομαθεῖς καὶ τὰ τῆς ψυχῆς ἀσκοῦντες πρὸ τῶν τοῦ σώματος· οἱ δὲ περὶ*
m 64 *τὴν Μακεδονίαν καὶ Θρᾴκην καὶ Ἰλλυρίδα τῷ τε Αἰγόκερῳ καὶ τῷ τοῦ Κρόνου, διὸ φιλοκτήματοι μέν, οὐχ ἥμεροι δὲ*
255 *οὕτως οὐδὲ κοινωνικοὶ τοῖς νομίμοις.*


τοῦ δὲ δευτέρου τεταρτημορίου τοῦ κατὰ τὸ νότιον 22 *μέρος τῆς Μεγάλης Ἀσίας τὰ μὲν ἄλλα μέρη τὰ περι-*

T **249–250** Heph. I 1,103. Rhet. B p. 203,12–13. Val. App. III 26 || **252–254** Heph. I 1,181. Rhet. B p. 209,6. Val. App. III 43

S **248** *τρυφηταί* Ap. II 3,26. III 12,6. 14,25.33.34. Critod. Ap. 7,4. Val. II 41,29 (adde App. I 192, cf. I 2,49) || **248–249** *τοῦ σώματος ἐπιμέλειαν* Manil. V 146–151. Val. I 2,14. Rhet. B p. 196,19. Kam. 384. Anon. L p. 108,13 || **249** *Ἑλλάδα* Paul. Alex. 2 p. 10,4 || **251** *λογικοὶ* Ap. II 3,19 (ubi plura) || **253** *Θρᾴκην* Hermipp. II 92 || **254** *οὐχ ἥμεροι* Serap. CCAG V 3 (1910) p. 97,12. Firm. math. VII 7,1. Iulian. Laodic. CCAG IV (1903) p. 152,13 sq. Olymp. 23 p. 68,20 (sim. Schol. Paul. Alex. 62 p. 122,15). Rhet. B p. 208,17

247 *ὅθεν* **Vβγ** *ὅθεν οὖν* **Y** *ὅθεν δὴ* **Σ** || **248** *πλεῖστον* **VDγ** *πολὺ* **αMS** | *καθάριοι* **VDγ** *φιλοκαθάριοι* **YMS** (cf. 2,240) *φιλοκάθαροι* **Σ** || **250** *Παρθένῳ* om. **V** || **251** *Ἑρμοῦ*] ♀ **V**, cf. 1,556 || **252** *πρὸ τῶν* scripsi *πρὸ τὰ* **D** *πρῶτα* **VYMS** *πρὸ* **Σγc** (receperunt Boll Robbins) | *περὶ*] *ἐπὶ* **V**, cf. 1,570 q. v. || **253** *καὶ Ἰλλυρίδα ... φιλοκτήματοι* om. **V** | *ἰλλυρίδα* **α** (cf. l. 497 necnon Heph. *Ἰλλυρίς*) *ἰλλυρία* **βγ** *Ἰλλυρίαν* Boll sec. l. 227 q. v. || **255** *νομίμοις* **βγ** (cf. indicem) *νόμοις* **Vα**

fig. 13. triangulorum planetae (cf. fig. 5)



ἔχοντα Ἰνδικὴν Ἀριανὴν Γεδρουσίαν Παρθίαν Μηδίαν Περσίδα Βαβυλωνίαν Μεσοποταμίαν Ἀσσυρία καὶ τὴν θέσιν ἔχοντα πρὸς νοταπηλιώτην τῆς ὅλης οἰκουμένης εἰκότως 260 *καὶ αὐτὰ συνοικειοῦται μὲν τῷ νοταπηλιωτικῷ τρι-*

258 *γεδρουσίαν* **βγ** (cf. 1. 295.493) *τε δρουσίαν* **V** *γεδρωσίαν* **α** (cf. Heph. Ptol. Geogr. VI 8,2. al.)

γώνῳ Ταύρου καὶ Παρθένου καὶ Αἰγόκερω· οἰκοδεσποτεῖ- 23
ται δὲ ὑπὸ τοῦ τῆς Ἀφροδίτης καὶ τοῦ τοῦ Κρόνου ἐπὶ
ἑῴων σχημάτων. διόπερ καὶ τὰς φύσεις τῶν ἐν αὐτοῖς ἀκο-
265 *λούθως ἄν τις εὕροι τοῖς ὑπὸ τῶν οὕτως οἰκοδεσποτησάν-*
των ἀποτελουμένας. σέβουσί τε γὰρ τὸν μὲν τῆς Ἀφροδίτης
Ἶσιν ὀνομάζοντες, τὸν δὲ τοῦ Κρόνου Μίθραν Ἥλιον, καὶ
προθεσπίζουσιν οἱ πολλοὶ τὰ μέλλοντα· καθιεροῦταί τε 24
παρ' αὐτοῖς τὰ γεννητικὰ μόρια διὰ τὸν τῶν προκειμένων
270 *ἀστέρων συσχηματισμὸν σπερματικὸν ὄντα φύσει. ἔτι δὲ*

S 267 *Ἶσιν* Plin. nat. II 37, excidit apud Achill. Isag. 17 p. 43,26 | *Μίθραν Ἥλιον* Strabo XV 3,13. Ps.Clem. Hom. VI 10,1 p. 110,10–12 Rehm. Pap. London 46 (saec. IV), 4 p. 65 Kenyon. Schol. Stat. Theb. I 718 p. 73 Jahnke. Hesych. 1335 p. 666 Latte, cf. Hier. in Am. I 3,9–10 (CCL 76,250). M. J. Vermaseren CIMRM I 347 sq. II 422 sq. | *Ἥλιον* Ap. II 3,34. Diod. II 30,3. Hyg. astr. II 42 l. 1323 Viré. IV 18 l. 628. Theo Smyrn. p. 130,23. Ps.Eudox. Ars col. V 20. Macr. Sat. I 22,8. Serv. Aen. I 729. Simplic. in Aristot. Cael. 222^{a} p. 495,28–29 Heiberg

262 *Ταύρου* om. V spatio relicto ut 1,999 q. v. | *οἰκοδεσποτεῖται* **βγ** *οἰκοδεσποτοῦνται* **ΥΣ** *οἰκοδεσποτοῦντα* **G** *συνοικειοῦται* V (cf. l. 261) || **263** *δὲ ὑπὸ τοῦ* **α** *δὲ ὑπό τε* **βγ** *δὲ τῷ* V, cf. Procl. || **264** *σχημάτων* V**βγ** *σχηματισμῶν* **α** (sed cf. l. 285) || **266** *ἀποτελουμένας* **Σβγ** *ἀποτελουμένοις* V *ἀποτελούμενα* **Υ** || **267** *Ἶσιν*] *Ἀναῖτιν* Cumont, Mon. Mithra I 362 inepte | *Μίθραν Ἥλιον* V**Υβ** *Μιθρανήλιον* Procl. *Μίθραν* **γ** *μίθραν δὲ τὸν ἥλιον* **Σ** (lacuna sex fere litterarum praemissa) *Μίθραν* ⟨*ἢ*⟩ *Ἥλιον* Boll, cf. Co p. 61,28: *τὸν Ἥλιον ὃν* †*μύθρον ἀποκαλοῦσιν* || **268** *καθιεροῦται* Boll *καθιεροῦνται* V**α** *καθιερῶται* **βγ** || **270** *σχηματισμὸν* **α** | *ἔτι δὲ θερμοὶ* V Procl. *θερμοὶ δὲ ἔτι* **α** *θερμοὶ δὲ* **βγ**

θερμοὶ καὶ ὀχευτικοὶ καὶ καταφερεῖς πρὸς τὰ ἀφροδίσια τυγχάνουσιν, ὀρχηστικοί τε καὶ πηδηταὶ καὶ φιλόκοσμοι μὲν διὰ τὸν τῆς Ἀφροδίτης, ἁπλοδίαιτοι δὲ διὰ τὸν τοῦ
25 *Κρόνου. ἀναφανδὸν δὲ ποιοῦνται καὶ οὐ κρύβδην τὰς πρὸς τὰς γυναῖκας συνουσίας διὰ τὸ ἑῷον τοῦ σχηματισμοῦ, τὰς* 275 *δὲ πρὸς τοὺς ἄρρενας ὑπερεχθαίρουσι. διὰ ταῦτα καὶ τοῖς* m 65 *πλείστοις αὐτῶν συνέπεσεν ἐκ τῶν μητέρων τεκνοῦν καὶ τὰς προσκυνήσεις τῷ στήθει ποιεῖσθαι διὰ τὰς ἑῴας ἀνατολὰς καὶ τὸ τῆς καρδίας ἡγεμονικὸν οἰκείως ἔχον πρὸς*

S **271** *καταφερεῖς* Ap. II 2,43.48. III 14,17.25.30.33. 15,8.10. IV 5,5.13.16.19. Maneth. II (I) 380. VI (III) 584. Horosc. L 440 CCAG VIII 4 (1921) p. 223,23 (cf. Pingree, Horoscopes 446) || **272** *ὀρχηστικοί* Ap. III 14,25. IV 4,6. Manil. IV 529. V 323. Maneth. II (I) 335. IV 186. Firm. math. IV 14,17 (~ Lib. Herm. 27,27). VI 30,9. 31,85. VIII 29,13. Schol. Paul. Alex. 76 p. 125,18. Rhet. C p. 214,16. Apom. Myst. III 54 CCAG XI 1 (1932) p. 182,13. Anon. De stellis fixis II 3,5. 10,2 | *φιλόκοσμοι* Ap. III 14,25.30. Val. App. I 172 (cf. 136) || **277** *ἐκ τῶν μητέρων τεκνοῦν* Ctesias apud Tert. apol. 9,16. Strabo XV 3,20 extr. Min. Fel. 31,3. Athen. V 63 (ex Antisthene). Euseb. praep. evang. I 4,6. VI 10,16, cf. Val. II 38,20 || **279** *τῆς καρδίας* Ap. III 13,5. Plut. De facie 15 p. 928B. Theo Smyrn. p. 138,17–18 (ex Pythagoreis). Porph. 45 p. 217,12. Macr. somn. I 20,6. Procl. Hymn. 1,5. in Tim. II 104,17. in Remp. II 220,11. Rhet. C p. 186,20. Kam. 2022. Hermipp. I 78

273 *ἁπλοδίαιτοι* **VY** (cf. *ἁπλῶς … διάγοντες* Procl.) *ἁβροδίαιτοι* **Σβγ** Co le p. 61,–19 (recepit Robbins), cf. l. 289.344 || **274** *κατακρύβδην* **α** || **275** *τὰς … τοὺς* om. **V** spatio relicto || **276** *ὑπερεχθαίρουσι* **V** *ὑπεχθραίνουσι* **αβγ** | post *διὰ ταῦτα* interpunxit Robbins, antea Boll | *καὶ … αὐτῶν* om. **V** spatio relicto || **277** *μητέρων* **α** *ἀμητέρων* **V** *μητέρων αὐτῶν* **βγ** | *τεκνοῦν* **Vβγ** *τέκνα* **α**, cf. *τεκνοποιοῦσι* Procl. || **279** *πρὸς* **Vα** *κατὰ* **γ** om. **β**

c 17v 280 *τὴν ἡλιακὴν δύναμιν. εἰσὶ δὲ ὡς ἐπίπαν καὶ τὰ μὲν ἄλλα* **26**
περὶ τὰς στολὰς καὶ κόσμους καὶ ὅλως τὰς σωματικὰς
σχέσεις τρυφεροὶ καὶ τεθηλυσμένοι διὰ τὸν τῆς Ἀφροδίτης,
τὰς δὲ ψυχὰς καὶ τὰς προαιρέσεις μεγαλόφρονες καὶ γεν-
ναῖοι καὶ πολεμικοὶ διὰ τὸ οἰκείως ἔχειν τὸν τοῦ Κρόνου
285 *πρὸς τὸ τῶν ἀνατολῶν σχῆμα. κατὰ μέρος δὲ πάλιν τῷ* **27**
μὲν Ταύρῳ καὶ τῷ τῆς Ἀφροδίτης μᾶλλον συνοικειοῦται
ἥ τε Παρθία καὶ Μηδία καὶ Περσίς, ὅθεν οἱ ἐνταῦθα
στολαῖς τε ἀνθιναῖς χρῶνται κατακαλύπτοντες ἑαυτοὺς
ὅλους πλὴν τοῦ στήθους, καὶ ὅλως εἰσὶν ἁβροδίαιτοι καὶ
290 *καθάριοι. τῇ δὲ Παρθένῳ καὶ τῷ τοῦ Ἑρμοῦ τὰ περὶ τὴν* **28**
Βαβυλωνίαν καὶ Μεσοποταμίαν καὶ Ἀσσυρίαν, διὸ καὶ

T 286–287 Heph. I 1,26. Rhet. B p. 197,20. Val. App. III 6 ‖ **290–291** Heph. I 1,103. Rhet. B p. 203,12. Val. App. III 26

S 282 *τρυφεροὶ* Ap. II 3,20 (ubi plura) ‖ **283** *μεγαλόφρονες* Ap. II 3,34.48. III 14,20.34 (cf. III 14,4). Val. I 3,8.19. al. Rhet. C p. 218,6 ‖ **287** *Μηδία* Dor. apud Heph. I 1,25 (= App. IIA). Anon. apud eundem I 1,27. Val. I 2,17

280 *τὴν ἡλιακὴν* **Vα** *ἡλίου* **DM** *ἡλίῳ* **S** ♄ **A** *τοῦ* ♄ **BC** | *τὰ μὲν ἄλλα* **Yβγ** *τἄλλα μὲν τὰς* **V** *τὰ* **Σc** ‖ **281** *περὶ τὰς στολὰς* **VΣβ** *τὰ περὶ τὰς ἀνατολλὰς* **Y** *τὰ περὶ τὰς ἀνατολικὰς* **G** *τὰ περὶ στολὰς* **γ** (in **C** suprascr. ut vid.) | *καὶ κόσμους* **Vβγ** *κόσμου* **YG** *κατά τε τοὺς κόσμους* **Σ** *καὶ τοὺς κόσμους* Boll ‖ **282** post *τρυφεροὶ*: *τε* add. **βγ** | *τεθηλυμέναι* **Σ** ‖ **283** *καὶ* (prius)] *κατὰ* **V** ‖ **285** *ἀνατολῶν* om. **V** brevi spatio relicto ‖ **286** *συνοικειοῦται* **VDA** *συνοικειοῦνται* **αMSC**, cf. l. 217 ‖ **287** *περσίς* **VDγ** *ἡ περσίς* **YMS** *ἡ περσικὴ* **Σc** ‖ **288** *ἀνθηραῖς* **Σc** ‖ **290** *καθάριοι* **VDM**[1]**γ** *καθαροί* **αM**[2]**S**, cf. l. 204 ‖ **291** *βαβυλωνίαν* **αβγ** (cf. l. 259.483) *βαβυλῶνα* **V** Procl. (recepit Robbins), cf. Dor. apud Heph. I 1,5

παρὰ τοῖς ἐνταῦθα τὸ μαθηματικὸν καὶ παρατηρητικὸν τῶν πέντε ἀστέρων ἐξαίρετον συνέπεσε, τῷ δὲ Αἰγόκερῳ καὶ τῷ τοῦ Κρόνου τὰ περὶ τὴν Ἰνδικὴν καὶ Ἀριανὴν καὶ Γεδρουσίαν, ὅθεν καὶ τὸ τῶν νεμομένων τὰς χώρας ἐκείνας 295 *ἄμορφον καὶ ἀκάθαρτον καὶ θηριῶδες.*

29 *τὰ δὲ λοιπὰ τοῦ τεταρτημορίου μέρη περὶ τὸ μέσον ἐσχηματισμένα τῆς ὅλης οἰκουμένης (Ἰδουμαία Κοίλη Συρία Ἰουδαία Φοινίκη Χαλδαϊκὴ Ὀρχηνία Ἀραβία εὐδαί-* m 66 *μων), τὴν θέσιν ἔχοντα πρὸς βορρόλιβα τοῦ ὅλου τεταρ-* 300 *τημορίου προσλαμβάνει πάλιν τὴν συνοικείωσιν τοῦ βορρολιβυκοῦ τριγώνου (Κριοῦ Λέοντος Τοξότου), ἔχει δὲ συνοικοδεσπότας τόν τε τοῦ Διὸς καὶ τὸν τοῦ Ἄρεως καὶ*

T 293–295 Heph. I 1,181. Rhet. B p. 209,6. Val. App. III 43

S 292 *τὸ μαθηματικὸν* Ap. III 14,26 (ubi plura). Nic. Damasc. frg. 3 p. 330,11–13 Jacoby || **293** *πέντε ἀστέρων* Diod. II 30,3 || **294** *Ἰνδικὴν* Hermipp. II 92 || **296** *ἄμορφον* Zeno I 38,6 L. Anon. C p. 166,7–9 | *ἀκάθαρτον* Ap. IV 5,13 (ubi plura) | *θηριῶδες* Ap. II 8,7 (ubi plura), cf. II 3,21

292 *καὶ παρατηρητικὸν* om. **βγ** || **293** *πέντε* **V** Procl. om. **αβγ** | *συνέπεσε* **Vβγ** *συνέπεστι* **Y** *συνετίεται* **G** *συνέπεται* **Σ**c, cf. l. 201 || **295** *γεδρουσίαν* **βγ** *γεδροσίαν* **V** *γεδρωσίαν* **α** (sim. Heph.), cf. l. 258 | *τὸ τῶν* **Vβγ** *κατὰ τὸν* **Y** *οἱ* **Σ** | *νεμομένων* **VS** *κατανεμομένων* **DM** *νόμων ἐνίων* **Y** *νεμόμενοι* **Σ** (ex coniectura) | *ἐκείνας* om. **VYβ**, cf. l. 234 || **296** *ἄμορφον … θηριῶδες*] *ἄμορφοι καὶ ἀκάθαρτοι καὶ θηριώδεις* **Σ** || **299** *ὀρχινία* **α** | *ἀρραβία* **β** ut l. 314.425, cf. Dor. apud Heph. I 1,5 || **300** *τὴν* **αβγ** *καὶ κατὰ τὴν* **V** *καὶ τὴν* Boll || **302** *ἔχει δὲ* **βγ** Procl. *ἔτι δὲ* **V** *ἔχη* **Y** *ἔχοντος* **Σ**

ἔτι τὸν τοῦ Ἑρμοῦ· διὸ μᾶλλον οὗτοι τῶν ἄλλων ἐμπορι- **30**
305 *κώτεροι καὶ συναλλακτικώτεροι, πανουργότεροι δὲ καὶ*
δειλοκαταφρόνητοι καὶ ἐπιβουλευτικοὶ καὶ δουλόψυχοι καὶ
ὅλως ἀλλοπρόσαλλοι διὰ τὸν τῶν προκειμένων ἀστέρων συ-
σχηματισμόν. καὶ τούτων δὲ πάλιν οἱ μὲν περὶ τὴν Κοίλην **31**
Συρίαν καὶ Ἰδουμαίαν καὶ Ἰουδαίαν τῷ τε Κριῷ καὶ τῷ
310 *τοῦ Ἄρεως μᾶλλον συνοικειοῦνται, διόπερ ὡς ἐπίπαν θρα-*
σεῖς τέ εἰσι καὶ ἄθεοι καὶ ἐπιβουλευτικοί· Φοίνικες δὲ καὶ

T 308–310 Heph. I 1,6. Rhet. B p. 195,18–19. Val. App. III 1 ‖ **311–312** Heph. I 1,84. Rhet. B p. 201,28. Val. App. III 21

S 304–305 *ἐμπορικώτεροι* Ap. IV 2,2. 4,3.9. 7,7. Maneth. I (V) 132–133. III (II) 321–322. Val. I 1,37. II 17,55. Pap. Tebt. 276,22. Firm. math. VIII 30,5. Rhet. C p. 157,19.25. Steph. philos. CCAG II (1900) p. 191,9. Horosc. L 1352 apud Abram. p. 207,⟨22⟩, cf. Ap. II 3,41.44. Manil. IV 166–174. al. ‖ **305** *πανουργότεροι* Ap. III 9,4. 14,31. Dor. apud Horosc. L 440 CCAG VIII 4 (1921) p. 223,15 (cf. Dor. G p. 368,5.11/18 et Dor. A IV 15,28). Val. I 20,5. al. ‖ **306** *δουλόψυχοι* Ap. II 3,38. Critod. apud Rhet. C p. 200,17. Firm. math. VI 32,57. Heph. II 20 (adde Ep. IV 20). Apom. Myst. III 65 CCAG XI 1 (1932) p. 190,32–191,4. Anon. CCAG VII (1908) p. 98,25 sq. necnon Plaut. Amph. 117 ‖ **307** *ἀλλοπρόσαλλοι* Ap. III 14,25. Maneth. V(VI) 68 ‖ **309** *Συρίαν* Hipparch. apud Heph. I 1,7. Val. I 2,7 ‖ **311** *ἄθεοι* Ap. III 15.28.32. Teucr. II apud Anon. De stellis fixis I 3,11 (cod. P). Val. I 2,67. al. Paul. Alex. 24 p. 67,15. Lib. Herm. 36,43 | *ἐπιβουλευτικοί* III 14,11.15.17.35. IV 6,6. 7,7. 8,5. 9,11. Val. I 2,58. al. Firm. math. III 6,25 (deest apud Rhet. C p. 130,17). al. | *Φοίνικες* Val. I 2,48

305 *συναλλακτιώτεροι* **V** *συναλλακτικοί* **αβγ** | *πανουργότεροι δὲ* **α** *πανοῦργοι τε (τὲ)* **βγ** *πανουργότεροί τε* Co le p. 62,4 om. **V** ‖ **306** *δειλοκαταφρόνητοι* **Vβγ** *δειλοκαταφρόνηται* **α** ‖ **308** *Κοίλην Συρίαν*] *κατὰ … κοιλίαν … Συρία* **V** (sed v. E. Honigmann, RE IVA, 1551,6) *Παλαιστίνην* Heph. ‖ **311** *τέ εἰσι* **VDγ** Procl. *τε* **S** om. **αΜ**

Χαλδαῖοι καὶ Ὀρχήνιοι τῷ Λέοντι καὶ τῷ ἡλίῳ, διόπερ ἁπλούστεροι καὶ φιλάνθρωποι καὶ φιλαστρόλογοι καὶ μάλι-
32 *στα πάντων σέβοντες τὸν ἥλιον· οἱ δὲ κατὰ τὴν Ἀραβίαν τὴν εὐδαίμονα τῷ Τοξότῃ καὶ τῷ τοῦ Διός, ὅθεν ἀκολού-* 315
θως τῇ προσηγορίᾳ τό τε τῆς χώρας εὔφορον συνέπεσε καὶ τὸ τῶν ἀρωμάτων πλῆθος καὶ τὸ τῶν ἀνθρώπων εὐάρμοστον πρός τε διαγωγὰς ἐλευθέρας καὶ συναλλαγὰς καὶ πραγματείας.

33 *τοῦ δὲ τρίτου τεταρτημορίου τοῦ κατὰ τὸ βόρειον μέρος* 320
τῆς Μεγάλης Ἀσίας τὰ μὲν ἄλλα μέρη (τὰ περιέχοντα Ὑρκανίαν Ἀρμενίαν Ματιανὴν Βακτριανὴν Κασπειρίαν Σηρι- m 67
κὴν Σαυροματικὴν Ὠξιανὴν Σουγδιανὴν καὶ πρὸς βορραπηλιώτην κείμενα τῆς ὅλης οἰκουμένης) συνοικειοῦται μὲν τῷ βορραπηλιωτικῷ τριγώνῳ (Διδύμων καὶ Ζυγοῦ καὶ 325

T 314–315 Heph. I 1,161. Rhet. B p. 207,21. Val. App. III 8

S 313 *ἁπλούστεροι* Manil. IV 189 || **317** *ἀρωμάτων πλῆθος* Diod. II 49,1–5, aliter Ap. IV 4,4 q.v.

313 *φιλάνθρωποι* V Procl. *φιλανθρωπότεροι* **αβγ** | *φιλαστρόλογοι* **Vα** *φιλοστοργότεροι* **βBC** om. **A** || **314** *τὴν εὐδαίμονα ἀραβίαν* **γ** || **314** *ἀρραβίαν* **β** ut l. 299 q. v. || **315** *Τοξότῃ*] *ἄρει* V, cf. 2,222 || **318** *διαγωγὰς* **α** *τὰς διαγωγὰς* **DM** *τὸ διαγωγὰς* **S** *διὰ τὰς* **V** | *ἐλευθέρας* **VY** (Boer in adnotatione) *ἐλεύθερον* **Σβγ** edd. || **319** *πραγματείας* **VΣβγ** *σατραπίας* **YΣ**[2] (in margine) || **321** *ὑρκανίαν ἀρμενίαν* **Vβγ** *τὴν ἀρμενίαν ὑρκανίαν* **α** || **322** *ματιανὴν* **Vα** *μαντειανὴν* **MS** Procl. *μαντιανὴν* **Dγ**, cf. l. 339 | *κασπειρίαν* **V** *κασπηρίαν* **Σβγ** *κασπιρίαν* Procl. om. **Y** | *συρικὴν* **V** ut l. 342.484 || **323** *σουγδιανὴν* **Vβγ** Procl. *σογδιανὴν* **α** ut l. 345 || **324** *συνοικειοῦται* **V** (cf. l. 217) *συνοικειοῦνται* **αβγ** | *μὲν* om. **βγ** || **325** *καὶ* ante ♎ om. **γ**

Ὑδροχόου), οἰκοδεσποτεῖται δὲ εἰκότως ὑπό τε τοῦ ⟨τοῦ⟩ Κρόνου καὶ τοῦ τοῦ Διὸς ἐπὶ σχημάτων ἀνατολικῶν. διό- **34**
περ οἱ ταύτας ἔχοντες τὰς χώρας σέβουσι μὲν Δία καὶ
c 18 *Ἥλιον, πλουσιώτατοι δέ εἰσι καὶ πολύχρυσοι, περί τε τὰς*
330 *διαίτας καθάριοι καὶ εὐάγωγοι, σοφοὶ δὲ περὶ τὰ θεῖα καὶ μάγοι καὶ τὰ ἤθη δίκαιοι καὶ ἐλεύθεροι καὶ τὰς ψυχὰς μεγάλοι καὶ γενναῖοι, μισοπόνηροί τε καὶ φιλοστοργότατοι καὶ ὑπεραποθνήσκοντες ἑτοίμως τῶν οἰκείων ἕνεκεν τοῦ καλοῦ καὶ ὁσίου, πρός τε τὰς ἀφροδισίους χρήσεις σεμνοὶ*
335 *καὶ καθάριοι καὶ περὶ τὰς ἐσθῆτας πολυτελεῖς, χαριστικοί τε καὶ μεγαλόφρονες, ἅπερ ὡς ἐπίπαν ὁ τοῦ Κρόνου καὶ*

S 329 *Ἥλιον* Ap. II 3,23 (ubi plura) | *πλουσιώτατοι* Ap. II 3,36. III 13,19. Teucr. CCAG IX 2 (1953) p. 183,14. Val. I 3,33.43.51. 19,10. al. Firm. math. II 19,9. III 3,1.15.21. 4,13 al. Abū M. Introd. VI 13 l. 89 || **331** *μάγοι* Ap. II 3,44.49. III 14,5.19.27.32 (cf. IV 4,10). Maneth. VI (III) 475. Val. II 17,57. Firm. math. III 2,18. 7,6.20 (~ Rhet. C p. 166,4). 10,3. 12,6.16. VIII 30,11. Rhet. C p. 145,5. 147,13. 148,17. 165,1. 166,4. Apom. Myst. III 56 CCAG XI 1 (1932) p. 183,34. Lib. Herm. 31,10

326 ⟨*τοῦ*⟩ suppl. Boll || **329** *Ἥλιον* **Vβγ** Procl. *Κρόνον* vel ♄ **αcm** (recepit Robbins, de hac confusione cf. Plat. Epinom. 987[c]. Rhet. B p. 203,9) | *πλουσιώτατοι* **Vα** *πλουσιώτεροι* **βγ** || **330** *καθαροὶ* **α** ut l. 335 cf. 2,204 | *εὐάγωγοι* **Vβγ** *εὐδιάγωγοι* **α** | *δὲ* **Vβγ** (recepit Boll) *τε* **α** (maluit Robbins), cf. l. 332 | *περὶ … μάγοι* **V** Procl. *καὶ μάγοι περὶ τὰ θεῖα* **αBC** *καὶ μάγοι καὶ περὶ τὰ θεῖα* **βA** || **331** *καὶ τὰ ἤθη* **Vα** *καὶ περὶ τὰ ἤθη* **βγ** || **332** *μισοπόνηροι* **αβγ** Procl. *καὶ πονηροὶ* **V** | *τε* **Vβγ** *δὲ* **α** (quem sequitur Boll), cf. l. 330 | *φιλόστοργοι* **α** Procl. || **333** *οἰκείων* **βγ** Procl. *οἰκειωτάτων* **Vα** fort. recte || **335** *καθάριοι* **V** *καθαροὶ* **αβγ**, cf. l. 330 || **336** *ὡς* om. **V**

35 [*ὁ*] *τοῦ Διὸς ἀνατολικῶν συσχηματισμὸς ἀπεργάζεται. καὶ τούτων δὲ πάλιν τῶν ἐθνῶν τὰ μὲν περὶ τὴν Ὑρκανίαν καὶ Ἀρμενίαν καὶ Ματιανὴν μᾶλλον συνοικειοῦται τοῖς τε Διδύμοις καὶ τῷ τοῦ Ἑρμοῦ, διόπερ εὐκινητότερα μᾶλλον* 340
36 *καὶ ὑποπόνηρα· τὰ δὲ περὶ τὴν Βακτριανὴν καὶ Κασπειρίαν καὶ Σηρικὴν τῷ τε Ζυγῷ καὶ τῷ τῆς Ἀφροδίτης, ὅθεν οἱ κατέχοντες τὰς χώρας πλουσιώτατοι καὶ φιλόμουσοι καὶ μᾶλλον ἁβροδίαιτοι· τὰ δὲ περὶ τὴν Σαυροματικὴν καὶ Ὠξιανὴν καὶ Σουγδιανὴν τῷ τε Ὑδροχόῳ καὶ τῷ τοῦ* 345 *Κρόνου, διὸ καὶ ταῦτα τὰ ἔθνη μᾶλλον ἀνήμερα καὶ αὐ-* m 68 *στηρὰ καὶ θηριώδη.*

T 338–340 Heph. I 1,45. Rhet. B p. 199,4–5. Val. App. III 11 || **341–342** Heph. I 1,122. Rhet. B p. 204,28. Val. App. III 30 || **344–345** Heph. I 1,200. Rhet. B p. 210,17–18. Val. App. III 47

S 340 *εὐκινητότερα* Ap. I 4,7 (ubi plura) || **343** *πλουσιώτατοι* Ap. II 3,34 (ubi plura) | *φιλόμουσοι* Ap. II 3,19 (ubi plura) || **344** *ἁβροδίαιτοι* Ant. CCAG VII (1908) p. 116,9. Euseb. praep. evang. VI 10,13. Rhet. A p. 147,13. Rhet. B p. 205,1–2. Horosc. L 621 apud Steph. philos. 22 (= p. 274,8–11). Kam. 899. al.

337 [*ὁ*] del. Boll | *ἀνατολιῶν συσχηματισμὸς ἀπεργάζεται* **V** (recepit Robbins) *ἀνατολικὸν σχηματισμὸν ἀπεργάζεται* **Y** *ἀνατολικὸς συσχηματισμὸς ἀπεργάζεται* **βγ** *κατὰ ἀνατολικὸν συσχηματισμὸν ἀπεργάζονται* **Σc** || **339** *ματιανὴν* **α** *μαντιανὴν* **Vγ** Procl. (cf. Heph.) *μαντειανὴν* **β**, cf. l. 322 | *συνοικειοῦται* **VA** *συνοικειοῦνται* **αβBC**, cf. l. 217 || **340** *εὐκινητότερα* (sc. *τὰ ἔθνη*) **αβγc** *εὐκινητότεροι* **V** (quem tacite sequitur Boll) || **341** *καὶ ὑποπόνηρα* **αβγc** *εἰσι καὶ οἱ πόνηροι* **V** | *Κασπειρίαν* Boll coll. l. 322 *κασπιρίαν* **VD** *κασπηρίαν* **MSγ** *κασπίαν* **α** ut Rhet. B p. 204,28 || **342** *συρικὴν* **V** (ut l. 322) **Y** | *τῷ τε Ζυγῷ*] *ταῖς* ♎ (sc. *χηλαῖς*) **γ** || **345** *σογδιανὴν* **α** ut l. 323 || **346** *μᾶλλον* om. **V**

τὰ δὲ λοιπὰ τούτου τοῦ τεταρτημορίου καὶ περὶ τὸ μέ- 37
σον κείμενα τῆς ὅλης οἰκουμένης (Βιθυνία Φρυγία Κολ-
350 *χικὴ Συρία Κομμαγηνὴ Καππαδοκία Λυδία Κιλικία Παμ-*
φυλία) τὴν θέσιν ἔχοντα πρὸς λιβόνοτον αὐτοῦ τοῦ τεταρ-
τημορίου, προσλαμβάνει τὴν συνοικείωσιν τοῦ νοτολιβυ-
κοῦ τριγώνου (Καρκίνου Σκορπίου Ἰχθύων) καὶ συνοικο-
δεσπότας τόν τε τοῦ Ἄρεως καὶ τὸν τῆς Ἀφροδίτης καὶ ἔτι
355 *τὸν τοῦ Ἑρμοῦ. διόπερ οἱ περὶ τὰς χώρας ταύτας σέβουσι* 38
μὲν ὡς ἐπίπαν τὸν τῆς Ἀφροδίτης ὡς μητέρα θεῶν ποικί-
λοις καὶ ἐγχωρίοις ὀνόμασι προσαγορεύοντες καὶ τὸν τοῦ
Ἄρεως ὡς Ἄδωνιν ἢ ἄλλως πως πάλιν ὀνομάζοντες καὶ μυ-
στήριά τινα μετὰ θρήνων ἀποδιδόντες αὐτοῖς. περίκακοι
360 *δέ εἰσι καὶ δουλόψυχοι καὶ πονικοὶ καὶ ὑποπόνηροι καὶ ἐν*
μισθοφόροις στρατείαις καὶ ἁρπαγαῖς καὶ αἰχμαλωσίαις

T 350–351 *Λυδία – Παμφυλία* Abram. p. 195

S 356 *μητέρα θεῶν* Plin. nat. II 37 ‖ **360** *δουλόψυχοι* Ap. II 3,30 (ubi plura) ‖ **361** *στρατείαις* Ap. III 14,22.31. IV 2,1. 3,6. 4,5 Teucr. III p. 181,5. Manil. IV 220–222. Dor. A II 29,2. 30,2. Dor. App. IID apud Heph. II 19,22–26. Maneth. II(I) 211–212. III(II) 296. Val. I 1,23. 19,22. al. Pap. It. 258,77–78. Porph. 45 p. 218,15–16. Firm. math. III 11,18. Paul. Alex. 24 p. 57,2. 59,3 (adde Schol. 76,2 p. 126,22). Rhet. C p. 145,8.

349 *Κολχικὴ ... Καππαδοκία* om. **V** ‖ **349** *κολχικὴ* **α** *κολχὶς* **βγ** ‖ **350** post *λυδία*: *λυκία* add. **V** Procl., cf. l. 495 ‖ **353** *τριγώνου* Boer in adnotatione coll. 2,195 al. *τεταρτημορίου* **ω** edd. | *καὶ σκορπίου καὶ ἰχθύων* **α** ♏ *καὶ* ♓ **B** | postea *καὶ* om. **α** ‖ **356** *ὡς ἐπίπαν* om. **DMγ** | *τὸν τῆς* ♀ **DMγ** *τὴν* ♀ **VαS** fort. rectius, sed cf. 2,266 ‖ **357** *τὸν τοῦ Ἄρεως* (vel ♂) **ωc** vix *τὸν Ἄρεα* ‖ **358** *πως* om. **βγ** ‖ **360** *ὑποπόνηροι* **Vβγ** Procl. *πονηροὶ* **α** | *ἐν* om. **Vγ** ‖ **361** *μισθοφόροις* **αβ** *μισθόφοροι* **γ** *μισθοφορικαῖς* **V** | *στρατείαις* **αβ** *στρατιαῖς* **V** *ἐν στρατείαις* **γ**

γινόμενοι καταδουλούμενοί τε ἑαυτοὺς καὶ πολεμικαῖς
39 *ἀπωλείαις περιπίπτοντες. διὰ δὲ τὸν τοῦ Ἄρεως καὶ τὸν τῆς Ἀφροδίτης κατὰ ἀνατολικὴν συναρμογήν (ὅτι ἐν μὲν τῷ τῆς Ἀφροδίτης τριγωνικῷ ζῳδίῳ τῷ Αἰγόκερῳ ὁ τοῦ* 365 *Ἄρεως ὑψοῦται, ἐν δὲ τῷ τοῦ Ἄρεως τριγωνικῷ ζῳδίῳ τοῖς Ἰχθύσι ὁ τῆς Ἀφροδίτης ὑψοῦται) – διὰ τοῦτο τὰς γυναῖκας συνέβη πᾶσαν εὔνοιαν πρὸς τοὺς ἄνδρας ἐνδείκνυσθαι, φιλοστόργους τε οὔσας καὶ οἰκουροὺς καὶ ἐργατικὰς*
40 *καὶ ὑπηρετικὰς καὶ ὅλως πονικὰς καὶ ὑποτεταγμένας. καὶ* 370 m 69 *τούτων δὲ πάλιν οἱ μὲν περὶ τὴν Βιθυνίαν καὶ Φρυγίαν καὶ Κολχικὴν συνοικειοῦνται μᾶλλον τῷ τε Καρκίνῳ καὶ τῇ σελήνῃ, διόπερ οἱ μὲν ἄνδρες ὡς ἐπίπαν εἰσὶν εὐλαβεῖς καὶ ὑποτακτικοί, τῶν δὲ γυναικῶν αἱ πλεῖσται διὰ τὸ τῆς σελήνης ἀνατολικὸν καὶ ἠρρενωμένον σχῆμα ἔπανδροι καὶ* 375

T 370–372 Heph. I 1,64. Rhet. B p. 200,14–15. Val. App. III 16

(S) Steph. philos. CCAG II (1900) p. 190,36. Apom. Myst. III 52 CCAG XI 1 (1932) p. 180,29 ‖ **361** *ἁρπαγαῖς* Ap. III 14,15 (ubi plura) | *αἰχμαλωσίαις* Ap. II 9,11. Ant. CCAG VII (1908) p. 108,6. Val. II 17,79 (adde App. II 15). Firm. math. III 5,21. Apom. Myst. III 52 CCAG XI 1 (1932) p. 181,6

S 365 *Αἰγόκερῳ* Ap. I 20,5 ‖ **367** *Ἰχθύσι* Ap. I 20,6 ‖ **374** *ὑποτακτικοί* Anon. C p. 165,12–13 (cf. Iulian. Laodic. CCAG V 1 [1904] p. 187,21) ‖ **375** *ἔπανδροι* Ap. III 15,8. Dor. A II 7,6.12.16. 26,15. Maneth. I(V) 29–33. III(II) 383–391. IV 357–358. V(VI) 214–216. Val. II 17,68

363 *περιπίπτοντες* **Vαβ** *περιβάλλοντες* **γ** ‖ **366** *ὑψοῦται* om. **α** | post *τριγωνικῷ*: *ὁμοίως* add. **γ** ‖ **367** *διὰ τοῦτο* **α** *διὸ* **V** om. **βγ** ‖ **369** *οὔσας*] *εἶναι* **γ** ‖ **372** *συνοικειοῦται* **V** ‖ **375** *ἠρ(ρ)ενωμένον* **Yβ** *ἠρρηνωμένων* **Σ** *ἠρρωμένον* **Vγc** *ἀρσενικὸν* Procl.

ἀρχικαὶ καὶ πολεμικαὶ καθάπερ αἱ Ἀμαζόνες, φεύγουσαι μὲν τὰς τῶν ἀνδρῶν συνουσίας, φίλοπλοι δὲ οὖσαι καὶ ἀρ- c 18v *ρενοποιοῦσαι τὰ θηλυκὰ πάντα ἀπὸ βρέφους ἀποκοπῇ τῶν δεξιῶν μαστῶν χάριν τῶν στρατιωτικῶν χρειῶν καὶ* 380 *ἀπογυμνοῦσαι ταῦτα τὰ μέρη κατὰ τὰς παρατάξεις πρὸς ἐπίδειξιν τοῦ ἀθηλύντου τῆς φύσεως· οἱ δὲ περὶ τὴν Συ-* **41** *ρίαν καὶ Κομμαγηνὴν καὶ Καππαδοκίαν τῷ τε Σκορπίῳ καὶ τῷ τοῦ Ἄρεως, διὸ πολὺ παρ' αὐτοῖς συνέπεσε τὸ θρασὺ καὶ πονηρὸν καὶ ἐπιβουλευτικὸν καὶ ἐπίπονον· οἱ* 385 *δὲ περὶ τὴν Λυδίαν καὶ Κιλικίαν καὶ Παμφυλίαν τοῖς τε*

T 381–383 Heph. I 1,142. Rhet. B p. 206,6. Val. App. III 34 || **384–386** Heph. I 1,219. Rhet. B p. 211,25. Val. App. III 49 || **385** Abram. p. 195

S 376 *πολεμικαὶ* Diod. II 45,1–3. Strabo XI 5,1. Euseb. praep. evang. VI 10,29. Horosc. L 621 apud Steph. philos. 22 (p. 274,15–16) || **377** *φίλοπλοι* Ap. II 3,13 (ubi plura) || **382** *Καππαδοκίαν* Horosc. L 621 apud Steph. philos. 22 (= p. 274,21) || **384** *ἐπιβουλευτικὸν* Manil. II 635. Iulian. Laodic. CCAG IV (1903) p. 152,9. Hippol. ref. haer. IV 22,2. Rhet. B p. 205,17. al.

376 *καὶ* om. **V** | *φεύγουσαι* **Σ** Procl. *φύγουσαι* **V** *φεύγουσιν* **Yβ** *φεύγουσι* **γ** || **377** *μὲν γὰρ* **γ** | *ἀρρενωποὶ* **βγ** fort. recte || **378** *τὰ θηλυκὰ πάντα* **V** *τὸ θῆλυ* (vel *δύλη*) **α** *τὸ θῆλυ πᾶν* **β** *τοῦ θήλεος παντὸς* **γ** | *ἀποκοπῇ τῶν δεξιῶν μαστῶν* **Vα** *ἀποκοπῇ τοῦ δεξιοῦ μαστοῦ* **D** *ἀποκόπτουσι τὸν δεξιὸν μαστὸν* **MSγ** *ἀποκόπτουσαι μαστοὺς* Procl. || **379** *χρειῶν* **VYβγ** *χρήσεων* **ΣΓc** || **380** *ἀπογυμνοῦσαι* **α** *ἀπογυμνώσει* **V** *ἀπογυμνοῦσι δὲ* **MSγ** *ἀποτέμνουσι δὲ* **D** | *ταῦτα τὰ μέρη* **αβγ** *τούτων τῶν μερῶν* **V** | *κατὰ* **Vβγ** *διὰ* **α** | *παρατάξεις* **Vβγ** *παρατάξης* **Y** *παρατάξεως* **G** *πράξεις* **Σ**, cf. *ἐν ταῖς παρατάξεσιν* Procl. | *πρὸς ἐπίδειξιν* **V** *εἰς ἐπίδειξιν* **βγ** *ὡς ἐπίδεξην* **Y** *ὡς ἐπίδειξιν* **G** *ὡς ἐπιδείκνυσθαι* **Σ** || **383** *διὸ* **VDγ** *διόπερ* **αMS**

Ἰχθύσι καὶ τῷ τοῦ Διός, ὅθεν οὗτοι μᾶλλον πολυκτήμονές τε καὶ ἐμπορικοὶ καὶ κοινωνικοὶ καὶ ἐλεύθεροι καὶ πιστοὶ περὶ τὰς συναλλαγάς.

42 *τοῦ δὲ λοιποῦ τεταρτημορίου τοῦ κατὰ τὴν κοινῶς καλουμένην Λιβύην τὰ μὲν ἄλλα τὰ περιέχοντα (Νουμιδίαν* 390 *Καρχηδονίαν Ἀφρικὴν Φαζανίαν Νασαμονῖτιν Γαραμαντικὴν Μαυριτανίαν Γαιτουλίαν Μεταγωνῖτιν) καὶ τὴν θέσιν* m 70 *ἔχοντα πρὸς λιβόνοτον τῆς ὅλης οἰκουμένης συνοικειοῦται μὲν τῷ νοτολιβυκῷ τριγώνῳ (Καρκίνου Σκορπίου Ἰχθύων), οἰκοδεσποτεῖται δὲ εἰκότως ὑπό τε τοῦ τοῦ Ἄρεως καὶ τοῦ* 395 **43** *τῆς Ἀφροδίτης ἐπὶ σχήματος ἑσπερίου, διόπερ συνέπεσε τοῖς πλείστοις αὐτῶν ἕνεκεν τῆς εἰρημένης* [II 3,39] *τῶν ἀστέρων συναρμογῆς ὑπὸ ἀνδρὸς καὶ γυναικὸς δυεῖν ὁμομητρίων ἀδελφῶν βασιλεύεσθαι, τοῦ μὲν ἀνδρὸς τῶν ἀνδρῶν ἄρχοντος, τῆς δὲ γυναικὸς τῶν γυναικῶν, συντηρου-* 400 *μένης τῆς τοιαύτης διαδοχῆς. θερμοί τέ εἰσι σφόδρα καὶ καταφερεῖς πρὸς τὰς γυναικῶν συνουσίας, ὡς καὶ τοὺς γά-*

T 391–392 *Φαζανίαν – Γαραμαντικὴν* Abram. p. 195

S 387 *ἐμπορικοὶ* cf. Ap. II 3,30 (ubi plura) || **390–395** *Λιβύην … Ἄρεως* Horosc. L 621 apud Steph. philos. 22 (= p. 274, 17–18) || **398–399** *ὁμομητρίων ἀδελφῶν* Diod. I 27,1 || **402** *καταφερεῖς* Ap. II 3,24 (ubi plura)

386 *πολυκτήμονες* **VDγ** Procl. *πολυκτήματοι* **αMS** || **389** *δὲ*] *τε* **M** | *καλουμένην* om. **Σc** || **390** *Νουμιδίαν* **Bc** *Νουματίαν* **Φ** *Νουμηδίαν* **VαβAC** || **391** *Φυζανίαν* **Σc** | *Γαραμαντικὴν … Μεταγωνῖτιν* om. **β** || **393** *συνοικειοῦται* **VD** *συνοικειοῦνται* **αMSγ**, cf. l. 217 || **394** *Καρκίνου* **α** *Κρώνου* **V** *Καρκίνῳ* **β** om. **γ** | *Σκορπίου* **Vαγ** *Σκορπίῳ* **β** | postea *καὶ* add. **αγ** | *Ἰχθύων* **αγ** *ἰχθύιν* **V** *ἰχθύσιν* **β** || **398** *γυναικὸς ἢ* **α** || **401** *σφόδρα* om. **γ**, cf. l. 416 || **402** *ὡς* **α** *ὥστε* **βγ** om. **V**

μους δι᾽ ἁρπαγῶν γίνεσθαι καὶ πολλαχῇ ταῖς γαμουμέναις τοὺς βασιλεῖς πρώτους συνέρχεσθαι, παρ᾽ ἐνίοις δὲ καὶ
405 *κοινὰς εἶναι τὰς γυναῖκας πάντων. φιλοκαλλωπισταὶ δὲ* **44** *τυγχάνουσι καὶ κόσμους γυναικείους περιζώννυνται διὰ τὸν τῆς Ἀφροδίτης, ἔπανδροι μέντοι ταῖς ψυχαῖς καὶ ὑποπόνηροι καὶ μαγευτικοί, νοθευταὶ δὲ καὶ παράβολοι καὶ ῥιψοκίνδυνοι διὰ τὸν τοῦ Ἄρεως. τούτων δὲ πάλιν οἱ*
410 *μὲν περὶ τὴν Νουμιδίαν καὶ Καρχηδονίαν καὶ Ἀφρικὴν συνοικειοῦνται μᾶλλον τῷ τε Καρκίνῳ καὶ τῇ σελήνῃ, διόπερ οὗτοι κοινωνικοί τε καὶ ἐμπορικοὶ τυγχάνουσι καὶ ἐν εὐθηνίᾳ πάσῃ διατελοῦντες· οἱ δὲ περὶ τὴν Μεταγωνῖτιν* **45**
m 71 *καὶ Μαυριτανίαν καὶ Γαιτουλίαν τῷ τε Σκορπίῳ καὶ τῷ*
415 *τοῦ Ἄρεως, ὅθεν οὗτοι θηριωδέστεροί τέ εἰσι καὶ μαχιμώ-*

T 409–411 Heph. I 1,64. Rhet. B p. 200,14. Val. App. III 16 ‖ **413–414** Heph. I 1,142. Rhet. B p. 206,5–6. Val. App. III 34

S 408 *μαγευτικοί* Ap. II 3,34 (ubi plura) ‖ **409** *ῥιψοκίνδυνοι* Ap. II 3,45. III 14,14.28. IV 4,8. Apom. Myst. III 52 CCAG XI 1 (1932) p. 180,5. 181,4 ‖ **410** *Ἀφρικὴν* Hermipp. II 92 ‖ **411** *Καρκίνῳ* Sen. Herc. O. 67 sq. ‖ **412** *ἐμπορικοὶ* Manil. IV 166–174, cf. Ap. II 3,30 (ubi plura) ‖ **415** *θηριωδέστεροι* Arat. 84. Serap. CCAG V 3 (1910) p. 97,12. Firm. math. VII 7,1. Iulian. Laodic. CCAG IV (1903) p. 152,13. Olymp. 23 p. 68,20–21. Anon. C p. 166,30. Anon. L p. 108,4

403 *γίνεσθαι* **VDγ** *ποιεῖσθαι* **αMS** | *γαμημέναις* **Φ** ‖ **404** *πρώτους* **VMS** *πρῶτα* **αγ** ‖ **406** *τυγχάνουσι* **Vβγ** *ὑπάρχουσι* **α** ‖ **407** *τὰς ψυχὰς* **α** ‖ **408** *μαγευτικοί* **αMSγ**, cf. l. 450 *γαμευτικοί* **VD** *μαγεύοντες* Procl. ‖ **410** *Νουμηδίαν* **D** | *καρχηδονίαν* **GΣβγ** *καρχηδωνίαν* **Y** *καρχηδόνα* **V** Procl. (recepit Robbins) ‖ **413** *εὐθηνίᾳ* **Vα** Procl. *ἐλευθερίᾳ* **βγ** | *πάσῃ* **Vβγ** *πάμπαν* **α** | *περὶ*] *ἐπὶ* **V** ut 1,570, q. v. | *Μεταγωνῖτιν* hic omissum post 414 *Γαιτουλίαν* posuit **γ** ‖ **415** *θηριωδέστεροι* **Vα** *θηριωδέστατοι* **βγ**

τατοι καὶ κρεωφάγοι καὶ σφόδρα ῥιψοκίνδυνοι καὶ καταφρονητικοὶ τοῦ ζῆν, ὡς μηδὲ ἀλλήλων ἀπέχεσθαι· οἱ δὲ περὶ τὴν Φαζανίαν καὶ Νασαμωνῖτιν καὶ Γαραμαντικὴν τοῖς τε Ἰχθύσι καὶ τῷ τοῦ Διός, διόπερ ἐλεύθεροί τε καὶ ἁπλοῖ τοῖς ἤθεσι καὶ φιλεργοὶ καὶ εὐγνώμονες, καθάριοί 420 *τε καὶ ἀνυπότακτοί εἰσιν ὡς ἐπίπαν καὶ τὸν τοῦ Διὸς ὡς Ἄμμωνα θρησκεύοντες.*

46 *τὰ δὲ λοιπὰ τοῦ τεταρτημορίου μέρη καὶ πρὸς τὸ μέσον ἐσχηματισμένα τῆς ὅλης οἰκουμένης (Κυρηναϊκὴ Μαρμαρικὴ Αἴγυπτος Θηβαΐς Ὄασις Τρωγλοδυτικὴ Ἀραβία* 425 *Ἀζανία μέση Αἰθιοπία) πρὸς βορραπηλιώτην τετραμμένα* c 19 *τοῦ ὅλου τεταρτημορίου προσλαμβάνει τὴν συνοικείωσιν τοῦ βορραπηλιωτικοῦ τριγώνου (Διδύμων Ζυγοῦ Ὑδροχόου) καὶ συνοικοδεσπότας διὰ τοῦτο τόν τε τοῦ Κρόνου καὶ τὸν* **47** *τοῦ Διὸς καὶ ἔτι τὸν τοῦ Ἑρμοῦ, ὅθεν οἱ κατὰ ταύτας τὰς* 430 *χώρας κεκοινωνηκότες σχεδὸν τῆς τῶν πέντε πλανήτων οἰκοδεσποτείας ἑσπερίου φιλόθεοι μὲν γεγόνασι καὶ δεισι-*

T 417–419 Heph. I 1,219. Rhet. B p. 211,25 (cf. cod. R). Val. App. III 49 || **418** Abram. p. 195

S 416 *ῥιψοκίνδυνοι* Ap. II 3,44 (ubi plura)

416 *σφόδρα* om. **α**, cf. l. 401 || **418** *Νασαμωνῖτιν* **VαDγ** (cf. Heph.) *ἀσαμωνῖτιν* **A** *νασαμῶτιν* **MS** || **420** *καθάριοι* **βγ** Procl. *καθαροὶ* **Vα**, cf. 2,204 || **421** *καὶ* (alterum)] *διὰ* **Σc** om. **Y** || **421** *ὡς Ἄμμωνα* **Vβγ** (cf. Procl.) *τῷ Ἄμ(μ)ωνι* **YΣc** *τῷ σάμωνα* **G** || **423** *τοῦ*] *περὶ τὸ μέσον τοῦ* **V** || **424** *κυρηνικὴ* **β** | *μαρμαρικὴ* om. **Yβ** || **425** *ἀρραβία* **β** ut l. 299 q. v. || **426** *βορραπηλιώτην*] *ἀπηλιώτην* **V** Procl. || **428** *καὶ* ♒ **γ** || **429** post *καὶ*: *ἔχει* add. **γ** | *διὰ τοῦτο* om. **α** || **431** *οἰκοδεσποτείας* **ΣMSγ** Procl. (cf. *δεσποτείας* Co le p. 62,28) *οἰκοδεσπότας* **VYD**

δαίμονες καὶ θεοπρόσπλοκοι καὶ φιλόθρηνοι καὶ τοὺς ἀποθνήσκοντας γῇ κρύπτοντες καὶ ἀφανίζοντες διὰ τὸ ἑσ-
435 *πέριον σχῆμα, παντοίοις δὲ ἔθεσι καὶ νομίμοις καὶ θεῶν παντοίων θρησκείαις χρώμενοι καὶ ἐν μὲν ταῖς ὑποταγαῖς*
m 72 *ταπεινοὶ καὶ δειλοὶ καὶ μικρολόγοι καὶ ὑπομονητικοί, ἐν* **48** *δὲ ταῖς ἡγεμονίαις εὔψυχοι καὶ μεγαλόφρονες, πολυγύναιοι δὲ καὶ πολύανδροι καὶ καταφερεῖς καὶ ταῖς ἀδελφαῖς συν-*
440 *αρμοζόμενοι καὶ πολύσποροι μὲν οἱ ἄνδρες, εὐσύλληπτοι δὲ αἱ γυναῖκες, ἀκολούθως τῷ τῆς χώρας γονίμῳ. πολλοὶ δὲ καὶ τῶν ἀρρένων σαθροὶ καὶ τεθηλυσμένοι ταῖς ψυχαῖς, ἔνιοι δὲ καὶ τῶν γεννητικῶν μορίων καταφρονοῦντες διὰ τὸν τῶν κακοποιῶν μετὰ τοῦ τῆς Ἀφροδίτης ἑσπερίου σχη-*
445 *ματισμόν. καὶ τούτων δὲ οἱ μὲν περὶ τὴν Κυρηναϊκὴν καὶ* **49** *Μαρμαρικὴν καὶ μάλιστα οἱ περὶ τὴν κάτω χώραν τῆς Αἰγύπτου μᾶλλον συνοικειοῦνται τοῖς τε Διδύμοις καὶ τῷ τοῦ*

T **445–447** Heph. I 1,45. Rhet. B p. 199,5–6. Val. App. III 11

S **439** *καταφερεῖς* Ap. II 3,24 (ubi plura) || **446–447** *τὴν κάτω χώραν τῆς Αἰγύπτου* Horosc. L 621 apud Steph. philos. 22 (= p. 274,16–17)

433 *θεοπρόσπλοκοι* **VY** (cf. *προσπλεκόμενοι πρὸς θεούς* Procl. necnon Rhet. C p. 148,21 app. cr., at p. 166,6.11 *θεοπλόκους*) *θεοπρόσπολοι* **Σβγ**, cf. 3,1166.1270.1348. || **435** *ἔθεσι καὶ νομίμοις* **V** *ἤθεσι καὶ νομίμοις* **Dγ** *νομίμοις καὶ ἔθεσι* **αMS** (quos sequitur Robbins) || **437** *δειλοὶ* **Vβγ** Procl. *δηνοὶ* (μ supra) **Y** *δεινοὶ* **GΣ** || **441** *γονίμῳ* **VΣβγ** **γονίμῳ* **c** *γωνῇ* (μ supra) **Y** *γωνίσματι* **G** *γεννήματι* Σ^2 in margine **m** || **442** *σαθροὶ* **Vα** *θρασεῖς* **DMγ** *θρασεῖς δὲ* **S** | *τεθηλυσμένοι* **V** *τεθηλυμένοι* **α** *τεθηγμένοι* **βγ** | *ταῖς ψυχαῖς* **VDγ** *τὰς ψυχὰς* **αMS** || **444** *ἑσπερίου* **V** (cf. *τοῦ δυτικοῦ τῆς* ♀ Procl.) *ἑσπέριον* **αβγ** || **445** *κυραϊκὴν* **V** || **447** *Διδύμοις* **VMSc** Procl. *ἰχθύσι* **αDγ** (praetulit Boll) || **447** *τοῦ Ἑρμοῦ*] *Ἑρμῇ* **V**

Ἑρμοῦ, διόπερ οὗτοι διανοητικοί τε καὶ συνετοὶ καὶ εὐεπίβολοι τυγχάνουσι περὶ πάντα καὶ μάλιστα περὶ τὴν τῶν σοφῶν καὶ θείων εὕρεσιν, μαγευτικοί τε καὶ κρυφίων μυστη- 450
50 *ρίων ἐπιτελεστικοὶ καὶ ὅλως ἱκανοὶ περὶ τὰ μαθήματα· οἱ δὲ περὶ τὴν Θηβαΐδα καὶ Ὄασιν καὶ Τρωγλοδυτικὴν τῷ τε Ζυγῷ καὶ τῷ τῆς Ἀφροδίτης, ὅθεν καὶ αὐτοὶ θερμότεροί εἰσι τὰς φύσεις καὶ κεκινημένοι καὶ ἐν εὐφορίαις ἔχοντες τὰς διαγωγάς· οἱ δὲ περὶ τὴν Ἀραβίαν καὶ Ἀζανίαν καὶ μέ-* 455 *σην Αἰθιοπίαν τῷ Ὑδροχόῳ καὶ τῷ τοῦ Κρόνου, διὸ καὶ οὗτοι κρεωφάγοι τε καὶ ἰχθυοφάγοι καὶ νομάδες εἰσίν, ἄγριον καὶ θηριώδη βίον ζῶντες.*

δ΄. Ἔκθεσις τῶν ἀνηκουσῶν χωρῶν ἑκάστῳ τῶν ζῳδίων 460

1 *Αἱ μὲν οὖν συνοικειώσεις τῶν τε ἀστέρων καὶ τῶν δωδεκατημορίων πρὸς τὰ κατὰ μέρος ἔθνη καὶ τὰ ὡς ἐπίπαν αὐ-* m 73 *τῶν ἰδιώματα κατὰ τὸ κεφαλαιῶδες τοῦτον ἡμῖν ὑποτετυ-*

T 452–453 Heph. I 1,122. Rhet. B p. 204,28–29. Val. App. III 30 || **455–456** Heph. I 1,200. Rhet. B p. 210,18. Val. App. III 47

S 450–451 *μαγευτικοὶ ... μυστηρίων* Ap. II 3,34 (ubi plura)

448 *εὐεπίβολοι* **VDγ** *εὐεπήβολοι* **MΣ** (ex correctura Regiomontani in margine: *ἐπήβολος οὐκ ἐπίβολος διὰ τὸ μέτρον*) **S** *εὐεπίβουλοι* **Y**, cf. 2,104 || **450** *εὕρεσιν* **VDγ** Procl. *ἀνεύρεσιν* **αMS** | *μαγικοί* **Σ** | *κρυφίων* **Vαγ** *κρυφιμαίων* **DM** *κορυμαίων* **S** || **454** *εἰσὶ* **Vβ** *τέ εἰσι* **αγ** | *εὐφορίᾳ* **α** || **455** *περὶ*] *ἐπὶ* **V** ut 1,570 q. v. || **456** *Κρόνου*] *Διὸς* **Bm** || **459** titulum hoc loco praebet **D**, post 464 *τρόπον* **V**, post 468 *τοῦτον* **Mγc** Co p. 62,–4 | post *ἔκθεσις*: *κανονικὴ* add. **B** || **463** *ὑποτετυπώσθωσαν* **VDMγ** *ὑποτυπωσθώσαν* **Σ** *ὑποτετυπώσθ* **Y** *ὑποτετυπώσθω* **S** *ὑποτυπούσθω* **c** Boll

πώσθωσαν τὸν τρόπον. ἐκθησόμεθα δὲ καὶ διὰ τὸ τῆς
465 *χρήσεως εὐεπίβολον ἐφ' ἑκάστου τῶν δωδεκατημορίων*
κατὰ ψιλὴν παράθεσιν ἕκαστα τῶν συνῳκειωμένων ἐθνῶν
ἀκολούθως τοῖς προκατειλεγμένοις περὶ αὐτῶν τὸν τρόπον
τοῦτον·

[tab. 14. signorum geographia]

2

Κριῷ		*Ταύρῳ*		*Διδύμοις*		*Καρκίνῳ*	
♂	*Βρεττανία* *Γαλατία* *Γερμανία* *Βασταρνία*	♀	*Παρθία* *Μηδία* *Περσίς*	☿	*Ὑρκανία* *Ἀρμενία* *Ματιανή*	☾	*Νουμιδία* *Καρχηδονία* *Ἀφρική*
	περὶ τὸ μέσον		*περὶ τὸ μέσον*		*περὶ τὸ μέσον*		*περὶ τὸ μέσον*
♂	*Κοίλη Συρία* *Ἰδουμαία* *[Παλαιστίνη]* *Ἰουδαία*	♀	*Κυκλάδες* *νῆσοι* *Κύπρος* *παράλια* *Μικρᾶς* *Ἀσίας*	☿	*Κυρηναϊκή* *Μαρμαρική* *Αἰγύπτου* *κάτω χώρα*	☾	*Βιθυνία* *Φρυγία* *Κολχίς*

T 469–497 maxime bis trinas terras iuxtaposuerunt etiam Heph. Rhet. B. Val. App. III supra allati, praeterea Lyd. Ost. 71 p. 158,16–160,6

465 *εὐεπίβολον* **Dγ** *εὐεπήβολον* **ΣMS** *εὐεπίβουλον* **VY**, cf. l. 104 || **466** *συνοικειουμένων* **α** || **467** *προκατειλεγμένοις* **Vβγ** *προκειμένοις* **αc** (sed **Σ** corr. in margine) *προειλεγμένοις* **m** || **469–497** tabulam praebent **Vβγ** (ordinem pervertit **D**, planetas addit **γ**) om. **αc** || de Ariete: **473** *Βασταρνία* om. **V** (ut Val. App. III 1. Rhet. B p. 195,18) || **477** *Παλαιστίνη* **Vβγ** Heph. (*-ήνη*, adde Ep. IV 7, inde Rhet. B p. 195,18. Lyd. Ost. 55 p. 110,13. Val. App. III 1) om. **α** (deest etiam l. 299.309),

3

Λέοντι		Παρθένῳ		Ζυγῷ		Σκορπίῳ	
☉	Ἰταλία Γαλλία Σικελία Ἀπουλία	☿	Μεσοποταμία Βαβυλωνία Ἀσσυρία	♀	Βακτριανή Κασπειρία Σηρική	♂	Μεταγωνῖτις Μαυριτανία Γαιτουλία
	περὶ τὸ μέσον		περὶ τὸ μέσον		περὶ τὸ μέσον		περὶ τὸ μέσον
☉	Φοινίκη Χαλδαία Ὀρχηνία	☿	Ἑλλάς Ἀχαΐα Κρήτη	♀	Θηβαΐς Ὄασις Τρωγλοδυτική	♂	Συρία Κομμαγηνή Καππαδοκία

485

4

Τοξότῃ		Αἰγοκέρωτι		Ὑδροχόῳ		Ἰχθύσιν	
♃	Τυρρηνία Κελτική Σπανία	♄	Ἰνδική Ἀριανή Γεδρουσία	♄	Σαυροματική Ὠξιανή Σουγδιανή	♃	Φαζανία Νασαμωνῖτις Γαραμαντική
	περὶ τὸ μέσον		περὶ τὸ μέσον		περὶ τὸ μέσον		περὶ τὸ μέσον
♃	Ἀραβία εὐδαίμων	♄	Θρᾴκη Μακεδονία Ἰλλυρίς	♄	Ἀραβία Ἀζανία μέση Αἰθιοπία	♃	Λυδία Κιλικία Παμφυλία

490 m 74

495

T 491–497 (de Piscibus) Abram. p. 195

abundat in summa LXXII terrarum (l. 498), ab homine christiano insertum esse iudicans non recepit Boll, sed v. Hephaestionem ‖ de Tauro: **476** *νῆσοι* om. **V** Heph. fort. recte, cf. 2,228 ‖ **478** *παράλια Μικρᾶς Ἀσίας*] *μικρὰ Ἀσία* **V** Heph. haud scio an recte ‖ de Geminis: **472** *Ματιανή* Robbins *ματτιανή* **α** *μαντιανή* **βγ** Heph. *γαμπάνη* **V**

de Leone: **484** *Σικελία* om. Heph. ‖ **488** *Χαλδαία* Heph. *χαλδία* **Vβ** *χαλδαϊκή* **αγ** ‖ de Libra: **481** *Ζυγῷ* **Vβ** (cf. Heph.) *Χηλαῖς* **αγ** ‖ **484** *συρική* **V** ut l. 322 q. v. ‖ de Scorpione: **482** *μεταγωνιτική* **β** ‖ de Sagittario: **493** *ἰσπανία* **γ** ut l. 200 q. v. ‖ de Piscibus: **492** *νασαμωνιτική* **VM**

γίνονται χῶραι οβ′. ἐκκειμένων δὲ τούτων εὔλογον κἀ- 5
κεῖνα τούτῳ τῷ μέρει προσθεῖναι, διότι καὶ τῶν ἀπλανῶν
c 19ᵛ 500 *ἀστέρων ἕκαστοι συνοικειοῦνται ταῖς χώραις, ὅσαις καὶ τὰ*
τοῦ ζῳδιακοῦ μέρη, καθ' ὧν ἔχουσιν οἱ ἀπλανεῖς τὰς
προσνεύσεις ἐπὶ τοῦ διὰ τῶν πόλων αὐτοῦ γραφομένου κύ-
κλου, φαίνεται ποιούμενα τὴν συμπάθειαν, καὶ ὅτι ἐπὶ 6
τῶν μητροπόλεων ἐκεῖνοι μάλιστα συμπαθοῦσιν οἱ τόποι
505 *τοῦ ζῳδιακοῦ κύκλου, καθ' ὧν ἐν ταῖς καταρχαῖς τῶν κτί-*
σεων αὐτῶν ὡς ἐπὶ γενέσεως ὅ τε ἥλιος καὶ ἡ σελήνη
παροδεύοντες ἐτύγχανον καὶ τῶν κέντρων μάλιστα τὸ ὡρο-
σκοποῦν· ἐφ' ὧν δὲ οἱ χρόνοι τῶν κτίσεων οὐχ εὑρίσκον-
ται, καθ' ὧν ἐν ταῖς τῶν κατὰ καιρὸν ἀρχόντων ἢ βασι-
510 *λευόντων γενέσεσιν ἐκπίπτει τὸ μεσουράνημα.*

T 498–503 (§ 5) Heph. I 5,3 || **508–510** (§ 6 fin.) Heph. I 20,5 p. 43,17–19

498 *γίνονται … οβ′* **VM** Procl., non receperunt Boll Robbins | titulum capitis quinti false hoc loco inseruerunt **αc** | *δὲ* om. **α** || **499** *τούτῳ* **Vβγ** *τῷδε* **α** | *προσθῆναι* **V** | *διότι* **Vαβ** *ὅτι* **γ** | *καὶ* **Vα** *τε καὶ* **βγ** || **500** *ἕκαστοι συνοικειοῦνται* **VY** Heph. *ἕκαστος συνοικειοῦται* **Σβγ** || **501** *καθ' ὧν* Heph. (*καθ-ὼς* var. l.) *καθὸν* **V** *καθ' ὃ* **Y** *μεθ' ὧν* **Σβγ** || **502** *ἐποχὰς προσνεύσεις* **V** | *αὐτοῦ*] *αὐτῶν* **Σγc** || **503** *φαίνεται* **Vα** Heph. *διὸ καὶ φαίνονται* **βγ** | *ποιούμενα* **Y** Heph. *προσποιούμενα* **V** *ποιούμενος* **Σ** *ποιούμενοι* **βγ** | *ὅτι*] *ὅτε* **V** | *ἐπὶ*] *καὶ ἐπὶ* **α** || **504** *ἐκεῖνοι* **βγ** *ἐκείνων* **V** *κἀκεῖνοι* **α** || **505** *κύκλου* om. V, cf. 1,684 | *καθ' ὧν* **Yβγ** *καθ' ὃν* **VGΣc** || **506** *γενέσεως* **V** (cf. l. 557) *γενέσεων* **α** (*ἐπιγενέσεων* contraxit **G**) *τῶν γενέσεων* **βγ** || **508** *κτήσεων* **V** || **509** *καθ' ὧν* **βγ** *καθ' ἣν* **V** om. **α** || **509** *ἐν ταῖς … γενέσεσιν* **Vβγ** *εἰς τὴν … γένεσιν* **α**

ε'. Ἔφοδος εἰς τὰς κατὰ μέρος προτελέσεις τῶν ἐκλείψεων

1 *Τούτων δὲ οὕτως προεπεσκεμμένων ἀκόλουθον ἂν εἴη λοιπὸν τὰς τῶν προτελέσεων ἐφόδους κεφαλαιωδῶς ἐπελθεῖν, καὶ πρῶτον τῶν καθ' ὅλας περιστάσεις χωρῶν ἢ* 515 m 75 *πόλεων λαμβανομένων. ἔσται δὲ ὁ τρόπος τῆς ἐπισκέψεως τοιοῦτος· ἡ μὲν οὖν πρώτη καὶ ἰσχυροτάτη τῶν τοιούτων συμπτωμάτων αἰτία γίνεται παρὰ τὰς ἐκλειπτικὰς ἡλίου καὶ σελήνης συζυγίας καὶ τὰς ἐν αὐταῖς παρόδους τῶν* 2 *ἀστέρων· τῆς δὲ προτελέσεως αὐτῆς τὸ μέν ἐστι τοπικόν* 520 *(καθ' ὃ δεῖ προγινώσκειν, ποίαις χώραις ἢ πόλεσιν ⟨ἐπισημαίνουσιν⟩ αἱ κατὰ μέρος ἐκλείψεις ἢ καὶ τῶν πλανωμένων αἱ κατὰ καιροὺς ἔμμονοι στάσεις· αὗται δέ εἰσι Κρόνου τε καὶ Διὸς καὶ Ἄρεως, ὅταν στηρίζωσι, ποιοῦνται* 3 *γὰρ τότε τὰς ἐπισημασίας), τὸ δέ ἐστι χρονικόν, καθ' ὃ* 525

T 513–530 (§ 1–3) Heph. I 20,1–4

511 titulum hic praebent **Vβ** (om. **S** spatio relicto) **γ** Procl., l. 498 anticipant **αc** || **512** *τῶν ἐκλείψεων* **V** om. **αDMγ**, cf. 2,8 || **513** *δὲ* om. **Σ** | *προεπεσκεμμένων* **V** *προεσκημένων* **Y** *προεσκευασμένων* **G** *προεκκειμένων* **Σc** *προκειμένων* **γ** *προεκτεθειμένων* Heph. *προειρημένων* Procl. || **515** *τῶν* **VY** *τὰς τῶν* **ΣS** *τῶν τὰς* **DMBC** *τὰς* **A** || **516** *λαμβανομένων* **Vβ** *λαμβανόμενον* **Γ** *λαμβάνομεν* **YG** *λαμβανομένας* **Σγc** | *ἔσται* **αβγ** *ἐπεὶ* **V** || **517** *τοιοῦτος* **Vα** *οὕτως* **β** *οὗτος* **γ** | *πρώτη καὶ ἰσχυροτάτη* **VMS** *πρώτη καὶ ἰσχυροτέρα* **α** om. **Dγ** || **520** *μέν* **βγ** *μέντοι* **V** *μέν τι* **α** || **521** *προγινώσκειν* **Vα** *γινώσκειν* **βγ**, cf. l. 527 | *⟨ἐπισημαίνουσιν⟩* suppl. Boll coll. *τὰς ἐπισημ⟨ασ⟩ίας* Heph. || **523** *ἔμμονοι* **VMγ** *ἔμμηνοι* **YΣSc** *ἔμμηνα* **G**, cf. *ἐπιμένουσαι* Procl. necnon F. A. Illiceramium (1986), 218–220 || **524** *στηρίζωσι* **Vγ** Procl. Co p. 63,32 *στηρίζονται* **G** *στηρίζοντες* **YΣβc** | *ποιοῦνται* **V** Procl. *ποιῶσι* **αγ** *ποιήσωσι* **β** || **525** *γὰρ τότε* **V** om. **αβγ**

τὸν καιρὸν τῶν ἐπισημασιῶν καὶ τῆς παρατάσεως τὴν ποσότητα δεήσει προγινώσκειν, τὸ δὲ γενικόν, καθ' ὃ προσήκει λαμβάνειν περὶ ποῖα τῶν γενῶν ἀποβήσεται τὸ σύμπτωμα, τελευταῖον δὲ τὸ εἰδικόν, καθ' ὃ τὴν αὐτοῦ 530 *τοῦ ἀποτελεσθησομένου ποιότητα θεωρήσομεν.*

ς′. Περὶ τῆς τῶν διατιθεμένων χωρῶν ἐπισκέψεως

Τοῦ μὲν οὖν πρώτου καὶ τοπικοῦ τὴν διάληψιν ποιησόμεθα τοιαύτην· κατὰ γὰρ τὰς γινομένας ἐκλειπτικὰς συζυ- 1 535 *γίας ἡλίου καὶ σελήνης (καὶ μάλιστα τὰς εὐαισθητοτέρας) ἐπισκεψόμεθα τόν τε ἐκλειπτικὸν τοῦ ζῳδιακοῦ τόπον καὶ τὰς τῶν κατ' αὐτὸν τριγώνων συνοικειουμένας χώρας, καὶ ὁμοίως τίνες τῶν πόλεων ἤτοι ἐκ τῆς κατὰ τὴν κτίσιν ὡρο-* m 76 *σκοπίας καὶ φωσφορίας ἢ ἐκ τῆς τῶν τότε ἡγεμονευόντων* 540 *μεσουρανήσεως συμπάθειαν ἔχουσι πρὸς τὸ τῆς ἐκλείψεως δωδεκατημόριον. ἐφ' ὅσων δ' ἂν χωρῶν ἢ πόλεων εὑρίσκω-* 2

T 538–546 (§ 1 fin.–2) Heph. I 20,5–6

S 536 *ἐκλειπτικὸν … τόπον* Manil. IV 818–865. Heph. I 21,10–33. Hermipp. II 122

527 *προγινώσκειν* **Vα** Heph. *διαγινώσκειν* **βγ**, cf. l. 521 ‖ **531** *διατεθειμένων* Co le p. 63,–15 ‖ **533** *τοῦ μὲν οὖν πρώτου* **Y** *τοῦ μὲν πρώτου* **Σ** *περὶ τὸ μὲν οὖν τοῦ πρώτου* **V** *περὶ μὲν οὖν τοῦ πρώτου* **βγ** "*περὶ* sine dubio e titulo irrepsit" Boll ‖ **537** *τῶν κατ' αὐτὸν τριγώνων* **Vβ** Procl. (recepit Robbins) *τῶν κατὰ τῶν τριγώνων* **Y** *τῶν κατ' αὐτῶν τριγώνων* **G** *τῶν κατὰ τὰ τρίγωνα* **Σc** *τῷ κατ' αὐτὸν τριγώνῳ* **γ** (praetulit Boll) | *συνοικειουμένας* **VSγ** *συνοικειωμένας* **Y** *συνοικειωμένων* **G** *συνοικειουμένων* **ΣMc** ‖ **541** post *ἂν*: *ἢ* add. **VD**

μεν τὴν προκειμένην συνοικείωσιν, περὶ πάσας μὲν ὡς ἐπίπαν ὑπονοητέον ἔσεσθαι τὸ σύμπτωμα, μάλιστα δὲ περὶ τὰς πρὸς αὐτὸ τὸ τῆς ἐκλείψεως δωδεκατημόριον λόγον ἐχούσας καὶ ἐν ὅσαις αὐτῶν ὑπὲρ γῆν οὖσα ἡ ἔκλειψις 545
ἐφαίνετο.

ζ'. Περὶ τοῦ χρόνου τῶν ἀποτελουμένων c 20

1 *Τὸ δὲ δεύτερον καὶ χρονικὸν κεφάλαιον, καθ' ὃ τοὺς καιροὺς τῶν ἐπισημασιῶν καὶ τῆς παρατάσεως τὴν ποσότητα προσήκει διαγινώσκειν, ἐπισκεψόμεθα τρόπῳ τοιῷδε· τῶν* 550
γὰρ κατὰ τὸν αὐτὸν χρόνον γινομένων ἐκλείψεων μὴ κατὰ πᾶσαν οἴκησιν ἐν ταῖς αὐταῖς καιρικαῖς ὥραις ἀποτελουμένων τῶν τε ἡλιακῶν τῶν αὐτῶν μηδὲ τὰ μεγέθη τῶν ἐπισκοτήσεων ἢ τὸν χρόνον τῶν παρατάσεων κατὰ τὸ ἴσον πανταχῇ λαμβανουσῶν, πρῶτον μὲν κατὰ τὴν ἐν ἑκάστῃ 555

T **548–582** (§ 1–4) Heph. I 20,7–9

S **551–552** *μὴ κατὰ πᾶσαν οἴκησιν* Synt. I 4 p. 15,3–8, cf. Cleomed. I 5 l. 39–44 Todd

542 *πάσας* (cf. *πᾶσαι* Procl.)] *ταύτας* **Σc** || **544** *τὰς* **Vαγ** *τὰ* **MS** *τὸ* **D** || **545** *ὅσαις* **αMS** Heph. *ὅσοις* **Vγ** *ὅσῳ* **D** | *οὖσαν* **V** || **546** *ἐφαίνετο* **Vβγ** Heph. Procl. *φένεται* **Y** *φαίνεται* **GΣc** | postea l. 606–674 *ἐκλειπτικῷ τόπῳ* … *ἐπὶ τὸ πλεῖον* (= fol. 33r–v) hic inseruit **Y** || **548** *καθ' ὃ*] *καθῶν* **Y** || **550** *διαγινώσκειν* **Vβγ** *γινώσκειν* **Y** *γινώσκεσθαι* **Σ** || **551** *κατὰ* (prius) **Vβγ** *ὑπὸ* **α** Co le p. 65,22 || **552** *ἐν* **Vα** om. **βγ** | *ἀποτελουμένων* **Vβγ** *συναποτελουμένων* **α** || **553** *τῶν τε ἡλιακῶν τῶν αὐτῶν* **VY** Procl. (recepit Robbins) *τῶν τε ἡλιακῶν καὶ σεληνιακῶν* [*πανσεληνιακῶν* **D**] *τῶν αὐτῶν* **β** *τῶν τε ἡλιακῶν δηλαδὴ καὶ τῶν σεληνιακῶν* **Σγc** totum locum ut glossema damnavit Boll || **555** *κατὰ* **VαD** om. **MSγ**

τῶν λόγον ἐχουσῶν οἰκήσεων ἐκλειπτικὴν ὥραν καὶ τὸ τοῦ πόλου ἔξαρμα κέντρα ὡς ἐπὶ γενέσεως διαθήσομεν· ἔπειτα 2 *καὶ ἐπὶ πόσας ἰσημερινὰς ὥρας ἐν ἑκάστῃ παρατείνει τὸ* m 77 *ἐπισκίασμα τῆς ἐκλείψεως. τούτων γὰρ ἐξετασθέντων,* 560 *ὅσας ἂν ἰσημερινὰς ὥρας εὕρωμεν, ἐφ' ἡλιακῆς μὲν ἐκλείψεως ἐπὶ τοσούτους ἐνιαυτοὺς παραμένειν ὑπονοήσομεν τὸ ἀποτελούμενον, ἐπὶ δὲ σεληνιακῆς ἐπὶ τοσούτους μῆνας, τῶν μὲν καταρχῶν καὶ τῶν ὁλοσχερεστέρων ἐπιτάσεων θεωρουμένων ἐκ τῆς τοῦ ἐκλειπτικοῦ τόπου πρὸς τὰ κέν-* 565 *τρα σχέσεως (πρὸς μὲν γὰρ τῷ ἀπηλιωτικῷ ὁρίζοντι ὁ τό-* 3 *πος ἐκπεσὼν τήν τε καταρχὴν τοῦ συμπτώματος κατὰ τὴν πρώτην τετράμηνον ἀπὸ τοῦ χρόνου τῆς ἐκλείψεως σημαίνει καὶ τὰς ὁλοσχερεῖς ἐπιτάσεις περὶ τὸ πρῶτον τριτημόριον τοῦ καθ' ὅλην τὴν παράτασιν χρόνου· πρὸς δὲ τῷ* 570 *μεσουρανήματι, κατά τε τὴν δευτέραν τετράμηνον καὶ τὸ μέσον τριτημόριον· πρὸς δὲ τῷ λιβυκῷ ὁρίζοντι, κατά τε τὴν τρίτην τετράμηνον καὶ τὸ ἔσχατον τριτημόριον), τῶν* 4 *δὲ κατὰ μέρος ἀνέσεων καὶ ἐπιτάσεων ἀπό τε τῶν ἀνὰ*

S 557 *ἔξαρμα* Gem. 6,24 ‖ **561–562** *ἐνιαυτοὺς … μῆνας* Dor. A I 1,5

557 *κέντρα* **VDγ** Procl. *τά τε κέντρα* **α** *καὶ τὰ κέντρα* **MS** ‖ **558** *ἐπὶ* **Vβγ** Procl. *ὡς ἐπὶ* **α** | *ἰσημερινὰς* **VαS** *ἡμερινὰς* **DMγ** ut l. 560 | post *ἑκάστῃ*: *τῶν λόγον ἐχουσῶν οἰκήσεων* add. **α** ‖ **560** *ἰσημερινὰς* **VαS** *ἡμερινὰς* **DMγ** ut l. 558 ‖ **563** *τῶν μὲν* scripsi *καὶ τῶν μέντοι* **V** *τῶν μέντοι* **αc** (recepit Robbins) *τῶν* **βγ** *καὶ τῶν* Boll | *ἐπιτάσεων* **Vαβ** *περιστάσεων* **γ** ‖ **564** *θεωρουμένων* **Vβγ** *θεωροῦμεν* **α** ‖ **567** *σημαίνει* **V** *διασημαίνει* **αβγ** ‖ **568** *ὁλοσχερεῖς* **Vβγ** Procl. *ὅλας ὁλοσχερεῖς* **αc** | *ἐπιτάσεις* **Vα** *περιστάσεις* **βγ** ‖ **569** *καθ' ὅλην* **Vβγ** *καθόλου* **α** | *τὴν παράτασιν*] *τῆς παρατάσεως* **Σc** | *πρὸς*] *ἐν* **m** | *τῷ μεσουρανήματι* **Vβγ** Heph. Procl. *τὸ μεσημβρινὸν* **α** (*ἐν μεσημβρινῷ* suprascriptum in **Σ**) *τῷ μεσημβρινῷ* **c**

μέσον συζυγιῶν, ὅταν κατὰ τῶν τὸ αἴτιον ἐμποιούντων τό-πων ἢ τῶν συσχηματιζομένων τόπων αὐτοῖς συμπίπτωσι, 575 *καὶ ἀπὸ τῶν ἄλλων παρόδων, ὅταν οἱ ποιητικοὶ τοῦ προ-τελέσματος ἀστέρες ἀνατολὰς ἢ δύσεις ἢ στηριγμοὺς ἢ ἀκρονύκτους φάσεις ποιῶνται, συσχηματιζόμενοι τοῖς τὴν αἰτίαν ἔχουσι δωδεκατημορίοις, ἐπειδήπερ ἀνατέλλοντες μὲν ἢ στηρίζοντες ἐπιτάσεις ποιοῦνται τῶν συμπτωμάτων,* 580 m 78 *δύνοντες δὲ καὶ ὑπὸ τὰς αὐγὰς ὄντες ἢ ἀκρονύκτους ποι-ούμενοι προηγήσεις ἄνεσιν τῶν ἀποτελουμένων ποιοῦσιν.*

η'. Περὶ τοῦ γένους τῶν διατιθεμένων c 20v

1 *Τρίτου δὲ ὄντος κεφαλαίου τοῦ γενικοῦ, καθ' ὃ δεῖ διαλαμ-βάνειν, περὶ ποῖα τῶν γενῶν ἀποβήσεται τὸ σύμπτωμα,* 585 *λαμβάνεται καὶ τοῦτο διὰ τῆς τῶν ζῳδίων ἰδιοτροπίας καὶ μορφώσεως, καθ' ὧν ἂν τύχωσιν ὄντες οἵ τε τῶν ἐκλεί-ψεων τόποι καὶ οἱ τὴν οἰκοδεσποτείαν λαβόντες τῶν ἀστέ-*

T 583–674 (§ 1–13) cod. v fol. 98r

S 581–582 *δύνοντες … ἄνεσιν* Zahel CCAG V 3 (1910) p. 101,21–24

575 *τόπων* **VΣDγ** om. **YMS** Heph. fort. recte || 576 *παρ-όδων* **V** Heph. Procl. *παρρόδων* **Y** *παρανατελλόντων* **ΣDγc** om. **M** (add. **M**²) **S** | *ὅταν* et hoc om. **S** lacuna patente || 577 *ἀστέρες ἀνατολὰς* **Vαγ** Heph. *ἀστέρες τῶν πλανομένων ἀνατολὰς* **D** *ἀστέ* sequente lacuna **M** (*ρες τῶν πλανωμένων οἵτινες* explevit **M**²) *ἀ* sequente lacuna decem fere litterarum **S** || 578 *τὸ αἴτιον* [recepit Robbins, cf. l. 574] … *δωδεκατη-μόριον* **V** || **582** *προηγήσεις*] *φάσεις* Heph. (*στάσεις* Ep. IV 15,9) || **584** *τρίτου*] *Δρτου* (= *τετάρτου*) **Y** | *διαλαμβάνειν* **VDM** *λαβεῖν* **Y** *διαλαβεῖν* **ΣSγ** || **588** *λαβόντες* **Vβγ** *λαμ-βάνοντες* **α** Heph., cf. l. 617

ρων (τῶν τε πλανωμένων καὶ τῶν ἀπλανῶν) τοῦ τε τῆς
590 ἐκλείψεως δωδεκατημορίου καὶ τοῦ κατὰ τὸ κέντρον τὸ
πρὸ τῆς ἐκλείψεως. λαμβάνεται δὲ ἡ τούτων οἰκοδεσποτεία 2
ἐπὶ μὲν τῶν πλανωμένων ἀστέρων οὕτως· ὁ γὰρ τοὺς πλεί-
στους λόγους ἔχων πρὸς ἀμφοτέρους τοὺς ἐκκειμένους τό-
πους (τόν τε τῆς ἐκλείψεως καὶ τὸν τοῦ ἑπομένου αὐτῷ
595 κέντρου) κατά τε τὰς ἔγγιστα φαινομένας συναφὰς ἢ
ἀπορροίας καὶ τοὺς λόγον ἔχοντας τῶν συσχηματισμῶν καὶ
ἔτι κατὰ τὴν κυρίαν τῶν τε οἴκων καὶ τριγώνων καὶ ὑψω-
μάτων ἢ καὶ ὁρίων, ἐκεῖνος λήψεται μόνος τὴν οἰκοδεσπο-
τείαν. εἰ δὲ μὴ ὁ αὐτὸς εὑρίσκοιτο τῆς τε ἐκλείψεως καὶ 3
m 79 600 τοῦ κέντρου κύριος, ἀλλὰ δύο, τοὺς πρὸς ἑκάτερον τῶν τό-
πων τὰς πλείους ἔχοντας ὡς πρόκειται συνοικειώσεις συμ-
παραληπτέον, προκρινομένου τοῦ τῆς ἐκλείψεως κυρίου. εἰ
δὲ πλείους εὑρίσκοιντο καθ' ἑκάτερον ἐφάμιλλοι, τὸν ἐπι-
κεντρότερον ἢ χρηματιστικώτερον ἢ τῆς αἱρέσεως μᾶλλον
605 ὄντα προκρινοῦμεν εἰς τὴν οἰκοδεσποτείαν. ἐπὶ δὲ τῶν 4
ἀπλανῶν συμπαραληψόμεθα τόν τε αὐτῷ τῷ ἐκλειπτικῷ

S 603–604 *ἐπικεντρότερον* Paul. Alex. 33 p. 89,11

590 *κατὰ τὸ κέντρον* **Vα** Heph. *κέντρου* **βγ** Procl. | *τὸ πρὸ* **G** *τὸ πρῶ* **Y** *τοῦ πρὸ* **βγ** *πρὸ* Procl. om. **VΣc** ‖ **592** *πλείστους* **Vβγ** Heph. *πλείους* **α** ‖ **595** *φαινομένας* **βγ** Heph. *καὶ τὰς φαινομένας* **V** *καὶ φαινομένας* **α** Procl. (quos secutus est Robbins) ‖ **596** *λόγον* **VY** *λόγους* **Σβγ** ‖ **599** *τε* om. **Sγ** ‖ **600** *ἀλλὰ δύο* **βγ** Heph. *δύο* **V** Procl. (recepit Robbins cum sequentibus conectens) *δύο δὲ* **α** | *τοὺς ... ἔχοντας* **VY** Procl. *τὰς ... ἔχοντα* **Σ** *τὸν ... ἔχοντα* **βγ** (cf. *τὸν τὰς τῶν ἀμφοτέρων πλείονας ἔχοντα συνοικειώσεις ἑλόμεθα* Heph.) ‖ **603** *ἑκάτερον* **αβγ** Heph. *ἕτερον* **V** ‖ **604** *σχηματιστικώτερον* **V** ‖ **606** *αὐτῷ* **VΣ** Heph. *αὐτὸ* **Y** *πρὸς* **M** om. **DSγ** ‖ **606–674** *τῷ ἐκλειπτικῷ ... πλεῖον*] de foliorum inversione in **Y** v. ad l. 546

τόπῳ συγκεχρηματικότα πρῶτον τῶν λαμπρῶν ἐπὶ τῆς παρῳχημένης κεντρώσεως (κατὰ τοὺς διωρισμένους ἡμῖν ἐν τῇ πρώτῃ συντάξει [Synt. VIII 4 p. 189,6–193,13] *τῶν ἐννέα τρόπων φαινομένους σχηματισμούς) καὶ τὸν ἐν τῇ* 610 *φαινομένῃ κατὰ τὴν ἐκλειπτικὴν ὥραν διαθέσει ἤτοι συνανατείλαντα ἢ συμμεσουρανήσαντα τῷ κατὰ τὰ ἑπόμενα κέντρῳ τοῦ τόπου τῆς ἐκλείψεως.*

5 *θεωρηθέντων δὲ οὕτως τῶν εἰς τὴν αἰτίαν τοῦ συμπτώματος παραλαμβανομένων ἀστέρων συνεπισκεψόμεθα καὶ* 615 *τὰς τῶν ζῳδίων μορφώσεις, ἐν οἷς ἥ τε ἔκλειψις καὶ οἱ τὴν κυρίαν λαμβάνοντες ἀστέρες ἔτυχον ὄντες, ὡς ἀπὸ τῆς τούτων ἰδιοτροπίας καὶ τοῦ ποιοῦ τῶν διατιθεμένων γενῶν*

6 *ὡς ἐπίπαν λαμβανομένου. τὰ μὲν γὰρ ἀνθρωπόμορφα τῶν*

T 614–674 (§ 5–13) Heph. I 20,10–22.

S 619–623 *ἀνθρωπόμορφα … τετράποδα* Ap. III 9,3. 12,12. IV 4,9. 8,5. 9,12. Serap. CCAG V 1 (1904) p. 180,19. Manil. II 155–159.528. Thras. CCAG VIII 3 (1912) p. 99,5. Dor. O l. 6. Dor. G p. 352,14 (~ Dor. A II 16,16). Dor. A I 27,13.

607 *τόπῳ* **αβγ** Heph. *χρόνῳ* V Procl. | *τῶν λαμπρῶν* **Vβγ** (cf. Heph. Ep. IV 17,1) *τὸν λαμπρὸν* Y (cf. Heph. ipsum) *τῷ λαμπρῷ* **Σc** ‖ **610** post *σχηματισμούς* interpunxit Robbins, non ita Boll | *τὸν* **βγ** Heph. *τῶν* **Vα** ‖ **611** *συνανατείλαντα* **VYβ** Heph. *συνανατέλλοντα* **Σγ** ‖ **612** *συμμεσουρανήσαντα* **ΣMS** Heph. (cod. **L** ut Ep. IV 17,1) *μεσουρανήσαντα* **VYD** *συμμεσουρανοῦντα* **α** Heph. (cod. **A**) | *τῷ* om. V | *ἑπόμενα*] *ἐπικείμενα* V ‖ **613** *κέντρῳ* **Vβγ** Heph. Procl. *κέντρα* **αc** ‖ **615** *συνεπισκεψόμεθα* V Procl. *ἐπισκεψόμεθα* **αβγ** Heph. | *καὶ* Σ Procl. *κατὰ* Y om. **Vβγ** Heph. fort. recte ‖ **617** *λαμβάνοντες* V Heph. *λαμβόντες* **αβγ**, cf. l. 588 | *ἀστέρες* **αβγ** Heph. *τῶν ἀστέρων* V (maluit Boll) | *ἔτυχον ὄντες* **Vα** *τυγχάνουσιν* **βγ** Heph.

620 *ζῳδίων (τῶν τε περὶ τὸν διὰ μέσων τῶν ζῳδίων κύκλον καὶ τῶν κατὰ τοὺς ἀπλανεῖς ἀστέρας) περὶ τὸ τῶν ἀνθρώπων*
m 80 *γένος ποιεῖ τὸ ἀποτελούμενον, τῶν δὲ ἄλλων χερσαίων τὰ μὲν τετράποδα περὶ τὰ ὅμοια τῶν ἀλόγων ζῴων, τὰ δὲ ἑρπυστικὰ περὶ τοὺς ὄφεις καὶ τὰ τοιαῦτα, καὶ πάλιν τὰ μὲν* 7
625 *θηριώδη περὶ τὰ ⸢ἀνήμερα τῶν ζῴων καὶ βλαπτικὰ τοῦ*
c 21 *τῶν ἀνθρώπων γένους, τὰ δὲ ἥμερα περὶ τὰ χρηστικὰ καὶ χειροήθη καὶ συνεργητικὰ πρὸς τὰς εὐετηρίας ἀναλόγως τοῖς καθ' ἕκαστα μορφώμασιν, οἷον ἵππων ἢ βοῶν ἢ προβάτων καὶ τῶν τοιούτων· ἔτι δὲ τῶν χερσαίων τὰ μὲν πρὸς* 8
630 *ταῖς ἄρκτοις μᾶλλον περὶ τὰς τῆς γῆς αἰφνιδίους κινήσεις, τὰ δὲ πρὸς μεσημβρίαν περὶ τὰς ἀπροσδοκήτους ἐκ τοῦ*

(**S**) V 35,28. 36,32. Max. p. 80,12–13. 81,13. Herm. Myst. p. 173,21–23. Firm. math. III 3,11. VI 15,21. VII 7,1–2. Heph. I 1 passim (adde III 42,31. 47,19). Anon. C p. 166,10/30. Anon. L p. 108,3–4. Anon. S passim. Anon. Z l. 5–7. al.

S 623–624 *ἑρπυστικὰ* Abū M. introd. VI 22 (~ Apom. Myst. III 34). Apom. Rev. nat. II 11 p. 80,10. V 2 p. 214,22. Anon. L p. 111,20 ‖ **625–626** *θηριώδη … ἥμερα* Ap. II 3,28. III 9,2 (cf. IV 9,10). Manil. II 611–616 (cf. II 156. al.). Iulian. Laodic. CCAG VIII 4 (1921) p. 251,17. Anub. (?) CCAG II (1900) p. 165,21 (~ Firm. math. VI 15,7, cf. 29,11, aliter Dor. G p. 351,15) ‖ **630** *γῆς … κινήσεις* Aristot. Meteor. II 8 p. 367b4–8. Vicellius apud Lyd. Ost. 55–58. Anon. ibid. p. 174,⟨12⟩–175,⟨3⟩

620 *τε* om. V | *τὸν*] *τὸ* V | *τῶν ζῳδίων* om. **α** ‖ **627** post *χειροήθη*: *καὶ καταχρηστικὰ* add. **αc** ‖ **629** *τῶν* (prius)] *τῶν μὲν* A (recepit Boll) ‖ **630** *ταῖς ἄρκτοις* V Heph. *τοῖς ἄρκτοις* **α** *τὰς ἄρκτους* **β** *ἄρκτους* **γ**

ἀέρος ῥύσεις. πάλιν δὲ ἐν μὲν τοῖς τῶν πτερωτῶν μορφώμασιν ὄντες οἱ κύριοι τόποι (οἷον Παρθένῳ Τοξότῃ Ὄρνιθι Ἀετῷ καὶ τοῖς τοιούτοις) περὶ τὰ πτηνὰ καὶ μάλιστα τὰ εἰς τροφὴν ἀνθρώπων τὸ σύμπτωμα ποιοῦσιν, ἐν δὲ τοῖς 635
9 *νηκτοῖς περὶ τὰ ἔνυδρα καὶ τοὺς ἰχθύας· καὶ τούτων ἐν μὲν τοῖς θαλασσίοις (οἷον Καρκίνῳ Αἰγοκέρωτι Δελφῖνι) περὶ τὰ θαλάσσια καὶ ἔτι τὰς τῶν στόλων ἀναγωγάς, ἐν δὲ τοῖς ποταμίοις (οἷον Ὑδροχόῳ καὶ Ἰχθύσι) περὶ τὰ ποτάμια καὶ τὰ πηγαῖα, κατὰ δὲ τὴν Ἀργὼ περὶ ἀμφότερα* 640 *τὰ γένη.*

10 *ὡσαύτως δὲ ἐν τοῖς τροπικοῖς ἢ ἰσημερινοῖς ὄντες κοινῶς μὲν περὶ τὰ τοῦ ἀέρος καταστήματα καὶ τὰς οἰκείας ἑκάστοις αὐτῶν ὥρας ἀποτελοῦσι τὰς ἐπισημασίας, ἰδίως*

S **632** *πτερωτῶν* Ap. I 9,7.10 (ubi plura). Val. I 2,49.55. Heph. I 1,100.158. Horosc. L 479 CCAG I (1898) p. 104,17 (*Παρθένον* corr. Neugebauer). Rhet. B p. 202,16. 206,23 (cod. R). 211,7. Rhet. C p. 216,13–14. Anon. C p. 166,31–32. Anon. L p. 108,8. Anon. S l. 24.38, cf. Manil. II 414–415 ‖ **636** *νηκτοῖς* Heph. III 17,2 (cf. I 1,216; aliter Dor. A V 23,2–4). Anon. L p. 108,12, cf. Manil. II 196. Sphaera Schol. Arat. p. 166,143 ‖ **637** *θαλασσίοις* Manil. II 224–225. Anth. 619,5 R. 622,5. 625,5. 626,5. Theod. Pr. 396, cf. Heph. III 47,56. Theoph. Edess. CCAG XI 1 (1932) p. 209,13–14 ‖ **639** *ποταμίοις* Manil. V 490, cf. Heph. III 47,56. Theoph. Edess. CCAG XI 1 (1932) p. 209,14. Anon. L p. 120,13. Abram. p. 196

632 *ῥύσεις*] *χύσεις* **V** ‖ **633** *οἷον* om. **V** | *ὄρνιθι* **VMSγ** *ὀρνηθ(ι)* **Y** *ὄρνιθος* **Σc** *ὀρνέων* **G** ‖ **634** *Ἀετῷ* **Vβγ** Heph. *τοῖς ὀρνέοις* **αc** ‖ **636** *νηκτοῖς* **Σβγc** Heph. (cf. *νηχόμενα* Procl.) *νυκτοῖς* **VYm** ‖ **637** *Αἰγοκέρωτος* **V** | *Δελφῖνι* **Vβγ** *δελφίνῳ* **Y** *δελφῖνα* **Σc** ‖ **639** *καὶ* ante siglum ♓ om. **Σ** ‖ **642** *ὡσαύτως δὲ*] *ὡσαύτως. οἱ δ(ὲ)* **ΜΣc**

m 81 645 *δὲ καὶ περὶ τὰ ἐκ τῆς γῆς φυόμενα· κατὰ μὲν γὰρ τὴν ἐαρινὴν ἰσημερίαν ὄντες περὶ τοὺς βλαστοὺς τῶν δενδρικῶν καρπῶν οἷον ἀμπέλου, συκῆς καὶ τῶν συνακμαζόντων, κατὰ δὲ τὴν θερινὴν τροπὴν περὶ τὰς τῶν καρποφορηθέντων συγκομιδὰς καὶ ἀποθέσεις (ἐν Αἰγύπτῳ δὲ ἰδικῶς καὶ* 650 *περὶ τὴν τοῦ Νείλου ἀνάβασιν), κατὰ δὲ τὴν μετοπωρινὴν* **11** *ἰσημερίαν περὶ τὸν σπόρον καὶ τὰ χορτικὰ καὶ τὰ τοιαῦτα, κατὰ δὲ τὴν χειμερινὴν τροπὴν περὶ τὰς λαχανείας καὶ τὰ κατὰ τοῦτον τὸν καιρὸν ἐπιπολάζοντα ὀρνέων ἢ ἰχθύων γένη. ἔτι δὲ καὶ τὰ μὲν ἰσημερινὰ τοῖς ἱεροῖς* 655 *καὶ ταῖς περὶ τοὺς θεοὺς θρησκείαις ἐπισημαίνει, τὰ δὲ τροπικὰ ταῖς τῶν ἀέρων καὶ ταῖς τῶν πολιτικῶν ἐθισμῶν μεταβολαῖς, τὰ δὲ στερεὰ τοῖς θεμελίοις καὶ τοῖς οἰκοδομήμασι, τὰ δὲ δίσωμα τοῖς ἀνθρώποις καὶ τοῖς βασιλεῦσιν.*

ὁμοίως δὲ καὶ τὰ μὲν πρὸς ταῖς ἀνατολαῖς μᾶλλον **12** 660 *ἔχοντα τὴν θέσιν ἐν τῷ χρόνῳ τῆς ἐκλείψεως περὶ τοὺς καρποὺς καὶ τὴν νέαν ἡλικίαν καὶ τοὺς θεμελίους τὸ ἐσόμενον σημαίνει, τὰ δὲ πρὸς τῷ ὑπὲρ γῆν μεσουρανήματι*

S 656–657 *πολιτικῶν ... μεταβολαῖς* Ap. III 14,3. Dor. G p. 345,8 (~ Anub. CCAG II [1900] p. 164,7). Val. I 2,1.37.40 (adde App. I 44). Iulian. Laodic. CCAG IV (1903) p. 152,7. CCAG V 1 (1904) p. 187,7. Rhet. A p. 150,19/151,7 (= CCAG IV p. 153,18/154,14). Rhet. B p. 204,1. Kam. 898. Anon. L p. 107,9–10. Abram. p. 194 || **656** *πολιτικῶν* Rhet. C p. 217,7

645 *περὶ* **Vβγ** *περὶ τὸ ἔαρ καὶ περὶ* **αc** (cf. *περὶ τὸ ἔαρ, καὶ* Procl.) || **647** *ἀκμαζόντων* **α** || **648** *καρποφορηθέντων* **Vα** Procl. *ἐτησίων καρπῶν* **βγ** || **649** *τὰς ἀποθέσεις* **βγ** | *ἰδικῶς* **Vα** Heph. *ἰδίως* **βγ** || **654** *ἱεροῖς* **Vα** Heph. Procl. *ἱεροῦσι* **βγ** || **655** *λοιποὺς θεοὺς* **Σ** || **656** *ἐθισμῶν* **βγ** Heph. (cod. A) *ἐθισμένων* **V** (inde *εἰθισμένων* Robbins) *ἐθήμων* **Y** Heph. (cod. **L**) *ἐθίμων* **Σc** *εὐθήμων* **G** *ἐθῶν* Heph. Ep. IV 17,7

περὶ τὰ ἱερὰ καὶ τοὺς βασιλεῖς καὶ τὴν μέσην ἡλικίαν, τὰ δὲ πρὸς ταῖς δυσμαῖς περὶ τὰς τῶν νομίμων μετατροπὰς καὶ τὴν παλαιὰν ἡλικίαν καὶ τοὺς κατοιχομένους. 665

13 *καὶ περὶ πόστον δὲ μέρος τοῦ ὑποκειμένου γένους ἡ* m 82 *διάθεσις ἐπελεύσεται, τό τε τῆς ἐπισκοτήσεως τῶν ἐκλεί-ψεων μέγεθος ὑποβάλλει καὶ αἱ τῶν τὸ αἴτιον ἐμποιούντων ἀστέρων πρὸς τὸν ἐκλειπτικὸν τόπον σχέσεις· ἑσπέριοι μὲν* c 21v *γὰρ σχηματιζόμενοι πρὸς τὰς ἡλιακὰς ἐκλείψεις, ἑῷοι δὲ* 670 *πρὸς τὰς σεληνιακὰς ἐπὶ τὸ ἔλαττον ὡς ἐπίπαν διατιθέασι, διαμετροῦντες δὲ ἐπὶ τὸ ἥμισυ, ἑῷοι δὲ συσχηματιζόμενοι πρὸς τὰς ἡλιακὰς ἢ ἑσπέριοι πρὸς τὰς σεληνιακὰς ἐπὶ τὸ πλεῖον.*

θ΄. Περὶ τῆς αὐτοῦ τοῦ ἀποτελέσματος ποιότητος 675

1 *Τέταρτον δέ ἐστι κεφάλαιον τὸ περὶ αὐτῆς τῆς τοῦ ἀποτε-λέσματος ποιότητος, τουτέστι πότερον ἀγαθῶν ἢ τῶν ἐναν-*

T 677–682 (§ 1 in.) Heph. I 20,23

663 *βασιλεῖς* **V** Heph. (cod. **A**) *βασιλέας* **αβγ** Heph. (cod. **L** necnon Ep. IV 17,8, receperunt Robbins Pingree) || **666** *καὶ περὶ* **αβγ** *περὶ* **V** Boll tacite | *τὸ ποστὸν δὲ* **Σ** *πόστον δὲ* **βγ** Heph. (cod. **L** necnon Ep. IV 17,9) *πόσῶν δὲ* **V** (cf. *ποσὸν* Heph. cod. **A**) *μέσον* **Y** || **667** *ἐπελεύσεται* **αβγ** Heph. *ἐλεύσεται* **V** || **669** *σχέσεις* **VΣ** Heph. *σχέσις* **Yβγ** | *μὲν* om. **V** || **670** *ἐκλείψεις* om. **α̃** Heph. || **672** *ἐπὶ τὸ ἥμισυ* **α** *πρὸς τῷ ἡμίσει* **V** *περὶ τὸ ἥμισυ* **βγ** Heph., cf. 2,841. 3,531. 4,193 necnon 3,1273 | *συσχηματιζόμενοι* **VYβ** *σχηματιζόμενοι* **Σγ** || **673** *ἐπὶ* **Vαγ** *ὡς ἐπὶ* **β** || **674** *πλεῖον* **Vα** *πλεῖστον* **βγ** *πλέον* Heph. | de foliorum inversione in **Y** v. ad l. 546 || **675** *περὶ τῆς ποιότητος αὐτοῦ τοῦ ἀποτελέσματος* **Σ** || **677** *δὲ* om. **α** | *ἔσται* **γ**

τίων ἐστὶ ποιητικὸν καὶ ποταπὸν ἐφ' ἑκατέρου κατὰ τὸ
680 *τοῦ εἴδους ἰδιότροπον. τοῦτο δὲ ἀπό τε τῆς τῶν οἰκοδεσποτησάντων ἀστέρων τοὺς κυρίους τόπους ποιητικῆς φύσεως καταλαμβάνεται καὶ τῆς συγκράσεως τῆς τε πρὸς ἀλλήλους καὶ τοὺς τόπους, καθ' ὧν ἂν ὦσι τετυχηκότες. ὁ μὲν* 2 *γὰρ ἥλιος καὶ ἡ σελήνη διατάκται καὶ ὥσπερ ἡγεμόνες*
685 *εἰσὶ τῶν ἄλλων, αὐτοὶ αἴτιοι γινόμενοι τοῦ τε κατὰ τὴν ἐνέργειαν ὅλου καὶ τῆς τῶν ἀστέρων οἰκοδεσποτείας καὶ ἔτι τῆς τῶν οἰκοδεσποτησάντων ἰσχύος ἢ ἀδρανίας. ἡ δὲ τῶν τὴν κυρίαν λαβόντων συγκρατικὴ θεωρία τὴν τῶν ἀποτελεσμάτων δείκνυσι ποιότητα.*

m 83 690 *ἀρξόμεθα δὲ τῆς καθ' ἕνα ἕκαστον τῶν πλανωμένων* 3 *ποιητικῆς ἰδιοτροπίας, ἐκεῖνο κοινῶς προεκθέμενοι, ὅτι τῆς κεφαλαιώδους ὑπομνήσεως ἕνεκεν, ὅταν καθόλου τινὰ λέγωμεν τῶν πέντε ἀστέρων, τὴν κρᾶσιν καὶ τὸ ποιητικὸν τῆς ὁμοίας φύσεως ὑποληπτέον, ἐάν τε αὐτὸς ἐν τῇ ἰδίᾳ ἢ*

T 683–687 (§ 2 in.) Heph. I 20,25 ‖ **690–703** (§ 3–4) Heph. I 20,24

S 684 *ἡγεμόνες* Hermipp. I 115, cf. Porph. 2 p. 190,25. 191, 31. Aug. Io. ev. tr. 67,2

679 *ποταπὸν* **Vβγ** *ποδαπὸν* **αc** ‖ **680** *τε* om. **VY** ‖ **682** *τε* om. **βγ** ‖ **683** *καὶ* **Vα** *καὶ πρὸς* **βγ** ‖ **684** *διατάκται καὶ* **VD** Heph. *διατοικτικοὶ* **Y** *διατακτικοὶ* **GΣc** *διατετάκται καὶ* **MSγ** ‖ **685** *εἰσὶ* om. **V** ‖ **687** *ἔτι τῆς* **αβγ** *εἴ τις* **V** | *ἀδρανίας* **αγ** Heph. (cod. L) *ἀδρανείας* **β** Heph. Ep. IV 17,12 *ἀνδρανείας* **V** *ἀνδρίας* Heph. (cod. A) ‖ **690** *ἀρξώμεθα* **α** | *ἕνα* **Y** Heph. *ἓν* **Σ** om. **Vβγ** ‖ **691** *ποιητικῆς* **Vβγ** Heph. Procl. *φυσικῆς* **αc** | *προεκθέμενοι* **Vαγ** *προεκτιθέμενοι* **β** | *ὅτι* **VYβ** om. **Σγ** *ἔτι* Robbins tacite ‖ **692–698** *ὅταν … προσηγορίαι* neglexit Heph. | *ὅταν* **Vβ** *ὡς ὅταν* **Σγ** (recepit Robbins) om. **Y** ‖ **693** *κρᾶσιν*] *σύγκρασιν* **Σ** ‖ **694** *αὐτὸ* **V**

καταστάσει ἐάν τε καὶ τῶν ἀπλανῶν τις ἢ τῶν τοῦ ζῳδια- 695
4 *κοῦ τόπων κατὰ τὴν οἰκείαν αὐτοῦ κρᾶσιν θεωρῆται, καθ-
άπερ ἂν εἰ τῶν φύσεων καὶ τῶν ποιοτήτων αὐτῶν καὶ μὴ
τῶν ἀστέρων ἐτύγχανον αἱ προσηγορίαι, καὶ ὅτι ἐν ταῖς
συγκράσεσι πάλιν οὐ μόνον τὴν πρὸς ἀλλήλους τῶν πλα-
νωμένων μίξιν δεῖ σκοπεῖν, ἀλλὰ καὶ τὴν πρὸς τοὺς τῆς* 700
*αὐτῆς φύσεως κεκοινωνηκότας ἤτοι ἀπλανεῖς ἀστέρας ἢ
τόπους τοῦ ζῳδιακοῦ κατὰ τὰς ἀποδεδειγμένας* [I 9,2–13]
αὐτῶν πρὸς τοὺς πλανήτας συνοικειώσεις.

5 *ὁ μὲν οὖν τοῦ Κρόνου ἀστὴρ μόνος τὴν οἰκοδεσπο-
τείαν λαβὼν καθόλου μὲν φθορᾶς τῆς κατὰ ψῦξίν ἐστιν* 705
*αἴτιος, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γινομένου τοῦ συμ-
πτώματος νόσους μακρὰς καὶ φθίσεις καὶ συντήξεις καὶ
ὑγρῶν ὀχλήσεις καὶ ῥευματισμοὺς καὶ τεταρταϊκὰς ἐπιση-
μασίας, φυγαδείας τε καὶ ἀπορίας καὶ συνοχὰς καὶ πένθη
καὶ φόβους καὶ θανάτους μάλιστα τῶν τῇ ἡλικίᾳ προβε-* 710

T 704–838 (§ 5–23) Heph. I 20,27–37 || **707–709** Val. App. I 8 (CCAG II [1900] p. 161,22)

S 705 *κατὰ ψῦξιν* Val. I 1,13, cf. App. I 8 || **708** *ῥευματισμοὺς* Ap. III 13,15–17. IV 9,3. Dor. G p. 377,3 apud Heph. II 13,25. Maneth. I(V) 154. Ant. CCAG VII (1908) p. 118,14. Firm. math. III 2,15 (~ Rhet. C p. 159,23). Rhet. C p. 183,12. 187,29. 189,13. 191,17. Lib. Herm. 33,2, cf. Teucr. III p. 182,14 || **709** *φυγαδείας* Val. App. II 15. Firm. math. III 5,21

695 *τῶν* (alterum) om. **V** || **696** *θεωρητέον* **V** || **697** *τῶν* (prius)] *περὶ τῶν* **β** || **699** *κράσεσι* **α** || **701** *ἤτοι* **Vα** *εἴτε* **βγ** || **704** *οὖν* **Vβγ** Heph. om. **Y** del. **Σ** || **705** *λαβὼν* **Vβγ** Heph. *λαχὼν* **α**, cf. l. 729 || **707** *συντήξεις* **VαDγ** Heph. *συνεχεῖς* **MS** || **709** *ἀπορίας* **αSγ** *ἀρπορίας* **V** *ἀπορροίας* **DM** || **710** *φόβους* **VβγΣ** (in margine) Heph. Procl. **m** (asterisco notatum) *φώ(νους)* **Y** *φόνοι* **G** *φόνους* **Σc** (asterisco notatum)

βηκότων ἐμποιεῖ· τῶν δὲ ἀλόγων ζῴων περὶ τὰ εὔχρηστα 6
m 84 c 22 *ὡς ἐπίπαν σπάνιν τε καὶ τῶν ὄντων φθορὰς σωματικὰς*
καὶ νοσοποιούς, ἀφ' ὧν καὶ οἱ χρησάμενοι τῶν ἀνθρώπων
συνδιατιθέμενοι διαφθείρονται· περὶ δὲ τὴν τοῦ ἀέρος κα-
715 *τάστασιν ψύχη φοβερά, παγώδη καὶ ὁμιχλώδη καὶ λοι-*
μικά, δυσαερίας τε καὶ συννεφείας καὶ ζόφους, ἔτι δὲ νι-
φετῶν πλῆθος οὐκ ἀγαθῶν ἀλλὰ φθοροποιῶν, ἀφ' ὧν καὶ
τὰ κακοῦντα τὴν ἀνθρωπίνην φύσιν τῶν ἑρπετῶν συγκρί-
νεται· περὶ δὲ ποταμοὺς ἢ καὶ θαλάσσας κοινῶς μὲν χει- 7
720 *μῶνας καὶ στόλων ναυάγια καὶ δυσπλοίας καὶ τῶν ἰχθύων*
ἔνδειαν καὶ φθοράν, ἰδίως δὲ ἐν μὲν θαλάσσαις ἀμπώτεις
καὶ παλιρροίας, ἐπὶ δὲ ποταμῶν ὑπερμετρίαν καὶ κάκωσιν
τῶν ποταμίων ὑδάτων· πρὸς δὲ τοὺς τῆς γῆς καρποὺς ἔν- 8
δειαν καὶ σπάνιν καὶ ἀπώλειαν μάλιστα τῶν εἰς τὰς ἀναγ-
725 *καίας χρείας γινομένων ἤτοι ὑπὸ κάμπης ἢ ἀκρίδος ἢ κα-*
τακλυσμῶν ἢ ὑδάτων ὀμβρίων ἐπιφορᾶς ἢ χαλάζης ἢ τῶν
τοιούτων, ὡς καὶ μέχρι λιμοῦ φθάνειν καὶ τῆς τοιαύτης
ἀνθρώπων ἀπωλείας.

T 715–717 Val. App. I 11 (CCAG II [1900] p. 161,29–31)

S **718** *ἑρπετῶν* Ap. IV 8,6 (ubi plura) || **720** *ναυάγια* Ap. III 13,13. IV 8,5. 9,11. Val. II 17,79. 34,16. Firm. math. III 4,20. Rhet. C p. 128,25, aliter § 12 (ubi plura) | *δυσπλοίας* Val. App. I 209, aliter § 16

711 *ἐμποιεῖ τε* V || **714** *διατιθέμενοι* V parva lacuna relicta || **715** post *φοβερά* interpunxit Pingree apud Heph. | *καὶ λοιμικὰ* V**α** Heph. om. **βγ** || **720** *δυσπλοίαν* **α** || **721** *φθοράς* **α** | *ἐν* V**βγ** *ταῖς* **α** || **722** *ποταμῶν … κάκωσιν* om. V oculorum q. d. saltu | *ποταμῶν* **α** Heph. *τῶν ποταμῶν* **βγ** || **723** *τοὺς*] *τοῦ* V || **724** *σπανίαν* V || **726** *ἢ ὑδάτων ὀμβρίων* V**βγ** *ὑδάτων ἢ ὄμβρων* **α** || **727** *λιμοῦ* V**βγ** Procl. *λοιμοῦ* **αc**

9 *ὁ δὲ τοῦ* Διὸς *μόνος τὴν κυρίαν λαβὼν καθόλου μὲν αὐξήσεώς ἐστι ποιητικός, ἰδίως δὲ περὶ μὲν ἀνθρώπους γι-* 730 *νομένου τοῦ ἀποτελέσματος δόξας ἀποτελεῖ καὶ εὐετηρίας καὶ εὐθηνίας καὶ καταστάσεις εἰρηνικὰς καὶ τῶν ἐπιτηδείων αὐξήσεις, εὐεξίας τε σωματικὰς καὶ ψυχικάς, ἔτι δὲ* m 85 *εὐεργεσίας καὶ δωρεὰς ἀπὸ τῶν βασιλευόντων, αὐτῶν τε ἐκείνων αὐξήσεις καὶ μεγαλειότητας καὶ μεγαλοψυχίας,* 735
10 *καθόλου τε εὐδαιμονίας ἐστὶν αἴτιος. περὶ δὲ τὰ ἄλογα ζῷα τῶν μὲν εἰς χρῆσιν ἀνθρωπίνην δαψίλειαν καὶ πολυπλήθειαν ἐμποιεῖ, τῶν δὲ εἰς τὸ ἐναντίον φθοράν τε καὶ ἀπώλειαν. εὔκρατον δὲ τὴν τῶν ἀέρων κατάστασιν καὶ ὑγιεινὴν καὶ πνευματώδη καὶ ὑγρὰν καὶ θρεπτικὴν τῶν* 740 *ἐπιγείων ἀπεργάζεται, στόλων τε εὐπλοίας καὶ ποταμῶν συμμέτρους ἀναβάσεις καὶ τῶν καρπῶν δαψίλειαν καὶ ὅσα τούτοις παραπλήσια.*
11 *ὁ δὲ τοῦ* Ἄρεως *μόνος τὴν οἰκοδεσποτείαν λαβὼν καθόλου μὲν τῆς κατὰ ξηρασίαν φθορᾶς ἐστιν αἴτιος, ἰδίως δὲ* 745 *περὶ μὲν ἀνθρώπους γινομένου τοῦ συμπτώματος πολέμους ἐμποιεῖ καὶ στάσεις ἐμφυλίους καὶ αἰχμαλωσίας καὶ ἀνδραποδισμοὺς καὶ ἐπαναστάσεις καὶ χόλους ἡγεμόνων, τοὺς δὲ διὰ τῶν τοιούτων θανάτους αἰφνιδίους, ἔτι δὲ νόσους πυρεκτικὰς καὶ τριταϊκὰς ἐπισημασίας καὶ αἱμάτων* 750

S 746 *πολέμους* Val. I 1,21 || **747** *αἰχμαλωσίας* Ap. II 3,38 (ubi plura)

729 *λαβὼν* **αβγ** Heph. *λαχὼν* **V**, cf. l. 705 || **731** *εὐετηρίας*] *ἑταιρείας* **m** (qui post *εἰρηνικὰς* add. *καὶ εὐετηρίας*) || **734** *ἀπὸ* **Vβγ** Heph. *ὑπὸ* **α**, cf. 3,851. 4,35.638.650.730 || **738** *ἐμποιεῖ*] *ποιεῖ* **V** (recepit Robbins, sed cf. l. 711. al.) || **746** *περὶ*] *τε* **V** || **748** *ἐπαναστάσεις* **Vβγ** Heph. *ὄχλων ἐπαναστάσεις* **α** (recepit Boll, cf. *λαῶν ἐπαναστάσεις* Procl.)

ἀναγωγὰς καὶ ὀξείας βιαιοθανασίας μάλιστα τῶν ἀκμαίων, ὁμοίως δὲ βίας τε καὶ ὕβρεις καὶ παρανομίας, ἐμπρήσεις τε καὶ ἀνδροφονίας καὶ ἁρπαγὰς καὶ λῃστείας. περί τε 12 *τὴν τοῦ ἀέρος κατάστασιν καύσωνας καὶ πνεύματα θερμὰ*
m 86 755 *λοιμικὰ καὶ συντηκτικά, κεραυνῶν τε ἀφέσεις καὶ πρηστή-*
c 22ᵛ *ρων καὶ ἀνομβρίας· περὶ δὲ θάλασσαν στόλων αἰφνίδια ναυάγια διὰ πνευμάτων ἀτάκτων ἢ κεραυνῶν ἢ τῶν τοιού-των, ποταμῶν δὲ λειψυδρίας καὶ ἀναξηράνσεις πηγῶν καὶ φθορὰν τῶν ποτίμων ὑδάτων· περὶ δὲ τὰ ἐπὶ γῆς ἐπιτή-* 13
760 *δεια πρὸς χρῆσιν ἀνθρωπίνην τῶν τε ἀλόγων ζῴων καὶ τῶν ἐκ τῆς γῆς φυομένων σπάνιν καὶ φθορὰν καρπῶν τὴν*

T 761–764 Val. App. I 153 (= CCAG II [1900] p. 173, 22–24)

S 753 *λῃστείας* Ap. III 13,13. 14,15.32. IV 8,5. Rhet. C p. 215,21, aliter § 16 ‖ **757** *ναυάγια* Ap. IV 8,5. Val. II 17,59. Firm. math. III 4,20, aliter § 7 (ubi plura)

751 *ὀξείας*] *ὀρείας* **V** | *βιαιοθανασίας* **V** Heph. (restituit Boer 1954) *βιοθανασίας* **βγ** (quam formam vulgarem maluit Boll, cf. Pap. It. 158,11 [saec. III] necnon ThLL II c. 1999,32–53. comm. ad Anon. De stellis fixis II 10,14) *καὶ βιωθανασίας* **Y** *καὶ βιοθανασίας* **G** *νόσους καὶ βιοθανασίας* **Σc**, cf. *ὀξεῖς καὶ βίαιοι θάνατοι* Procl. ‖ **754** *καύσωνας* **αβγ** Heph. (cod. L ut Ep. IV 17,16) *καύσωνίας* **V** *καύσωνα* Heph. (cod. A) ‖ **756** *περὶ δὲ θάλασσαν* **yDγ** *περὶ δὲ θάλασσας* **V** *περὶ θάλασσαν δὲ* **MS** *πάλιν ἐν θαλάσσαις* **α** *καὶ κατὰ θάλασσαν* Heph. ‖ **758** *λειψυδρίας*] *ληψες ὑδρήας* **Y** ‖ **759** *ποτίμων* **V** Procl. *ποταμίων* **αβγ** | *τὰ ἐπὶ γῆς ἐπιτήδεια* **V** (cf. *τὰ ἐκ τῆς γῆς … ἐπιτήδεια* Procl.) *τὰ ἔπη γῆς ἐπιτήδεια* **Γ** *τὰ ἐπιτήδεια* **αβγ** (recepit Boll dittographiam suspicans) ‖ **760** *ἀλόγων ζῴων καὶ τῶν* om. **Y** | *καὶ τῶν* **VΣ** Heph. *τῶν τε* **βγ** ‖ **761** post *φυομένων*: *καρπῶν* anticipavit **α**

γινομένην ἤτοι ἐκ τῆς τοῦ καύματος καταφλέξεως ἢ βρούχου ἢ τῆς τῶν πνευμάτων ἐκτινάξεως ἢ ἐκ τῆς ἐν ταῖς ἀποθέσεσι συγκαύσεως.

14 *ὁ δὲ τῆς Ἀφροδίτης μόνος κύριος γενόμενος τοῦ συμ-* 765 *βαίνοντος, καθόλου μὲν τὰ παραπλήσια τῷ τοῦ Διὸς μετά τινος ἐπαφροδισίας ἀποτελεῖ· ἰδίως δὲ περὶ μὲν ἀνθρώπους δόξας καὶ τιμὰς καὶ εὐφροσύνας καὶ εὐετηρίας, εὐγαμίας τε καὶ πολυτεκνίας καὶ εὐαρεστήσεις πρὸς πᾶσαν συναρμογὴν καὶ τῶν κτήσεων συναυξήσεις καὶ διαίτας καθα-* 770 *ρίους καὶ εὐαγώγους καὶ πρὸς τὰ σεβάσμια τιμητικάς,* **15** *ἔτι δὲ σωματικὰς εὐεξίας καὶ πρὸς τοὺς ἡγεμονεύοντας συνοικειώσεις καὶ τῶν ἀρχόντων ἐπαφροδισίας· περὶ δὲ τὰ τοῦ ἀέρος πνεύματα εὐκρασίας καὶ διύγρων καὶ θρεπτικωτάτων καταστάσεις, εὐαερίας τε καὶ αἰθρίας καὶ ὑδάτων* 775 *γονίμων δαψιλεῖς ἐπομβρίας, στόλων τε εὐπλοίας καὶ ἐπιτυχίας καὶ ἐπικερδείας καὶ ποταμῶν πλήρεις ἀναβάσεις, ἔτι δὲ τῶν εὐχρήστων ζῴων καὶ τῶν τῆς γῆς καρπῶν μά-* m 87 *λιστα δαψίλειαν καὶ εὐφορίαν καὶ ὄνησιν ἐμποιεῖ.*

S 769 *πολυτεκνίας* Balbillus CCAG VIII 3 (1912) p. 104,21

762 *ἐκ* **Vβγ** *ὑπὸ* **α** Heph. | *καύματος* **Vβγ** *καύσωνος* **α** Heph., cf. l. 754 | *καταφλέξεων* **V** | *ἢ βρούχου ... ἐκτινάξεως* om. **Σc** || 765 *συμβαίνοντος*] *συμπτώματος* **C** Heph. (cod. **L**, *συμβαίνοντος* cod. **A**) || 766 *Διὸς* **Vβγ** Heph. Procl. ♂ **α** (♃ *ὀφείλει κεῖσθαι* **Σ** in margine), cf. Rhet. C p. 161,25 app. cr. || 768 *εὐγαμίας* **VαDγ** Heph. Procl. *εὐοδμίας* **MS**, cf. 4,137 et Maneth. II (I) 327 *εὐόδμων* *εὐνοίας* **m** || 769 *πρὸς τὰ* **VαDγ** *πάντα* **MS** || 773 *ἐπαφροδισίας*] *εὐνοίας* **m** || 774 *ἀέρος*] ♂ **Σ** liquidae metathesi (correctum in margine) | *πνεύματα* **VDγ** *πνευμάτων* **αMSc** excidit in Heph. | *εὐκρασίας* **Vβγ** *εὐκράτων* **αc** Heph. || 777 *ἐπικερδ(ε)ίας* **Vβγ** *ἐπεικερδεῖς* **Y** *ἐπικερδεῖς* **GΣc** || 778 *ἔτι* **Vβγ** *ἐν* **α** | *τοῖς εὐχρήστοις ζῴοις καὶ τοῖς τῆς γῆς καρποῖς* **αc**

780 *ὁ δὲ τοῦ Ἑρμοῦ τὴν οἰκοδεσποτείαν λαβὼν καθόλου* **16**
μὲν ὡς ἂν ᾖ συγκιρνάμενος ἑκάστῳ τῶν ἄλλων, συνοικειοῦται ταῖς ἐκείνων φύσεσιν. ἰδίως δέ ἐστι πάντων μᾶλλον συγκινητικὸς καὶ ἐν μὲν ἀνθρωπίνοις ἀποτελέσμασιν ὀξὺς καὶ πρακτικώτατος καὶ πρὸς τὸ ὑποκείμενον εὐμήχα-
785 *νος (ληστηρίων τε καὶ κλοπῶν καὶ πειρατικῶν ἐφόδων καὶ ἐπιθέσεων), ἔτι δὲ δυσπλοίας ποιητικὸς ἐν τοῖς πρὸς τοὺς κακοποιοὺς συσχηματισμοῖς, νόσων τε αἴτιος ξηρῶν καὶ ἀφημερινῶν ἐπισημασιῶν καὶ βηχικῶν καὶ ἀναφορικῶν καὶ φθίσεων, ἀποτελεστικὸς δὲ καὶ τῶν περὶ τὸν ἱερατικὸν λό-* **17**
790 *γον καὶ τὰς τῶν θεῶν θρησκείας καὶ τὰς βασιλικὰς*

S 785 *ληστηρίων* Ap. III 14,32. IV 9,12. Maneth. IV 482. Val. II 10,5. 37,9. al. Paul. Alex. 24 p. 67,18. Rhet. C p. 192,24, cf. Ap. IV 8,5, aliter § 11 | *κλοπῶν* Ap. III 14,15.19.32. Dor. G p. 350,1 (~ Dor. A II 15,28). Maneth. I(V) 311. II(I) 302. IV 484. VI(III) 500. Val. I 1,21.37. II 11,2. 17,57 (adde App. II 15). Firm. math. III 2,7. al. Paul. Alex. 24 p. 62,20 72,12. Rhet. C p. 155,19 || **786** *δυσπλοίας* Ap. IV 8,5. Val. App. I 209, aliter § 7

781 *ὡς ἂν ᾖ* Boll Robbins (cf. *ὡς ἐὰν ᾖ* Heph.) *ὡς ἀνεὶ* **V** *ὁσανεὶ* **Y** *ᾧ ἂν ᾖ* **Σβγ** || **782** *ἰδίως δέ ἐστι* **Vβγ** Heph. *ἔστι δὲ πάντων* **α** || **785** *ληστηρίων* **αβγ** *ληστρικῶν* **V** *ληστειῶν* Heph. | *τε* **VDγ** *δὲ* **αMS** (quos sequitur Robbins) | *καὶ* ultimum om. **yYc** || **786** *ἐπιθέσεων*] *ἐπιθετικὸς* **Ym** *ἐπιθε*[τ] **Σ** *ἐπιθεικὸς* **c** | *δυσπλοίας* **Vβγ** Heph. (codd. **AL** *δυσπλίας* cod. **P**) *δυσπνοίας* **αc** (cf. Firm. math. VIII 12,4) || **787** *κακοποιοῦντας* **V** | *συσχηματισμοῖς* **βγ** *σχηματισμοὺς* **V** *σχηματισμοῖς* **α** Heph. || **788** *ἀφημερινῶν* **VΣβAB** Heph. (codd. **LP** ut Ep. IV 17,18, *ἐφημερίων* cod. **A**) *ἀμφημερινῶν* **YC** (corr. ex *ἀφ-*) Procl. Co le p. 73,18 (praetulerunt Boll Robbins) | *ἀναφορικῶν*] *ἀφορικῶν* **y** *ἀναπνοϊκῶν* **m** || **790** *βασιλικὰς* **Vα** Heph. *ἱερατικὰς* **βγ**

προσόδους ἐπισυμβαινόντων καὶ τῆς τῶν ἐθίμων ἢ νομίμων κατὰ καιροὺς ἐναλλοιώσεως, οἰκείως τῇ πρὸς τοὺς ἑκά-
18 *στοτε τῶν ἀστέρων συγκράσει. πρὸς δὲ τὸ περιέχον μᾶλλον ξηρὸς ὢν καὶ εὐκίνητος διὰ τὴν πρὸς τὸν ἥλιον ἐγγύτητα καὶ τὸ τάχος τῆς ἀνακυκλήσεως πνευμάτων ἀτάκτων καὶ* 795 *ὀξέων καὶ εὐμεταβόλων μάλιστα κινητικὸς ὑπάρχει, βροντῶν δὲ εἰκότως καὶ πρηστήρων καὶ χασμάτων καὶ σεισμῶν καὶ ἀστραπῶν ἀποτελεστικός, τῆς τε διὰ τούτων ἐνίοτε περὶ τὰ τῶν ζῴων καὶ τῶν φυτῶν εὔχρηστα φθορᾶς ποιητικός· ὑδάτων τε καὶ ποταμῶν ἐν μὲν ταῖς δύσεσι στερητι-* 800 m 88 *κός, ἐν δὲ ταῖς ἀνατολαῖς πληρωτικός.*

19 *ἰδίως μὲν οὖν τῆς οἰκείας φύσεως ἐπιτυχὼν ἕκαστος τὰ* c 23 *τοιαῦτα ἀποτελεῖ, συγκιρνάμενος δὲ ἄλλος ἄλλῳ κατά τε τοὺς συσχηματισμοὺς καὶ τὰς τῶν ζῳδίων ἐναλλοιώσεις καὶ τὰς πρὸς ἥλιον φάσεις, ἀναλόγως τε καὶ τὴν ἐν τοῖς* 805 *ἐνεργήμασι σύγκρασιν λαμβάνων μεμιγμένην ἐκ τῶν κεκοινωνηκυιῶν φύσεων τὴν περὶ τὸ ἀποτελούμενον ἰδιοτροπίαν*

S **794** *εὐκίνητος* Ap. I 4,7 (ubi plura)

791 *προσόδους* **VαS** Heph. (codd. **AP** ut Ep. IV 17,18) *παρόδους* **DMγ** *προόδους* Heph. (cod. L) || **792** *ἐναλλοιώσεως* **VY** Heph. *ἀλλοιώσεως* **Σβγ** | *οἰκείως* **αDγ** *οἰκείας* **VMS** | *τοὺς* **Vβγ** Heph. *αὐτοὺς* **α** (quos secutus est Robbins) || **794** *τὴν*] *τῆς* **VY** || **795** *ἀνακυκλήσεως* **β** Heph. (codd. **AL** ut Ep. IV 17,18) *ἀνακλήσεως* **Vγ** *ἀνακυκλώσεως* **α** || **801** *ἐν* ... *πληρωτικός* om. **Y** | *ἀνατολαῖς* om. **V** brevi spatio relicto || **803** *ἄλῳ* **V**, cf. l. 843 || **804** *συσχηματισμοὺς* **VDγ** Procl. *σχηματισμοὺς* **αMS** | *ἐναλλοιώσεις*] cf. indicem necnon Liddell-Scott, Supplementum *ἐναλλαγὰς* **Σc** *ἐναλλαιώσεις* Feraboli temere

ποικίλην οὖσαν ἀπεργάζεται. ἀπείρου δὲ ὄντος καὶ ἀδυνά- 20
του καθ' ἑκάστην σύγκρασιν τὸ ἴδιον ὑπομνηματίζειν ἀπο-
810 *τέλεσμα καὶ πάντας ἁπλῶς τοὺς καθ' ὁποιονδήποτε τρό-*
πον σχηματισμοὺς διεξελθεῖν οὕτως γε πολυμερῶς νοουμέ-
νους, εἰκότως ἂν καταληφθείη τὸ τοιοῦτον εἶδος ἐπὶ τῇ
τοῦ μαθηματικοῦ πρὸς τὰς κατὰ μέρος διακρίσεις ἐπιβολῇ
καὶ ἐπινοίᾳ.
815 *παρατηρεῖν δὲ δεῖ καὶ πῶς ἔχουσι συνοικειώσεως οἱ τοῦ* 21
προτελέσματος τὴν κυρίαν λαβόντες ἀστέρες πρὸς αὐτὰς
τὰς χώρας ἢ τὰς πόλεις αἷς τὸ σύμπτωμα διασημαίνεται.
ἀγαθοποιοὶ μὲν γὰρ ὄντες ἀστέρες καὶ συνοικειούμενοι
τοῖς διατιθεμένοις καὶ μὴ καθυπερτερούμενοι ὑπὸ τῶν τῆς
820 *ἐναντίας αἱρέσεως ἔτι μᾶλλον ἀπεργάζονται τὸ κατὰ τὴν*
ἰδίαν φύσιν ὠφέλιμον, ὥσπερ μὴ συνοικειούμενοι ἢ καθ-
m 89 *υπερτερούμενοι ὑπὸ τῶν ἀντικειμένων ἧττον ὠφελοῦσι. τῆς* 22

S 808 *ποικίλην* Ap. III 14,2. IV 4,9. 9,2, cf. Val. V 6,64. Firm. math. III 6,26

808 *ἀπείρου* **Vβγ** Heph. (cod. **L** ut Ep. IV 17,20) *ἀποίρου* **Y** *ἀπόρου* **Σ** Heph. (codd. **AP**) ‖ **809** *ὑπομνηματίζειν* **αγ** *ὑπομνηματιζόμενον* **VDS** *ἀπομνηματιζόμενον* **M** ‖ **810** *ὁποιονδήποτε* **Σβγ** Procl. *ὁποιουσδήποτε* **Y** Heph. *ὁποιονοῦν* **V** ‖ **811** *σχηματισμοὺς* **Vβγ** Heph. (cod. **P**) *συσχηματισμοὺς* **α** Heph. (codd. **AL** ut Ep. IV 17,20) | *νοουμένους* **Dγ** *νοούμενος* **V** *νοουμένας* **MS** *νοουμένου* **α** ‖ **812** *καταληφθείη* **ωc** Heph. Ep. IV 17,20 *καταλειφθείη* **m** Heph. (codd. **ALP**), quos secutus est Boll | *ἐπὶ* **ω** del. Boll ex *ἐπιβολῇ* irreptum esse iudicans ‖ **815** *δεῖ*] *δέον* **Σc** | *οἰκειώσεως* **V** (quem secutus est Robbins) ‖ **816** *προτελέσματος* **Vβγ** *ἀποτελέσματος* **α** | *πρὸς ... τὸ* om. **Y** ‖ **817** *αἷς* **S** Heph. *αἱ* **V** *ἐν αἷς* **ΣDMγ** ‖ **818** *ἀστέρες* **VDγ** Procl. om. **αMS** Heph.

δὲ βλαπτικῆς κράσεως ὄντες καὶ τὴν κυρίαν λαβόντες τοῦ προτελέσματος, ἐὰν μὲν συνοικειούμενοι τοῖς διατιθεμένοις τύχωσιν ἢ καθυπερτερηθῶσιν ὑπὸ τῶν τῆς ἐναντίας αἱρέ- 825 *σεως, ἧττον βλάπτουσιν. ἐὰν δὲ μήτε τὴν οἰκοδεσποτείαν ἔχωσι τῶν χωρῶν μήτε καθυπερτερῶνται ὑπὸ τῶν οἰκείως πρὸς αὐτὰς ἐχόντων, σφοδρότερον τὸ ἐκ τῆς κράσεως φθοροποιὸν ἐπισκήπτουσιν.*

23 *ὡς ἐπίπαν μέντοι συνεμπίπτουσι τοῖς καθολικοῖς πάθε-* 830 *σιν ἐκεῖνοι τῶν ἀνθρώπων ὅσοι ποτ' ἂν κατὰ τὰς ἰδίας γενέσεις τοὺς ἀναγκαιοτάτους τόπους (λέγω δὴ τοὺς φωσφοροῦντας ἢ τοὺς τῶν κέντρων) τοὺς αὐτοὺς τύχωσιν ἔχοντες τοῖς τὸ αἴτιον ἐμποιήσασι τῶν καθολικῶν συμπτωμάτων, τουτέστι τοῖς ἐκλειπτικοῖς ἢ καὶ τοῖς τούτων διαμέτροις.* 835 *τούτων δὲ ἐπισφαλέσταται μάλιστα καὶ δυσφύλακτοι τυγχάνουσιν αἱ μοιρικαὶ θίξεις ἢ διαμετρήσεις τῶν ἐκλειπτικῶν τόπων πρὸς ὁπότερον τῶν φώτων.*

S 837 *μοιρικαὶ* Ap. III 3,4. 10,2. Ant. CCAG VIII 3 (1912) p. 114,33. Val. I 4,10. al. (v. indicem). Porph. 51 p. 223,16. Firm. math. II 3,2. al. (v. indicem s.v. *partiliter*). Heph. II 18,26. III 4,21. Olymp. 1 p. 1,13

826 *ἧττον* **Vβγ** Heph. *ἔλαττον* **α** ‖ **827** *καθυπερτεροῦντα* **α** ‖ **831** *ποτ' ἂν* om. **αc** ‖ **832** *τοὺς* (prius)] *ἔχοντες τοὺς* **β** ‖ **834** *καθολικῶν* **Σβγ** Heph. *κολικῶν* **VY** ‖ **837** *θίξεις* Boll (coll. Heph.) *θήξεις* **Vβγ** *καθέξεις* **α**

ι′. *Περὶ χρωμάτων ἐκλείψεων καὶ κομητῶν*
840 *καὶ τῶν τοιούτων*

Τηρητέον δὲ πρὸς τὰς καθόλου περιστάσεις καὶ τὰ περὶ 1
τὰς ἐκλείψεις χρώματα ἤτοι τῶν φώτων αὐτῶν ἢ τῶν περὶ
αὐτὰ γινομένων συστημάτων, οἷον ῥάβδων ἢ ἅλων ἢ τῶν
m 90 *τοιούτων. μέλανα μὲν γὰρ ἢ ὑπόχλωρα φανέντα σημαν-*
c 23[v] 845 *τικὰ γίνεται τῶν ἐπὶ τῆς τοῦ Κρόνου φύσεως εἰρημένων,*
λευκὰ δὲ τῶν ἐπὶ τῆς τοῦ Διός, ὑπόκιρρα δὲ τῶν ἐπὶ τῆς
τοῦ Ἄρεως, ξανθὰ δὲ τῶν ἐπὶ τῆς τῆς Ἀφροδίτης, ποικίλα
δὲ τῶν ἐπὶ τῆς τοῦ Ἑρμοῦ. κἂν μὲν ἐν ὅλοις τοῖς σώμασι 2
τῶν φώτων ἢ ἐν ὅλοις τοῖς περὶ αὐτὰ τόποις τὸ γινόμενον
850 *ἰδίωμα τῆς χροιᾶς φαίνηται, περὶ τὰ πλεῖστα μέρη τῶν*
χωρῶν ἔσται τὸ ἀποτελεσθησόμενον· ἐὰν δὲ ἀπὸ μέρους
οἱουδήποτε, περὶ ἐκεῖνο μόνον τὸ μέρος καθ᾽ οὗ ἂν καὶ ἡ
πρόσνευσις τοῦ ἰδιώματος γίνηται.

τηρητέον δὲ ἔτι καὶ τὰς συνισταμένας ἤτοι κατὰ τοὺς 3
855 *ἐκλειπτικοὺς καιροὺς ἢ καὶ ὁτεδήποτε κομητῶν ἐπιφανείας*

T 839–877 cod. Marcianus gr. 334 (CCAG II [1900] p. 16) fol. 8[v] || **839–870** (§ 1–4) Heph. I 24,1–4 || **841–853** (§ 1–2) Lyd. Ost. 9[a] p. 20,7–21,6 || **854–862** Lyd. Ost. 10 p. 28,5–29,2 || **857** Lyd. Ost. 10 p. 32,5–6

S 855 *κομητῶν* Manil. I 835–858. Plin. nat. II 89–90. Achill. Isag. 34 p. 69,4–7. Heph. I 24,5–12. Lyd. Ost. 10–15[b]

839 *ἐκλείψεων* **Vβγ** *τῶν ἐκλείψεων* **α** || **841** *πρὸς* **VΣSγ** *περὶ* **Y** om. **DM**, cf. l. 672 | *καθόλου* **VαS** *καθολικὰς* **DMγ** | *περὶ* **Vβγ** *κατὰ* **α** (maluit Boll) || **842** *τῶν φώτων αὐτῶν* **Vβγ** *αὐτῶν τῶν φώτων* **α** || **843** *ἅλων* **Σ** (post corr.) **m** (cf. l. 803) *ἄλλων* **VΣ** (ante corr.) **c** Heph. (qui postea om. *ἢ*, cod. **A** etiam *τῶν*) *ἄθλων* **Y** *ἁλώνων* **βγ** || **847** *ξανθὰ* … *Ἀφροδίτης* om. **V** || **852** *οἱουδήποτε* **Vβγ** *ὁποιουδήποτε* **α** | *μόνον* **VDMγ** Heph. Procl. *μὲν ὂν* **Y** om. **ΣSc** || **853** *προσνεύσεις* **V** || **854** *ἔτι* **Vα** om. **βγ** Heph. | *ἤτοι* om. **V**

πρὸς τὰς καθόλου περιστάσεις (οἷον τῶν καλουμένων δοκίδων ἢ σαλπίγγων ἢ πίθων καὶ τῶν τοιούτων) ὡς ἀποτελεστικὰς μὲν φύσει τῶν ἐπὶ τοῦ τοῦ Ἄρεως καὶ τοῦ τοῦ Ἑρμοῦ ἰδιωμάτων (πολέμων τε καὶ καυσωδῶν ἢ κινητικῶν καταστημάτων καὶ τῶν τούτοις ἐπισυμβαινόντων), δηλούσας δὲ διὰ μὲν τῶν τοῦ ζῳδιακοῦ μερῶν, καθ' ὧν ἂν αἱ συστάσεις αὐτῶν φαίνωνται, καὶ τῶν κατὰ τὰ σχήματα τῆς κόμης προσνεύσεων τοὺς τόπους οἷς ἐπισκήπτουσι τὰ συμπτώματα· διὰ δὲ τῶν αὐτῆς τῆς συστάσεως ὡσπερεὶ μορφώσεων τό τε εἶδος τοῦ ἀποτελέσματος καὶ τὸ γένος, περὶ ὃ τὸ πάθος ἀποβήσεται, διὰ δὲ τοῦ χρόνου τῆς ἐπιμονῆς τὴν παράτασιν τῶν συμπτωμάτων, διὰ δὲ τῆς πρὸς τὸν ἥλιον σχέσεως καὶ τὴν καταρχήν, ἐπειδήπερ ἑῷοι

(marginal: 860; 4; 865; m 91)

S **868–869** *ἑῷοι … ἑσπέριοι* cf. Ap. I 6,2

857 *πίθων* **Σβγc** Heph. *πιθείων* **V** *πιθίων* **Y** | *ἀποτελεστικὰς* **Vβγ** Heph. *ἀποτελεσματικὰς* **α** ‖ **858** *φύσει* **VΣ** Heph. *φύσεις* **Yβγ** | *τοῦ τοῦ* (prius) **γ** *τὴν τοῦ* **VD** *τοῦ* **αMS** Heph. *τῆς* (scilicet *φύσεως*) *τοῦ* Boll coll. l. 845. al. | *τοῦ τοῦ* (alterum) **γ** *τὴν τοῦ* **V** *τὼν τοῦ* **Y** *τοῦ* **Σ** Heph. *τῶν τοῦ* **β** *τῆς τοῦ* Boll ut linea praecedenti ‖ **859** ante *ἰδιωμάτων*: ⟨*εἰρημένων*⟩ supplevit Boll e l. 845 | *καὶ πολέμων* **β** | *πολέμων … καταστημάτων* om. **Y** | *καυσωδῶν* **Vβγ** (*καυσώδων* Robbins tacite, fortasse solis grammaticorum libris fultus) *καυσώνων* **Σc** om. **Y** ‖ **860** *καὶ τῶν τούτοις* **Vα** Heph. Co le p. 76,–5 *αὐταῖς* **βγ** | *ἐπισυμβαινόντων* **VαDγ** Heph. *ἐπισημαινόντων* **MS** ‖ **861–862** *αἱ συστάσεις* **VαDγ** Heph. *ἡ σύστασις* **MS** ‖ **862** *φαίνωνται* **Σ** *φαίνονται* **VYDγ** Heph. *φαίνηται* **MS** ‖ **864** *ὡσπερεὶ* Heph. (cod. **A**) *ὡς περὶ* **V** Heph. (cod. **L**) *ὥσπερ* **α** *περὶ* **βγ** (*περιμορφώσεων* contraxit **M**) ‖ **868** *καὶ* **VY** om. **Σβγc** neglexit Boll | *τὴν*] *τῶν* **V** ut 1,168 q. v. | *ἐπειδήπερ* **Vβγ** Heph. *ἐπείπερ* **α**

μὲν ἐπιπολὺ φαινόμενοι τάχιον ἐπισημαίνουσι, ἑσπέριοι δὲ
870 *βράδιον.*

ια′. Περὶ τῆς τοῦ ἔτους νεομηνίας

Δεδειγμένης δὲ τῆς ἐφόδου τῶν περὶ τὰ καθόλου περιστά- 1
σεων χωρῶν τε καὶ πόλεων, λοιπὸν ἂν εἴη καὶ περὶ τῶν
λεπτομερεστέρων ὑπομνηματίσασθαι· λέγω δὲ τῶν ἐνιαυ-
875 *σίως περὶ τὰς ὥρας ἀποτελουμένων, πρὸς ἣν ἐπίσκεψιν*
καὶ περὶ τῆς καλουμένης τοῦ ἔτους νεομηνίας ἁρμόζον ἂν
εἴη προδιαλαβεῖν. ὅτι μὲν οὖν ἀρχὴν ταύτην εἶναι προσή-
κει τῆς τοῦ ἡλίου καθ' ἑκάστην περιστροφὴν ἀποκαταστά-
σεως, δῆλόν ἐστιν αὐτόθεν καὶ ἀπὸ τῆς δυνάμεως καὶ ἀπὸ
880 *τῆς ὀνομασίας. τίνα δ' ἄν τις ἀρχὴν ὑποστήσαιτο, ἐν κύ-* 2
κλῳ μὲν αὐτὸ μόνον ἁπλῶς οὐδ' ἂν ἐπινοήσειεν, ἐν δὲ τῷ
διὰ μέσων τῶν ζῳδίων μόνας ἂν εἰκότως ἀρχὰς λάβοι τὰ
ὑπὸ τοῦ ἰσημερινοῦ καὶ τῶν τροπικῶν ἀφοριζόμενα ση-
μεῖα, τουτέστι τά τε δύο ἰσημερινὰ καὶ τὰ δύο τροπικά.
885 *ἐνταῦθα μέντοι τις ἀπορήσειεν ἂν ἤδη, τίνι τῶν τεσσάρων*

T 874–877 Theoph. Edess. CCAG I (1898) p. 130,12–15

S 883 *ἰσημερινοῦ … τροπικῶν* Synt. III 1 p. 192,19–22

869 *ἐπιπολὺ φαινόμενοι*] *ἐπιφαινόμενοι* Heph. | *φαινόμενοι* **βγ** (cf. Heph.) *φαινόμεναι* **Vα** ‖ **871** titulum hic praebent **VαDγ**, post 877 *προδιαλαβεῖν* **yMS** Procl. ‖ **872** *τῆς ἐφόδου … πόλεων* **Vβγ** (sim. Co le p. 77,12) *τῆς περὶ τὰς* [*τὰ* Y] *καθόλου περιστάσεις* [*περιστάσεων* Y] *χωρῶν τε καὶ πόλεων ἐφόδου* **αc** *τῆς ἐφόδου τῆς περὶ τὰς … πόλεων* Robbins tacite | *καθόλα* **VM** | *παραστάσεων* V, cf. 2,122 ‖ **874** *ἐνιαυσιαίως* **Σ** ‖ **885** *ἀπορήσειεν ἄν τις ἤδη* **γ** | *ἤδη* **Σγ** *εἴδη* **VY** *εἰ δὴ* **MS** *εἴδει* **D**

ὡς προηγουμένῳ χρήσαιτ' ἄν. κατὰ μὲν οὖν τὴν ἁπλῆν καὶ κυκλικὴν φύσιν οὐδὲν αὐτῶν ἐστιν ὡς ἐπὶ μιᾶς ἀρχῆς
3 *προηγούμενον· κέχρηνται δὲ οἱ περὶ τούτων γράψαντες ἕν τι ὑποτιθέμενοι, διαφόρως ἑκάστῳ τῶν τεσσάρων ὡς ἀρχῇ,* c 24 m 92
κατά τινας οἰκείους λόγους καὶ φυσικὰς συμπαθείας ἐνεχθέντες. καὶ γὰρ ἔχει τι τῶν μερῶν τούτων ἕκαστον ἐξαίρετον, ἀφ' οὗ ἂν ἀρχὴ καὶ νέον ἔτος εἰκότως νομίζοιτο· τὸ μὲν ἐαρινὸν ἰσημερινὸν διά τε τὸ πρώτως τότε μείζονα τὴν ἡμέραν τῆς νυκτὸς ἄρχεσθαι γίνεσθαι καὶ διὰ τὸ τῆς ὑγρᾶς ὥρας εἶναι, ταύτην δὲ τὴν φύσιν, ὡς καὶ πρότερον 895
[I 10,1] *ἔφαμεν, ἀρχομέναις ταῖς γενέσεσι πλείστην ἐν-*
4 *υπάρχειν· τὸ δὲ θερινὸν τροπικὸν διὰ τὸ κατ' αὐτοῦ τὴν μεγίστην ἡμέραν ἀποτελεῖσθαι, παρὰ δὲ Αἰγυπτίοις καὶ τὴν τοῦ Νείλου ἀνάβασιν καὶ Κυνὸς ἄστρου ἐπιτολὴν ἐπισημαίνειν· τὸ δὲ μετοπωρινὸν ἰσημερινὸν διὰ τὸ* 900

T 892–909 Theoph. Edess. CCAG I (1898) p. 131,17–21

S 895 *ὑγρᾶς* Ap. I 10,2 ‖ **899** *Κυνὸς ... ἐπιτολὴν* Cens. nat. 18,10. Val. I 10,13. Porph. Antr. Nymph. 24. Horapollo I 3 p. 6,4 Sbordone. "Mercurius" apud Theoph. Edess. CCAG I (1898) p. 128,7, cf. Calc. in Tim. 125 p. 168,17 Waszink

886 *ὡς* **α** om. **Vβγ** | *προηγουμένῳ* **α** *προηγουμένων* **VD** *προηγούμενον* **MS** *προηγουμένως* **γ** | *ἄν* om. **α** fort. recte ‖ **887** *ἐπὶ*] *ἀπὸ* **α**, cf. 1,254 ‖ **888** *ἕν τι* **VYβγ** *ἕν τῇ* (ω supra) **y** *ἐνί τινι* **Σc** ‖ **889** *ὑποθέμενοι* **α** | ante *διαφόρως* interpunxit Boll, postea Robbins | *ἀρχῇ* Boll *ἀρχὴν* **ω** ‖ **890** *συμπαθείας* **VYβγ** *ἐμπαθείας* **Σc** ‖ **891** *ἔχει τι* **VDγ** *ἔχει* **α** *ἐπὶ* **MS** ‖ **892** *ἂν ἀρχὴ* **β** *ἐν ἀρχῇ* **V** *ἂν ἀρχὴν* **Yc** (recepit Boll) *ἀρχὴ* **Σ** ‖ **893** *πρώτως*] *πρῶτον* **VY** ut l. 903 ‖ **896** *πλεῖστον* **Y** ‖ **897** *θερινὸν δὲ* **S** | *τροπικὸν θερινὸν* **DM** ‖ **897** *κατ' αὐτοῦ τὴν* **Vβγ** *κατ' αὐτὸ τὴν* **Σ** *κατὰ τὴν* **Y** ‖ **900** *ἐπισημαίνειν* **VYS** *σημαίνειν* **Σ** *ἐπισυμβαίνειν* **DMγ**

γεγονέναι πάντων ἤδη τῶν καρπῶν συγκομιδήν, τότε δὲ ἀπ' ἄλλης ἀρχῆς τὸν τῶν ἐσομένων σπόρον καταβάλλεσθαι· τὸ δὲ χειμερινὸν τροπικὸν διὰ τὸ πρώτως ἄρχεσθαι τότε τὸ μέγεθος τῆς ἡμέρας ἀπὸ μειώσεως αὔξησιν
905 *λαμβάνειν. οἰκειότερον δέ μοι δοκεῖ καὶ φυσικώτερον πρὸς* 5 *τὰς ἐνιαυσίους ἐπισκέψεις ταῖς τέτταρσιν ἀρχαῖς χρῆσθαι, παρατηροῦντας τὰς ἔγγιστα αὐτῶν προγινομένας ἡλίου καὶ σελήνης συζυγίας συνοδικὰς ἢ πανσεληνιακάς, καὶ μάλιστα πάλιν τούτων τὰς ἐκλειπτικάς, ἵνα ἀπὸ μὲν τῆς ἐν τῇ*
910 *περὶ τὸν Κριὸν ἀρχῇ τὸ ἔαρ ὁποῖον ἔσται διασκεψώμεθα,*
m 93 *ἀπὸ δὲ τῆς περὶ τὸν Καρκίνον τὸ θέρος, ἀπὸ δὲ τῆς περὶ τὰς Χηλὰς τὸ μετόπωρον, ἀπὸ δὲ τῆς περὶ τὸν Αἰγόκερων τὸν χειμῶνα.*

τὰς μὲν γὰρ καθόλου τῶν ὡρῶν ποιότητας καὶ καταστά- 6
915 *σεις ὁ ἥλιος ποιεῖ, καθ' ἃς καὶ οἱ παντελῶς ἄπειροι μαθημάτων πρόγνωσιν ἔχουσι τοῦ μέλλοντος. ἔτι δὲ καὶ τὰς τῶν ζῳδίων ἰδιοτρόπους εἰς τοῦτο παρασημασίας περὶ ἀνέμων τε καὶ τῶν ὁλοσχερεστέρων φύσεων παραληπτέον. τὰς δὲ* 7 *ἐν τῷ μᾶλλον ἢ ἧττον κατὰ καιροὺς ἐναλλοιώσεις καθόλου*

S **909–913** (§ 5 fin.) Theophr. Sign. 56 ‖ **915** *ὁ ἥλιος* Ap. I 2,7

903 *πρῶτον* **VY**, cf. l. 893 ‖ **906** *ταῖς* **VDγ** *τὸ ταῖς* **MS** om. **α** ‖ **909** *ἐν τῇ* **V** *ἐν τῷ* **β** om. **αγ** ‖ **910** *τὸν Κριὸν* **MSγ** *τὴν ἐν τῷ* ♈ **Y** *τὴν* (*τοῦ* in margine) ♈ **Σ** *Κριὸν* **V** *Κριοῦ* **D** *τὴν τοῦ* ♈ **c** | *ἀρχῇ* **y** (inde Boll) *ἀρχῆς* **Vβγ** (recepit Robbins) *ἀρχὴν* **αc** | *ἔσται* **βγ** *ἔστι* **Vα** | *διασκεψώμεθα* **V** *διασκοπώμεθα* **βγ** *διασκεπτώμεθα* **α** ‖ **914** *καταστάσεις ἃς* **γ** ‖ **917** *ἰδιοτρόπους* **V** Procl. *ἰδιοτροπίας* **αβγ** | *τοῦτο* **V** *τοῦτο γὰρ* **Y** *τε τὰς* **Σ** *τε τὸ* **β** | *παρασημασίας* **Vα** *περὶ σημασίας* **βγ** | *περὶ ἀνέμων* **MS** *ἀνέμων* **VαDγ** (quos secuti sunt edd.) ‖ **918** *παραληπτέον* **ω** non legisse videntur Co p. 79,22 Procl.

μὲν πάλιν αἱ περὶ τὰ προειρημένα σημεῖα γινόμεναι συζυγίαι καὶ οἱ τῶν πλανητῶν πρὸς αὐτὰς συσχηματισμοὶ δεικνύουσι, κατὰ μέρος δὲ καὶ αἱ καθ' ἕκαστον δωδεκατημόριον σύνοδοι καὶ πανσέληνοι καὶ αἱ τῶν ἀστέρων ἐπιπορεύσεις, ἣν δὴ μηνιαίαν ἐπίσκεψιν ἄν τις προσαγορεύοι. 920

ιβ'. Περὶ τῆς μερικῆς πρὸς τὰ καταστήματα φύσεως τῶν ζῳδίων 925

1 *Προεκτεθῆναι δὲ ὀφειλόντων εἰς τοῦτο καὶ τῶν ἐν μέρει κατὰ ζῴδιον πρὸς τὰ ἐνιαύσια καταστήματα φυσικῶν ἰδιωμάτων καὶ ἔτι τῶν καθ' ἕκαστον ἀστέρων, τὴν μὲν τῶν πλανητῶν καὶ τῶν τῆς ὁμοίας κράσεως ἀπλανῶν πρὸς τοὺς* 930 *ἀέρας τε καὶ τοὺς ἀνέμους συνοικείωσιν καὶ ἔτι τὴν τῶν ὅλων δωδεκατημορίων πρός τε τοὺς ἀνέμους καὶ τὰς ὥρας ἕκαστα δεδηλώκαμεν ἐν τοῖς ἔμπροσθεν* [I 4–13. II 3–4]. *ὑπόλοιπον δ' ἂν εἴη καὶ περὶ τῆς ἐπὶ μέρους τῶν ζῳδίων* m 94 *φύσεως εἰπεῖν.* 935

921 *αὐτὰς* **Vα** *αὐτοὺς* **βγ** | *συσχηματισμοὶ* **VαS** *σχηματισμοὶ* **DMγ** ‖ **924** *δὴ μηνιαίαν* **VβC** *δ μηνιαίαν* **y** *διμηνέαν* **Y** (ut videtur) **G** *δὴ νουμηναίαν* **B** *διμηνιαίαν* **Σc** *μηνιαίαν* **m** | *προσαγορεύοι* **Vαβ** *προσαγορεύη* **y** *προσαγορεύσοι* **AC** (ut vid.) **c** *προσαγορεύσῃ* (οι) **B** ‖ **925** titulum hic praebet **α**, post 935 *εἰπεῖν* **Vβ** (**S** spatium tantum) **γ** Procl. ‖ **927** *προεκτεθῆναι* **yGβ** (cf. *προεκπεθῆναι* **Y**) *προεκτεθεῖναι* **VΣγc** ‖ **928** *τῶν φυσικῶν* **VY** (recepit Robbins) ‖ **929** *τὴν … ἀπλανῶν*] *καὶ τῶν τῆς ὁμοίας κράσεως πλανητῶν τε καὶ ἀπλανῶν* **MS** ‖ **931** *ἀέρας τε* **VDγ** *εάρας* **Y** *ἀέρος* **Σ** *ὥρας τε* **MS** | *συνοικείωσιν* **V** *συνοικειώσεως* **βγ** *οἰκειώσεις* **α** | *τὴν* **Vα** *τῆς* **βγ** ‖ **933** *ἕκαστα* om. **αc**

c 24ᵛ *τὸ μὲν οὖν τοῦ Κριοῦ δωδεκατημόριον καθόλου μέν* 2
ἐστι διὰ τὴν ἰσημερινὴν ἐπισημασίαν βροντῶδες καὶ χαλα-
ζῶδες, κατὰ μέρος δὲ ἐν τῷ μᾶλλον ἢ ἧττον ἀπὸ τῆς τῶν
κατ' αὐτὸν ἀπλανῶν ἀστέρων ἰδιότητος τὰ μὲν προηγού-
940 *μενα αὐτοῦ ὀμβρώδη καὶ ἀνεμώδη, τὰ δὲ μέσα εὔκρατα,*
τὰ δὲ ἑπόμενα καυσώδη καὶ λοιμικά, τὰ δὲ βόρεια καυμα-
τώδη καὶ φθαρτικά, τὰ δὲ νότια κρυσταλλώδη καὶ ὑπό-
ψυχρα. τὸ δὲ τοῦ Ταύρου δωδεκατημόριον καθόλου μέν 3
ἐστιν ἐπισημαντικὸν ἀμφοτέρων τῶν κράσεων καὶ ὑπόθερ-
945 *μον, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καὶ μάλιστα*
τὰ κατὰ τὴν Πλειάδα σεισμώδη καὶ πνευματώδη καὶ ὁμι-
χλώδη, τὰ δὲ μέσα ὑγραντικὰ καὶ ψυχρά, τὰ δὲ ἑπόμενα
κατὰ τὴν Ὑάδα πυρώδη καὶ κεραυνῶν καὶ ἀστραπῶν
ποιητικά, τὰ δὲ βόρεια εὔκρατα, τὰ δὲ νότια κινητικὰ καὶ
950 *ἄτακτα. τὸ δὲ τῶν Διδύμων δωδεκατημόριον καθόλου* 4

T 936–993 (§ 2–8) Heph. I 1 passim. Rhet. W passim. Anon. R ‖ **936–943** (§ 2) Heph. I 1,4. Rhet. W p. 124,17–22 ‖ **937–941** Val. I 2,3. Rhet. M ‖ **943–950** (§ 3) Heph. I 1,24. Rhet. W p. 125,14–19 ‖ **950–955** Heph. I 1,43. Rhet. W p. 126,13–16

S 936–993 (§ 2–8) Germ. frg. 3 ‖ **937–938** *βροντῶδες καὶ χαλαζῶδες* Iulian. Laodic. CCAG IV (1903) p. 152,18. Anon. S l. 4 | *χαλαζῶδες* Germ. frg. 3,1. Anon. De stellis fixis IV 1,2 ‖ **946** *σεισμώδη* Anon. apud Lyd. Ost. p. 174,⟨15⟩. Anon. De stellis fixis IV 2,1

936 incipit L | *οὖν* om. **S** ‖ **938** *τῶν* om. **α** ‖ **944** *ἐπισημαντικὰ* **V** ‖ **946** *τὴν πλειάδα* **Vβγ** Heph. Procl. (cf. Synt. VII 5 p. 90,2–5) *τὰς πλοιάδας* **Y** *τὰς πλειάδας* **GΣc**, cf. comm. ad Anon. De stellis fixis I 2,1 ‖ **948** *κεραυνῶν* **αMS** Heph. Rhet. W p. 125,18 *κεραυνώδη* **VLDγ**

μέν ἐστιν εὐκρασίας ποιητικόν, κατὰ μέρος δὲ τὰ μὲν
προηγούμενα αὐτοῦ δίυγρα καὶ φθαρτικά, τὰ δὲ μέσα εὔ-
κρατα, τὰ δὲ ἑπόμενα μεμιγμένα καὶ ἄτακτα, τὰ δὲ βό-
ρεια πνευματώδη καὶ σεισμοποιά, τὰ δὲ νότια ξηρὰ καὶ
καυσώδη. τὸ δὲ τοῦ Καρκίνου δωδεκατημόριον καθόλου 955
μέν ἐστιν εὐδιεινὸν καὶ θερμόν, κατὰ μέρος δὲ τὰ μὲν m 95
προηγούμενα αὐτοῦ καὶ κατὰ τὴν Φάτνην πνιγώδη καὶ
σεισμοποιὰ καὶ ἀχλυώδη, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπό-
μενα πνευματώδη, τὰ δὲ βόρεια καὶ τὰ νότια ἔκπυρα καὶ
5 *καυσώδη. τὸ δὲ τοῦ Λέοντος δωδεκατημόριον καθόλου* 960
μέν ἐστι καυματῶδες καὶ πνιγῶδες, κατὰ μέρος δὲ τὰ μὲν
προηγούμενα αὐτοῦ πνιγώδη καὶ λοιμικά, τὰ δὲ μέσα εὔ-
κρατα, τὰ δὲ ἑπόμενα ἔνικμα καὶ φθοροποιά, τὰ δὲ βό-
ρεια κινητικὰ καὶ πυρώδη, τὰ δὲ νότια δίυγρα. τὸ δὲ τῆς
Παρθένου δωδεκατημόριον καθόλου μέν ἐστι δίυγρον 965

T 955–960 Heph. I 1,62. Rhet. W p. 127,2–6 || **960–964** Heph. I 1,82. Rhet. W p. 127,35–128,3 || **964–969** Heph. I 1,101. Rhet. W p. 128,29–32

S 951 *εὐκρασίας* Anon. De stellis fixis IV 3,1 || **954** *σεισμοποιά* Rhet. M (CCAG II [1900] cod. 7) fol. 392v–393r. Anon. S l. 12. Anon. apud Lyd. Ost. p. 174,⟨17⟩. Anon. De stellis fixis IV 3,2–4 || **956** *εὐδιεινὸν* Val. I 2,32 || **959** *πνευματώδη* Anon. De stellis fixis IV 4,1–2 || **961** *καυματῶδες* Anon. De stellis fixis IV 5,1 || **965** *δίυγρον* Germ. frg. 3,10

956 *εὐδιεινὸν* **βγ** Heph. (cod. **P** ut Ep. IV 1,56) *εὔδινον* **V** *εὐδήνον* **L** *εὔδιον* **α** Anon. R *εὐδεινὸν* Heph. (cod. **A**) | *θερμόν* **VLβγ** Procl. *θερινόν* **α** (*θερμόν* Σ^2 in margine) Anon. R || **957** *καὶ σεισμοποιὰ καὶ ἀχλυώδη* om. **VL** Procl. || **959** post *ἔκπυρα*: *καὶ φθαρτικὰ* add. **αc** || **960** *καυσώδη*] *καυστικά* **MS** || **962** *καὶ λοιμικά* om. **MS** || **963** *ἔνικμα* **VGβγ** Heph. *ἔνηκμα* **Y** *ἄνικμα* **Σc** *αἴνιγμα* **y** *ἔνυγρα* Procl.

καὶ βροντῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ θερμότερα καὶ φθαρτικά, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ὑδατώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια εὔκρατα. τὸ δὲ τῶν Χηλῶν δωδεκατημόριον καθόλου μέν **6**
970 *ἐστι τρεπτικὸν καὶ μεταβολικόν, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καὶ τὰ μέσα ἐστὶν εὔκρατα, τὰ δὲ ἑπόμενα ὑδατώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια ἔνικμα καὶ λοιμικά. τὸ δὲ τοῦ Σκορπίου δωδεκατημόριον καθόλου μέν ἐστι βροντῶδες καὶ πυρῶδες, κατὰ μέρος δὲ*
975 *τὰ μὲν προηγούμενα αὐτοῦ νιφετώδη, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα σεισμώδη, τὰ δὲ βόρεια καυσώδη, τὰ*
m 96 *δὲ νότια ἔνικμα. τὸ δὲ τοῦ Τοξότου δωδεκατημόριον καθόλου μέν ἐστι πνευματῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ δίυγρα, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπό-* **7**
c 25 980 *μενα πυρώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια κάθυγρα καὶ μεταβολικά. τὸ δὲ τοῦ Αἰγόκερω δωδεκατη-*

T 969–973 Heph. I 1,120. Rhet. W p. 129,25–28 || **973–977** Heph. I 1,140. Rhet. W p. 130,13–17 || **977–981** Heph. I 1,159. Rhet. W p. 131,4–7 || **981–985** Heph. I 1,179. Rhet. W p. 132,1–4

S 966 *βροντῶδες* Iulian. Laodic. CCAG IV (1903) p. 152,18. Anon. S l. 26 || **968** *πνευματώδη* Anon. De stellis fixis IV 6,4 || **972** *πνευματώδη* Anon. De stellis fixis IV 7,1–2 || **974** *βροντῶδες καὶ πυρῶδες* Iulian. Laodic. CCAG IV (1903) p. 152,18/21 | *πυρῶδες* Germ. frg. 3,12 || **976** *σεισμώδη* Anon. apud Lyd. Ost. p. 174,⟨19⟩ || **977** *ἔνικμα* Anon. De stellis fixis IV 8,3.5 || **978** *πνευματῶδες* Ap. I 18,5. Anon. S l. 40 || **979** *δίυγρα* Anon. De stellis fixis IV 9,1

970 *τρεπτικὸν* **αβγ** Heph. Anon. R *τροπικὸν* **VL** Rhet. W p. 129,25, cf. 4,643 | *μεταβολικόν* **VLβγ** Heph. Rhet. W ibid. *μεταβωλητικόν* **Y** *μεταβλητικόν* **yΣc** Anon. R || **973** *ἔνικμα*] *ἄνικμα* temptat Boll, Abh. p. 95[1], cf. supra l. 963

μόριον καθόλου μέν ἐστι κάθυγρον, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ καυσώδη καὶ φθαρτικά, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα ὄμβρων κινητικά, τὰ δὲ βόρεια
8 *καὶ τὰ νότια κάθυγρα καὶ φθαρτικά. τὸ δὲ τοῦ Ὑδροχόου δωδεκατημόριον καθόλου μέν ἐστι ψυχρὸν καὶ ὑδατῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ κάθυγρα, τὰ δὲ μέσα εὔκρατα, τὰ δὲ ἑπόμενα πνευματώδη, τὰ δὲ βόρεια καυσώδη, τὰ δὲ νότια νιφετώδη. τὸ δὲ τῶν Ἰχθύων δωδεκατημόριον καθόλου μέν ἐστι ψυχρὸν καὶ πνευματῶδες, κατὰ μέρος δὲ τὰ μὲν προηγούμενα αὐτοῦ εὔκρατα, τὰ δὲ μέσα κάθυγρα, τὰ δὲ ἑπόμενα καυσώδη, τὰ δὲ βόρεια πνευματώδη, τὰ δὲ νότια ὑδατώδη.* 985 990

ιγ'. Περὶ τῆς ἐπὶ μέρους τῶν καταστημάτων ἐπισκέψεως 995

1 *Τούτων δὲ οὕτως προεκτεθειμένων αἱ κατὰ μέρος ἔφοδοι τῶν ἐπισημασιῶν περιέχουσι τὸν τρόπον τοῦτον. μία μὲν γάρ ἐστι ἡ ὁλοσχερέστερον πρὸς τὰ τεταρτημόρια νοου-*

T ‖ **985–989** Heph. I 1,198. Rhet. W p. 132,25–29 ‖ **989–993** Heph. I 1,217. Rhet. W p. 133,⟨11–14⟩ ‖ **996–1061** (§ 1–9) cod. Laurentianus XXVIII 13 (= Hephaestionis epitomarum cod. I: CCAG I [1898] p. 18) fol. 210v

S 982 *κάθυγρον* Anon. De stellis fixis IV 11,1 ‖ **986–987** *ὑδατῶδες* Germ. frg. 3,18. Anon. De stellis fixis IV 11,2–3 ‖ **987–988** *κάθυγρα* Anon. De stellis fixis IV 11,1 ‖ **988** *πνευματώδη* Anon. De stellis fixis IV 11,4 ‖ **989–993** (§ 8 fin.) Val. I 2,80–81 ‖ **991** *πνευματῶδες* Ap. I 18,5. Germ. frg. 3,19–20 ‖ **997–1008** (§ 1 fin. – 2 in.) Anon. CCAG VIII 1 (1929) p. 261,4–12

994 *τῆς ... ἐπισκέψεως* **VDMγ** *τῆς ... ἐπισκέψεων* **Y** *τῶν ... ἐπισκέψεων* **Σ** om. **S** | *καταστημάτων*] *σχημάτων τῶν ἀστέρων* **L**

m 97 *μένη, καθ' ἣν τηρεῖν ὡς ἔφαμεν δεήσει τὰς γινομένας ἔγ-*
1000 *γιστα πρὸ τῶν τροπικῶν καὶ ἰσημερινῶν σημείων συνόδους*
ἢ πανσελήνους καὶ κατὰ τὴν μοῖραν ἤτοι συνοδικὴν ἢ
πανσεληνιακὴν τὴν ἐν ἑκάστῳ τῶν ἐπιζητουμένων κλιμά-
των τὰ κέντρα ὡς ἐπὶ γενέσεως διατιθέναι, ἔπειτα τοὺς οἰ- 2
κοδεσπότας λαμβάνειν τοῦ τε συνοδικοῦ ἢ πανσεληνιακοῦ
1005 *τόπου καὶ τοῦ ἑπομένου αὐτῷ κέντρου κατὰ τὸν ὑποδε-*
δειγμένον ἡμῖν τρόπον ἐν τοῖς ἔμπροσθεν [II 8,1. 11,5]
περὶ τῶν ἐκλείψεων, καὶ οὕτως τὸ μὲν καθόλου θεωρεῖν ἐκ
τῆς τῶν τεταρτημορίων ἰδιότητος, τὸ δὲ μᾶλλον καὶ ἧττον
ἐπιτάσεων ἢ ἀνέσεων ἐκ τῆς τῶν οἰκοδεσποτησάντων
1010 *ἀστέρων φύσεως διαλαμβάνοντας, ποίας τε ποιότητός εἰσι*
καὶ ποίων καταστημάτων κινητικοί.
δευτέρα δέ ἐστιν ἔφοδος ἡ μηνιαία, καθ' ἣν δεήσει 3
τὰς καθ' ἕκαστον δωδεκατημόριον προγινομένας συνόδους

T 999–1001 Heph. I 23,16 p. 69,2–3

S 999–1001 *τὰς ... πανσελήνους* Heph. I 23,14 = Nech. et Petos. frg. 12,63–64 p. 352 Riess

999 *γινομένας ... πρὸ*] *προγινομένας ἔγγιστα* Feraboli coll. l. 1019 || **1000** *πρὸ ... σημείων*] *περὶ τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα* **γ** | *πρὸ*] *πρὸς* **m** | *σημείων* **VLβ** Procl. *σημασιῶν (-ίων)* **α** || **1001** *μοῖραν* **Lγβ** Procl. *συζυγίαν* **γ** om. **V** (spatio trium fere litterarum relicto) **Γα** *ὥραν* Feraboli | *ἤτοι* **αDγ** *τὴν ἤτοι* **VLMS** || **1003** post *κλιμάτων*: *συζυγίαν* add. **Σc** | *δια-τιθέναι* **VαDγ** *διατίθεσθαι* **L** *διατιθεμένοις* **MS** || **1007** *τὸ μὲν*] *τὰ μὲν* **α** || **1008** *τὸ δὲ μᾶλλον* **VYDMγ** *τῶν μᾶλλον* **ΣSc** | *καὶ* **VαβC** *ἢ* **AB** || **1009** *τῶν ἐπιτάσεων* **βγ**, cf. l. 1029 || **1010** *ἀστέρων* **αMS** Co p. 81,1 om. **VLDγ** | *διαλαμ-βάνοντας* **α** *διαβάνοντας* **V** *διαλαμβάνοντες* **βγ** || **1011** *κινητι-κοί* **VLβγ** *εἰσὶ ποιητικοί* **α** || **1012** *ἡ μηνιαία*] *ἡμῖν ἰδία* **V** || **1013** *προγινομένας* **YDM** *προγενομένας* **L** *προσγινομένας* **VΣSγ** (quos secutus est Robbins)

ἢ πανσελήνους κατὰ τὸν αὐτὸν τρόπον ἐπισκοπεῖν, ἐκεῖνο μόνον τηροῦντας, ἵνα συνόδου μὲν ἐμπεσούσης τῆς ἔγγιστα 1015 *τοῦ παρῳχημένου τροπικοῦ ἢ ἰσημερινοῦ σημείου καὶ ταῖς μέχρι τοῦ ἐφεξῆς τεταρτημορίου συνόδοις χρησώμεθα,*
4 *πανσελήνου δὲ πανσελήνοις· ἐπισκοπεῖν δὲ ὁμοίως τὰ κέντρα καὶ τοὺς οἰκοδεσπότας ἀμφοτέρων τῶν τόπων καὶ μάλιστα τὰς ἔγγιστα φάσεις, συναφάς τε καὶ ἀπορροίας τῶν* 1020 *πλανωμένων ἀστέρων, τάς τε ἰδιότητας αὐτῶν καὶ τῶν τό-* m 98 *πων, καὶ ποίων ἀνέμων εἰσὶ κινητικοὶ αὐτοί τε καὶ τὰ μέρη τῶν ζῳδίων καθ' ὧν ἂν τύχωσιν, ἔτι δὲ καὶ ᾧ τὸ* c 25v *πλάτος τῆς σελήνης ἀνέμῳ προσνένευκε κατὰ τὴν λόξωσιν τοῦ διὰ μέσων, ὅπως ἐξ ἁπάντων τούτων κατὰ τὴν ἐπι-* 1025 *κράτησιν τὰ ὡς ἐπίπαν τῶν μηνῶν καταστήματα καὶ πνεύματα προγινώσκωμεν.*

5 *τρίτον δ' ἐστὶ τὸ τὰς ἔτι λεπτομερεστέρας ἐπισημασίας ἀνέσεων καὶ ἐπιτάσεων παρατηρεῖν. θεωρεῖται δὲ καὶ τοῦτο διά τε τῶν κατὰ μέρος τοῦ ἡλίου καὶ τῆς σελήνης* 1030 *συσχηματισμῶν (οὐ μόνον τῶν συνοδικῶν ἢ πανσεληνιακῶν, ἀλλὰ καὶ τῶν κατὰ τὰς διχοτόμους), καταρχομένης ὡς ἐπίπαν τῆς κατὰ τὴν ἐπισημασίαν ἐναλλοιώσεως πρὸ τριῶν ἡμερῶν, ἐνίοτε δὲ καὶ μετὰ τρεῖς τῆς ἰσοστάθμου πρὸς τὸν ἥλιον ἐπιπορεύσεως, καὶ διὰ τοῦ καθ' ἑκάστην* 1035

1015 *ἐμπεσούσης* **VDyγ** (cf. *ἐμπέσῃ* Procl.) *ἐκπεσούσης* **LαMSc** | *τῆς*] *τοῖς* **S** ‖ **1018** *σκοπεῖν* **α**, cf. 3,328.454 ‖ **1021** *ἰδιότητας* **VSα** *ἰδιοτροπίας* **DMγ** ‖ **1025** *ὅπως* **Vα** *οὕτως* **β** *καὶ οὕτως* **γ** ‖ **1026** *ἐπίπαν ἂν* **V** ‖ **1027** *προγινώσκειν* **γ** ‖ **1028** *τρίτη* **c** Robbins tacite ‖ **1029** *ἀνέσεων* **αβ** *ἀνανέσεων* **V** *τῶν ἀνέσεων* **γ**, cf. l. 1009 ‖ **1031** *ἢ*] *ἢ καὶ* **MS** | *πανσελήνων* **αc** *π☾ν* **D** ‖ **1032** *ἀλλὰ* om. **M** | *κατὰ τῶν* **M** ‖ **1034** *ἰσοστάθμου* **VLβγ** *ἰσοστάθμους* **α** *ἰσοσταθμοῦς* **c** ‖ **1035** *ἑκάστην* **VDM** Procl. *ἕκαστον* **Y** *ἑκάστου* **ΣGSc**

τῶν τοιούτων στάσεων ἢ καὶ τῶν ἄλλων (οἷον τριγώνων ἢ ἑξαγώνων) πρὸς τοὺς πλανήτας συσχηματισμοῦ. τούτων 6 *γὰρ ἀκολούθως τῇ φύσει καὶ ἡ τῆς ἐναλλοιώσεως ἰδιοτροπία καταλαμβάνεται συμφώνως ταῖς τε τῶν ἐπιθεωρούν-*
1040 *των ἀστέρων καὶ ταῖς τῶν ζῳδίων πρός τε τὸ περιέχον καὶ τοὺς ἀνέμους φυσικαῖς συνοικειώσεσιν.*

m 99 *αὐτῶν δὲ τούτων τῶν κατὰ μέρος ποιοτήτων αἱ καθ'* 7 *ἡμέραν ἐπιτάσεις ἀποτελοῦνται, μάλιστα μὲν ὅταν τῶν ἀπλανῶν οἱ λαμπρότεροι καὶ δραστικώτεροι φάσεις ἑῴας*
1045 *ἢ ἑσπερίας, ἀνατολικὰς ἢ δυτικὰς ποιῶνται πρὸς τὸν ἥλιον (τρέπουσι γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰς κατὰ μέρος καταστάσεις πρὸς τὰς ἑαυτῶν φύσεις), οὐδὲν δὲ ἔλαττον καὶ ὅταν τινὶ τῶν κέντρων τὰ φῶτα ἐπιπορεύηται.*

πρὸς γὰρ τὰς τοιαύτας αὐτῶν σχέσεις αἱ καθ' ὥραν 8
1050 *ἀνέσεις καὶ ἐπιτάσεις τῶν καταστημάτων μεταβάλλουσι, καθάπερ πρὸς τὰς τῆς σελήνης αἵ τε ἀμπώτεις καὶ αἱ παλίρροιαι, καὶ αἱ τῶν πνευμάτων δὲ τροπαὶ μάλιστα περὶ τὰς τοιαύτας τῶν φώτων κεντρώσεις ἀποτελοῦνται, πρὸς*

1036 *τῶν τοιούτων* **Vβγ** *τούτων τῶν* **Y** *τούτων* **Σc** *αὐτῶν* **m** ‖ **1037** *συσχηματισμοῦ* **αβγ** *συσχημῶν* **V** *συσχηματισμῶν* **L** ‖ **1043** *ἐπιτάσεις ἢ ἀνέσεις* **Σγc** | *ἀποτελοῦνται* **VLDMγ** *ἐπιτελοῦνται* **αSc** ‖ **1044** *ἑῴας* **Σβγ** (cf. 2,278. al.) *ἑῴους* **VL** Co p. 82,11 *ἑῷους* **Y** ‖ **1045** *ἑσπερίας* **Σβγ** *ἑσπερίους* **VLY** | *ἀνατολικὰς* **αMS** *ἀνατολὰς* **VLDγ** | *δυτικὰς*] *δύσεις* **γ** ‖ **1046** *ὡς ἐπὶ*] *κατὰ* **V** | *τὸ* om. **Lαc** (quos tacite secutus est Robbins) ‖ **1048** *τινὶ* **αMS** *τι* **VLDγ** ‖ **1051** *τε* om. **βγ** | *ἀμπώτεις* **βAB** Co le p. 83,22 *ἀμπώτις* **V** *ἀμπότεις* **Σc** *ἀμπώσεις* **C** *ἐμπτώσεις* **Y** ‖ **1052** *τροπαὶ*] *τοπικαὶ* **Σc** (*τροπαὶ* in margine) ‖ **1053** *φώτων* **VLYS** Procl. *φάσεων* **Σγ** *φύσεων* **DM**, cf. Val. App. XIV p. 425,31

οὓς ἂν τῶν ἀνέμων ἐπὶ τὰ αὐτὰ τὸ πλάτος τῆς σελήνης τὰς προσνεύσεις ποιούμενον καταλαμβάνηται. 1055

9 *πανταχῇ μέντοι προσήκει διαλαμβάνειν ὡς προηγουμένης μὲν τῆς καθόλου καὶ πρώτης ὑποκειμένης αἰτίας, ἑπομένης δὲ τῆς τῶν κατὰ μέρος ἐπισυμβαινόντων, βεβαιουμένης δὲ μάλιστα καὶ ἰσχυροποιουμένης τῆς ἐνεργείας, ὅταν οἱ τῶν καθόλου φύσεων οἰκοδεσποτήσαντες ἀστέρες καὶ* 1060 *ταῖς ἐπὶ μέρους τύχωσι συσχηματιζόμενοι.*

ιδ΄. Περὶ τῆς τῶν μετεώρων σημειώσεως m 100

1 *Χρήσιμοι δ' ἂν εἶεν πρὸς τὰς τῶν κατὰ μέρος ἐπισημασιῶν προγνώσεις καὶ αἱ τῶν γινομένων σημείων περί τε τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας παρατηρήσεις.* 1065 c 26 *τὸν μὲν οὖν ἥλιον τηρητέον πρὸς μὲν τὰς ἡμερησίους κα-*

T 1062–1096 (§ 1–6 in.) Iulian. Laodic. (?) CCAG IV (1903) p. 109 (ubi inspicias varias lectiones). Heph. I 25,1–7. Lyd. Ost. 9^b p. 21,11–23,5, cf. cod. Laurentianum XXVIII 13 (CCAG I [1898] p. 18) fol. 211^r. cod. Paris gr. 2419 (nobis **s**) fol. 95^r

S 1063–1136 (§ 1–12) Cod. Vaticanus gr. 1056 (CCAG V 3 [1910] p. 51) fol. 192^v || **1065** *καὶ τοὺς ἀστέρας* Verg. georg. I 336–337 || **1066–1082** (§ 1 fin. – 3) Theophr. Sign. 50 (cf. 26–27.38). Arat. 819–891. Verg. georg. I 438–465. Anon. CCAG XI 2 (1934) p. 174,12–177,17

1054 *ἐπὶ τὰ αὐτὰ* **Vα** *ἐν αὐταῖς* **βγ** || **1055** *τὰς προσνεύσεις* **Vα** *πορεύσεις* **βγ** || **1056** *πανταχῇ* **VMγ** *πανταχοῦ* **αDSc** Procl. (praetulit Robbins) || **1057** *αἰτίως* **V** || **1066** *οὖν* om. **V** | *τηρητέον* **Vβγ** Heph. *παρατηρητέον* **α** | *μὲν* (alterum) **αMS** Heph. om. **VDγ** | *ἡμερησίας* **Y**

ταστάσεις ἀνατέλλοντα, πρὸς δὲ τὰς νυκτερινὰς δύνοντα, πρὸς δὲ τὰς παρατεινούσας κατὰ τοὺς πρὸς τὴν σελήνην σχηματισμούς, ὡς ἑκάστου σχήματος τὴν μέχρι τοῦ ἑξῆς
1070 *κατάστασιν ὡς ἐπίπαν προσημαίνοντος· καθαρὸς μὲν γὰρ* 2 *καὶ ἀνεπισκότητος καὶ εὐσταθὴς καὶ ἀνέφελος ἀνατέλλων ἢ δύνων εὐδιεινῆς καταστάσεώς ἐστι δηλωτικός, ποικίλον δὲ τὸν κύκλον ἔχων ἢ ὑπόπυρρον ἢ ἀκτῖνας ἐρυθρὰς ἀποπέμπων ἤτοι εἰς τὰ ἔξω ἢ ὡς ἐφ' ἑαυτὸν κυκλουμένας ἢ*
1075 *τὰ καλούμενα παρήλια νέφη ἐξ ἑνὸς μέρους ἔχων ἢ σχήματα νεφῶν ὑπόκιρρα καὶ ὡσεὶ μακρὰς ἀκτῖνας ἀπομηκύνων ἀνέμων σφοδρῶν ἐστι σημαντικὸς καὶ τοιούτων, πρὸς ἃς ἂν γωνίας τὰ προειρημένα σημεῖα γένηται. μέλας δὲ ἢ* 3 *ὑπόχλωρος ἀνατέλλων ἢ δύνων μετὰ συννεφείας ἢ ἄλως*
1080 *ἔχων περὶ αὑτὸν καθ' ἓν μέρος ἢ ἐξ ἀμφοτέρων τῶν μερῶν παρήλια νέφη καὶ ἀκτῖνας ἢ ὑποχλώρους ἢ μελαίνας χει-*
m 101 *μώνων καὶ ὑετῶν ἐστι δηλωτικός.*

S 1075 *παρήλια νέφη* Aristot. Meteor. III 2 p. 372a 10. 6 p. 377a 29–31. Anon. CCAG XI 2 (1934) p. 177,18–178,20 ‖ **1078–1079** *μέλας … ἢ ὑπόχλωρος* Theophr. Sign. 11.27. Verg. georg. I 453 ‖ **1081** *νέφη* Theophr. Sign. 13

1067 *πρὸς … δύνοντα* om. **Y** ‖ **1069** *σχηματισμούς* **Vβ** Heph. *συσχηματισμούς* **αγ** Procl. | *ὡς* om. Lyd. ‖ **1070** *προσημαίνοντος*] *πρὸς τοὺς αἴνοντας* **Y** ‖ **1074** *ἐφ'* om. **Sm** | *κυκλουμένας* **y** Lyd. (recepit Robbins confirmatus a *κυκλούμενον* Heph. codd. **AP**) *κοιλούμενον* **Vβ** *κοιλούμενος* **γ** (recepit Boll, cf. Arat. 828 *κοῖλος*) *καλλούμενον* **Y** *καλούμενον* **G** Heph. (cod. **L**) *κλωμένας* **Σc** ‖ **1075** *καλούμενα* **Vβγ** Procl. *λεγόμενα* **αc** Heph., cf. 1,611 ‖ **1076** *καὶ* om. **VDγ** | *ἀπομηκύνων* **Vβγ** Heph. *καταμηκύνων* **α** ‖ **1077** *τῶν τοιούτων* **Mγ** ‖ **1078** *γένηται* **Vβγ** Lyd. (cod. **D**) **c** *γίνηται* **Σ** Lyd. (codd. cett.) *γίνεται* **Y** | *μέλας*] *μέγας* **Y** ‖ **1079** *ἅλως* **ΣDSγc** *ἄλλως* **VM** Heph. Lyd. (codd. **DO**) *ἅλων* **Y** *ἄλλων* Lyd. (cod. **L**), cf. l. 1092 ‖ **1081** *ὑποχλώρους* **Vβγ** Procl. Lyd. *ὑπώχρους* **α** *ὑπόχρους* Heph.

4 *τὴν δὲ σελήνην τηρητέον ἐν ταῖς πρὸ τριῶν ἡμερῶν ἢ μετὰ τρεῖς παρόδοις τῶν τε συνόδων καὶ πανσελήνων καὶ διχοτόμων. λεπτὴ μὲν γὰρ καὶ καθαρὰ φαινομένη καὶ μη-* 1085 *δὲν ἔχουσα περὶ αὑτὴν εὐδιεινῆς καταστάσεώς ἐστι δηλω-*
5 *τική. λεπτὴ δὲ καὶ ἐρυθρὰ καὶ ὅλον τὸν τοῦ ἀφωτίστου κύκλον ἔχουσα διαφανῆ καὶ ὅλον ὑποκεκινημένον ἀνέμων ἐστὶ σημαντικὴ καθ' ὧν ἂν μάλιστα ποιῆται τὴν πρόσνευ-σιν. μέλαινα δὲ ἢ χλωρὰ καὶ παχεῖα θεωρουμένη χει-* 1090 *μώνων καὶ ὄμβρων ἐστὶ δηλωτική.*

T 1083–1099 (§ 4–5) Lyd. Ost. 9[d] p. 26,1–27,6

S 1083–1091 (§ 4–5) Arat. 778–818. Verg. georg. I 427–437. Anon. CCAG XI 2 (1934) p. 178,21–179,15 || **1083** *σελήνην* Theophr. Sign. 8 || **1085** *λεπτὴ* acrostichis Arat. 783–787 (quem affert Hermipp. II 175) || **1090** *μέλαινα … χλωρὰ* Theophr. Sign. 12.27

1083 *ἡμερῶν* om. **MS** Heph. (codd. **AP**) Lyd. || **1084** *τρεῖς* **VYβγ** Heph. Lyd. (cod. **D**) *τρεῖς ἡμέρας* **Σ** Lyd. (codd. cett.) | *παρόδοις* **VαBC** Heph. (cod. **L**) *παρόδων* **DM** *παρόδους* **SA** Heph. (codd. **AP**) | *τῶν πανσελήνων* **V** || **1086** *εὐδιεινῆς* **Σβγ** Lyd. (cod. **D**) *εὐδινῆς* **V** Heph. (cod. **L**) *εὐδηνῆς* **Y** *εὐδεινῆς* Heph. (codd. **AP**, recepit Pingree), aliter Lyd. (codd. cett.): *εὐδίαν σημαίνει*, cf. l. 1094.1127 || **1088** *κύκλον*] *κλον* **V** | *ὅλον* om. **α** Heph. fort. recte || **1089** *ἐστὶ σημαντικὴ* **ω** Heph. *ἐπισημαντικὴ* **c** *ἐστὶν ἐπισημαντικὴ* Robbins tacite | *ὧν ἂν* **VDγ** (sed *ἂν* suprascr. in **A**) *ὃ ἂν* **MS** *ὃ* **αc** *οὓς* Lyd. | *ποιῆται* **VβAB** (ut vid.) Heph. (cod. **A**) Lyd. (cod. **D**) *ποιεῖται* **αC** Heph. (cod. **L**) Lyd. (codd. cett.) || **1090** *χλωρὰ* Boll Robbins *χλορὰ* **V** *ὠχρὰ* **αγc** Heph. Lyd. *ὠχρὰ ἢ χλωρὰ* **DM** *ἢ χλωρὰ ἢ ὠχρὰ* **S**, cf. l. 1097 || **1091** *δηλωτική*] *διλωτή* **Y**

παρατηρητέον δὲ καὶ τὰς περὶ αὐτὴν γινομένας ἅλως. 6
εἰ μὲν γὰρ μία εἴη καὶ αὐτὴ καθαρὰ καὶ ἠρέμα ὑπομα-
ραινομένη, εὐδιεινὴν κατάστασιν σημαίνει, εἰ δὲ δύο ἢ καὶ
1095 *τρεῖς εἶεν, χειμῶνας δηλοῦσιν· ὑπόκιρροι μὲν οὖσαι καὶ ὡς*
ἐκρηγνύμεναι τοὺς διὰ σφοδρῶν ἀνέμων, ἀχλυώδεις δὲ καὶ
παχεῖαι τοὺς διὰ νιφετῶν, ὕπωχροι δὲ ἢ μέλαιναι καὶ ῥηγ-
νύμεναι τοὺς δι' ἀμφοτέρων, καὶ ὅσῳ ἂν πλείους ὦσι το-
σούτῳ μείζονας. καὶ αἱ περὶ τοὺς ἀστέρας δὲ τούς τε πλα- 7

T **1099–1115** (§ 7–9) Heph. I 25,9–12

S **1092–1099** (§ 6) Aristot. Meteor. III 2 p. 371^{b}22–26. 3 p. 372^{b}12–373^{a}31. Theophr. Sign. 31. Arat. 811–818. Hermipp. II 90.176 (affert Arat. 815–816). Anon. CCAG XI 2 (1934) p. 177,14–17. 178,10–18

1092 *ἅλως* **Σβγ** Heph. (cod. A) Lyd. (cod. **D**) *ὅλως* **Y** *ἄλλως* Heph. (cod. L) Lyd. (cod. L) *ἄλλας* Lyd. (cod. **O**) om. **V** lacuna decem fere litterarum patente, cf. l. 1079 ‖ **1094** *εὐδιεινὴν* **βγ** Lyd. (cod. **D**) *εὐδινὴ* **V** *εὐδείαν* **Σm** om. **Y** *εὐδίειαν* **c** *εὐδηνὴν* Heph. (cod. A) *εὐδινὴν* Heph. (cod. L) *εὐδεινὴν* Engelbrecht *εὐδίαν* Robbins (qui **α** secutus om. *κατάστασιν σημαίνει*, cf. *εὐδίαν σημαίνει* Lyd. codd. cett.), v. l. 1086 | *κατάστασιν σημαίνει* om. **αc**, *κατάστασιν* solum om. Lyd. | *καὶ* om. **α** Heph. ‖ **1095** *ὡς ἐκρηγνύμεναι* Heph. (cod. L, recepit Pingree) *ὡς εἰρηγνημέναι* **Y** (*ὡσεὶ* contraxit Robbins) *ὡσεὶ ἐρρηγμέναι* **Σc** *ὥσπερ ῥυγνύμεναι* **V** *ὥσπερ ῥηγνύμεναι* **γ** (recepit Boll) *ὥσπερ περιρρηγνύμεναι* **β** *ὡς κεκρυμμέναι* Heph. (cod. A) *ὥσπερ ὑπορρηγνύμεναι* Lyd. (*ὑπορρήγμεναι* cod. L) ‖ **1096** *διὰ* **Vγ** *διὰ τῶν* **αβ** ‖ **1097** *ὕπωχροι* **VDS** *ὑπόχροι* **M** *ὑπόχλωροι* **α** Procl. Lyd., cf. l. 1090 ‖ **1098** *ὅσῳ* **Vβγ** Lyd. (cod. **D**) *ὅσον* **αc** Procl. | *τοσούτῳ* **VSγ** Lyd. (cod. **D**) *τοσούτους* **DM** *τοσοῦτον* **αc** Procl., cf. l. 1118 ‖ **1099** *τοὺς ἀστέρας δὲ τούς τε πλανωμένους* **Vβγ** *τούς τε πλανωμένους ἀστέρας* **Σc** *τούς τε πλανωμένους* **Y** *τοὺς ἀστέρας τούς τε πλανωμένους* Heph.

νωμένους καὶ τοὺς λαμπροὺς τῶν ἀπλανῶν ἄλως συνιστά- 1100
μεναι ἐπισημαίνουσι τὰ οἰκεῖα τοῖς τε χρώμασιν ἑαυτῶν
καὶ ταῖς τῶν ἐναπειλημμένων φύσεσι.

8 *καὶ τῶν ἀπλανῶν δὲ τῶν κατά τι πλῆθος σύνεγγυς ὄν-*
των παρατηρητέον τὰ χρώματα καὶ τὰ μεγέθη. λαμπρό- m 102
τεροι μὲν γὰρ καὶ μείζονες ὁρώμενοι παρὰ τὰς συν- 1105
ήθεις φαντασίας εἰς ὁποιονδήποτε μέρος ὄντες ἀνέμους
9 *τοὺς ἀπὸ τοῦ οἰκείου τόπου διασημαίνουσιν. οὐ μὴν ἀλλὰ*
καὶ τῶν ἰδίως νεφελοειδῶν συστροφῶν οἷον τῆς Φάτνης
καὶ τῶν ὁμοίων, ἐπὰν αἰθρίας οὔσης αἱ συστάσεις ἀμαυραὶ
καὶ ὥσπερ ἀφανεῖς ἢ πεπαχυμέναι θεωρῶνται, φορᾶς ὑδά- 1110
των εἰσὶ δηλωτικαί, καθαραὶ δὲ καὶ παλλόμεναι συνεχῶς c 26[v]
σφοδρῶν πνευμάτων· ἐπὰν δὲ τῶν ἀστέρων τῶν παρ' ἑκά-
τερα τῆς Φάτνης τῶν καλουμένων Ὄνων ὁ μὲν βόρειος
ἀφανὴς γένηται, βορέαν πνεύσειν σημαίνει, ὁ δὲ νότιος
νότον. 1115

S 1107–1115 (§ 9) Theophr. Sign. 23.43.51. Arat. 892–908 (quem affert Achill. Isag. 34 p. 69,15). Plin. nat. XVIII 353 || **1108** *Φάτνης* Ap. I 9,5 (ubi plura)

1100 *ἄλως* **Σβγc** Heph. (cod. **A**) *ἄλλως* **VY** Heph. (codd. **LP**), cf. l. 1079 || **1101** *ἑαυτῶν* **VDMγ** Heph. *αὐτῶν* (an *αὑτῶν*? cf. 1,744) **αSc** || **1103** *τι* **αMS** Heph. *τὸ* **A** om. **VDBC** || **1105** *μὲν* **ΣS** Heph. Procl. om. **VYDMγ** || **1108** *ἰδίως*] *ἰδίων* **MS** *ἀϊδίων* Heph. || **1110** *ὥσπερ* **Vβγ** Heph. Procl. *πᾶσαι* **αc** | *φορᾶς* om. **V** lacuna undecim fere litterarum relicta || **1111** *καθαραὶ* … *πνευμάτων* om. **V** versum usque ad finem non explens || **1112–1115** *ἐπὰν δὲ* … *νότον* praebent **Σ** (in margine) Heph., om. **VYΣβγ** Procl., damnavit Boll ex Heph. I 25 p. 78,15–18 insertum esse iudicans

καὶ τῶν ἐπιγινομένων δὲ κατὰ καιροὺς ἐν τοῖς μετε- **10**
ώροις αἱ μὲν τῶν κομητῶν συστροφαὶ ὡς ἐπίπαν αὐχμοὺς
καὶ ἀνέμους προσημαίνουσι, καὶ τοσούτῳ μείζονας ὅσῳ ἂν
ἐκ πλειόνων μερῶν καὶ ἐπὶ πολὺ ἡ σύστασις γένηται. αἱ
1120 *δὲ διαδρομαὶ καὶ οἱ ἀκοντισμοὶ τῶν ἀστέρων εἰ μὲν ἀπὸ*
μιᾶς γίνοιντο γωνίας, τὸν ἀπ' ἐκείνης ἄνεμον δηλοῦσι, εἰ
δὲ ἀπὸ τῶν ἐναντίων, ἀκαταστασίαν πνευμάτων, εἰ δὲ ἀπὸ
τῶν τεσσάρων, παντοίους χειμῶνας μέχρι βροντῶν καὶ
ἀστραπῶν καὶ τῶν τοιούτων. ὡσαύτως δὲ καὶ τὰ νέφη πό- **11**
1125 *κοις ἐρίων ὄντα παραπλήσια προδηλωτικὰ ἐνίοτε γίνεται*

T 1116–1127 (§ 10–11 in.) Heph. I 25,13–14 ‖ **1118–1119** Lyd. Ost. 10 p. 29,10–11 ‖ **1119–1129** Lyd. Ost. 9[d] p. 27,7–28,3

S 1116–1124 (§ 10) Aristot. Meteor. I 7 p. 344[b]12–345[a]10. Theophr. Sign. 34 ‖ **1117** *αὐχμοὺς* Hermipp. II 90 ‖ **1120** *διαδρομαὶ* Aristot. Meteor. I 7 p. 344[a]15. Theophr. Sign. 13.37 ‖ **1124–1125** *πόκοις ἐρίων* Theophr. Sign. 13. Arat. 938–939. Verg. georg. I 397

1116 *καὶ* ante *τῶν* post lacunam om. **V** fort. saltu q. d. oculorum post l. 1111 *δηλωτικαὶ* ‖ **1117** *ὡς ἐπίπαν* **VDγ** Procl. *πάντοτε* **αMS** Heph. ‖ **1118** *τουσούτῳ* **VDMγ** Heph. (codd. **LP**) *τοσοῦτον* **α** (cf. *τοσοῦτο* Heph. cod. **A**) *τοσούτων* **S** | *ὅσῳ* **Vβγ** Heph. *ὅσον* **Σ** *ὅσα* **Y**, cf. l. 1098 ‖ **1119** *γένηται* **Vβ** Heph. (cod. **A**) *γίνηται* **γ** *γίνεται* **Y** (cf. *γίγνεται* Heph. cod. **L**) *ἢ* **Σ** ‖ **1120** *διαδρομαὶ* **VβA** Heph. Lyd. *διεκδρομαὶ* **YΣc** *ἐκδρομαὶ* **G** *διαδρομικαὶ* **BC** *δρόμοι* Procl. *διάδρομοι* Robbins (sic legens **V**) | *ἀκοντισμοὶ* **VYβγ** Heph. Procl. Lyd. *ἀκοντισταὶ* **Σc** ‖ **1122** *εὐκαταστασίαν* **V** ‖ **1123** *παντοίως* **V** | *μέχρι … ἀστραπῶν* **Vβγ** Procl. Lyd. (om. codd. **LO**) *μέχρις* [*μέχρι* **Y**] *ἀστραπῶν καὶ βροντῶν* **α** om. Heph. ‖ **1124** post *νέφη*: *ἐν ὁποίοις ἂν ὦσιν ὁρίοις* add. **Σc** ‖ **1125** *ἐρίων*] *ὁρίων* **Y** | *γίνεται* **Vαβ** *γίνονται* **γ** Lyd. om. Heph.

χειμώνων. αἵ τε συνιστάμεναι κατὰ καιροὺς ἴριδες χει- m 103
μῶνα μὲν ἐξ εὐδίας, εὐδίαν δὲ ἐκ χειμῶνος προσημαίνουσι.
καὶ ὡς ἐπίπαν συνελόντι εἰπεῖν, αἱ καθόλου τοῦ ἀέρος
ἐπιγινόμεναι ἰδιόχροοι φαντασίαι τὰ ὅμοια δηλοῦσι τοῖς
ὑπὸ τῶν οἰκείων συμπτωμάτων κατὰ τὰ προδεδηλωμένα 1130
διὰ τῶν ἔμπροσθεν ἀποτελουμένοις.

12 *ἡ μὲν δὴ τῶν καθολικῶν ἐπίσκεψις τῶν τε ὁλοσχερέ-*
στερον θεωρουμένων καὶ τῶν ἐπὶ μέρους μέχρι τοσούτων
ἡμῖν κατὰ τὸ κεφαλαιῶδες ὑπομεμνηματίσθω. τῆς δὲ κατὰ
τὸ γενεθλιακὸν εἶδος προγνώσεως τὰς πραγματείας ἐν τοῖς 1135
ἑξῆς κατὰ τὴν προσήκουσαν ἀκολουθίαν ἐφοδεύσομεν.

T 1132–1136 (§ 12) Heph. I 25,25

S 1126 *ἴριδες* Aristot. Meteor. III 2 p. 371^b26–372^a9. Theophr. Sign. 13. Arat. 940, aliter Plin. nat. II 150

1126 *χειμῶνα* **βγ** Heph. Lyd. *χειμῶνας* **Vα** ‖ **1127** *εὐδίαν δὲ* **βγ** Heph. (codd. **AL**, *εὐδείαν δὲ* cod. **P**) Lyd. *εὐδίας δὲ* **V** *καὶ εὐδίαν* **α**, cf. l. 1086 | *χειμῶνος* **βγ** Heph. (cod. **P**) Lyd. *χειμώνων* **Vα** Heph. (codd. **AL**) ‖ **1128** *συνελόντι* **Vβγ** *συνελόντα* **α** Lyd. (codd. **DMN** om. **LO**) | *καθόλου* om. **V** spatio sex fere litterarum relicto ‖ **1129** *ἰδιόχροοι* **DMγ** Lyd. *ἰδιοχρ* (ω supra) **V** *ἰδιόχρωοι* **ΓY** *ἰδιόχρονοι* **ΣSc** (*ἰδιοχροῖοι* in margine) | *φαντασίαι* om. **V** spatio relicto ‖ **1130** *ὑπὸ … κα(τὰ)* om. **V** dimidio versu vacante ‖ **1132** *ὁλοσχερέστερον* **Sγ** *ὁλοσχερεστέρων* **VαDM** ‖ **1134** *ὑπομεμνηματίσθω* **βγ** *ὑπομνηματίσθω* **Vα** ‖ **1135** *γενεθλιακὸν* **VΣβ** Heph. *γενεθλιαλογικὸν* **Yγ**, cf. 2,31 ‖ **subscriptiones:** *Τέλος τοῦ β' βιβλίου Πτολεμαίου* **V** *τέλος τοῦ β' βιβλίου* **Dγ** om. **αMS**

ΒΙΒΛΙΟΝ Γ'

c 27 *Τάδε ἔνεστιν ἐν τῷ γ' βιβλίῳ*

α'. προοίμιον
β'. περὶ σπορᾶς καὶ ἐκτροπῆς
5 *γ'. περὶ μοίρας ὡροσκοπούσης*
δ'. διαίρεσις γενεθλιαλογίας
ε'. περὶ γονέων
ς'. περὶ ἀδελφῶν
ζ'. περὶ ἀρρενικῶν καὶ θηλυκῶν γενέσεων
10 *η'. περὶ διδυμογόνων*
θ'. περὶ τεράτων
ι'. περὶ ἀτρόφων
ια'. περὶ χρόνων ζωῆς
ιβ'. περὶ μορφῆς καὶ κράσεως σωματικῆς
15 *ιγ'. περὶ σινῶν καὶ παθῶν σωματικῶν*
ιδ'. περὶ ποιότητος ψυχῆς
ιε'. περὶ παθῶν ψυχικῶν

T 2–17 CCAG VIII 3 (1912) p. 94,24–30

1 *ἀρχὴ τοῦ τρίτου Πτολεμαίου* (pergens *περὶ σπορᾶς καὶ ἐκτροπῆς*, cf. l. 18) **α** *βιβλίον γ' Κλαυδίου Πτολεμαίου* **D** *Πτολεμαίου ἀποτελεσματικῶν τρίτον* **M** *Κλαυδίου Πτολεμαίου τῶν πρὸς Σύρον συμπερασματικῶν βιβλίον τρίτον* **γ** om. **VS** || **2** *Τάδε ... βιβλίῳ* **VDγ** (postea iteraverunt *Κλαυδίου Πτολεμαίου* **D**, *τῶν πρὸς Σύρον συμπερασματικῶν* **γ**) *τὰ κεφάλαια τοῦ τρίτου βιβλίου* **M** om. (una cum indice) **ΥΣS** || **3** *α'* **VY** (prooemium cum capite sequenti conflans) om. **Σβγ** | *προοίμιον* **V** om. **αβγ** || **4** *β'* **V** *α'* **Dγ** om. **ΣMS** || **5** *γ'* **V** *β'* **YDγ** om. **ΣMS** et sic deinceps | *περὶ μοίρας ὡροσκοπούσης* **VYD** (sicut 3,120) *περὶ μοίρας ὡροσκοπούσης, ἐν ᾧ καὶ περὶ τοῦ πῶς δεῖ λαβεῖν τὴν ὥραν* **γ** *περὶ τοῦ πῶς δεῖ λαμβάνειν ὥραν* **M**

α΄. Προοίμιον

1 *Ἐφωδευμένης ἡμῖν ἐν τοῖς ἔμπροσθεν τῆς περὶ τὰ καθόλου συμπτώματα θεωρίας, ὡς προηγουμένης καὶ τὰ πολλὰ κα-* 20 *τακρατεῖν δυναμένης τῶν περὶ ἕνα ἕκαστον τῶν ἀνθρώπων κατὰ τὸ ἴδιον τῆς φύσεως ἀποτελουμένων, ὧν τὸ προγνω-στικὸν μέρος γενεθλιαλογίαν καλοῦμεν, δύναμιν μὲν* m 104 *μίαν καὶ τὴν αὐτὴν ἀμφοτέρων τῶν εἰδῶν ἡγεῖσθαι προσ-ήκει καὶ περὶ τὸ ποιητικὸν καὶ περὶ τὸ θεωρητικόν, ἐπει-* 25 *δήπερ καὶ τῶν καθόλου καὶ τῶν καθ' ἕνα ἕκαστον συμ-πτωμάτων αἰτία μὲν ἡ τῶν πλανωμένων ἀστέρων ἡλίου τε καὶ σελήνης κίνησις, προγνωστικὴ δὲ ἡ τῆς τῶν ὑποκειμέ-νων αὐτῆς φύσεων τροπῆς κατὰ τὰς ὁμοιοσχήμονας τῶν οὐρανίων παρόδους διὰ τοῦ περιέχοντος ἐπιστημονικὴ πα-* 30 *ρατήρησις, πλὴν ἐφ' ὅσον ἡ μὲν καθολικὴ περίστασις μεί-*
2 *ζων τε καὶ αὐτοτελής, ἡ δὲ ἐπὶ μέρους οὐχ ὁμοίως. ἀρχὰς*

6 *περὶ διαιρέσεως γενεθλιαλογικῆς* **M** | *γενεθλιαλογίας*] *γενεθλια-λογική* Y, cf. 3,164 || **9** *γενέσεων* om. **YM** fort. recte, cf. 3,392.396 ||**16** *περὶ ψυχῆς ποιότητος* Y (ut 3,1145), qui postea add. *ιε΄ περὶ τ(ῶν) ιβ στοι(χείων)*, cf. CCAG VIII 4 (1921) p. 23 necnon V 1 (1904) p. 241

18 *α΄* V om. **αβγ** | *προοίμιον* **VDγ** Procl. om. **αMS** (huc trahit ex l. 4 *περὶ σπορᾶς καὶ ἐκτροπῆς* **α**) || **20** *συμπτώματα* **Vβγ** *συμπτωμάτων* **Y** *τῶν συμπτωμάτων* **Σc** || **21** *τῶν περὶ* **ΣMSγ** *περὶ τῶν περὶ* **V** *περὶ τὸν* **Y** *περὶ* **D** || **23** *γενεθλια-λογίαν* **V** *γενεθλιαλογικὸν* **αβγ** fort. recte | *δύναμιν* **Vαγ** *καὶ δύναμιν* **β** | *μὲν* om. **α** || **25** *θεωρητικὸν καὶ περὶ τὸ ποιητι-κὸν* **γ** || **26** *καθ'*] *περὶ* **MS** || **29** *αὐτῆς* (sc. *κινήσεως*) *φύσεων τροπῆς* **Y** (recepit Robbins) *αὐτῆς φύσεως τροπῆς* **V** *αὐτῶν φύσεων τροπῆς* **Sγ** *αὐτῶν φύσεως τροπῆς* **DM** Co le p. 87,16 *αὐτῆς τροπῆς* **Σc** *αὐτοῖς φύσεων τροπῆς* **Ξ** (quem sequitur Boer) | *ὁμοιοσχήμονας* **VYβγ** *ἐν ὁμοιοσχήμονι* **Σ** || **31** *ἐφ'*] *καθ'* **MS**

δὲ οὐκέτι τὰς αὐτὰς ἀμφοτέρων νομιστέον εἶναι, ἀφ' ὧν τὴν τῶν οὐρανίων διάθεσιν ὑποτιθέμενοι τὰ διὰ τῶν τότε
35 *σχηματισμῶν σημαινόμενα πειρώμεθα προγινώσκειν, ἀλλὰ τῶν μὲν καθολικῶν πολλάς (ἐπειδὴ μίαν τοῦ παντὸς οὐκ ἔχομεν, καὶ ταύτας οὐκ ἀπ' αὐτῶν τῶν ὑποκειμένων πάντοτε λαμβανομένας, ἀλλὰ καὶ ἀπὸ τῶν περιεχόντων καὶ τὰς αἰτίας ἐπιφερόντων· σχεδὸν γὰρ πάσας ἀπό τε τῶν*
40 *τελειοτέρων ἐκλείψεων καὶ τῶν ἐπισήμως παροδευόντων ἀστέρων ἐπισκεπτόμεθα), τῶν δὲ καθ' ἕνα ἕκαστον τῶν ἀνθρώπων καὶ μίαν καὶ πολλάς· μίαν μὲν τὴν αὐτοῦ τοῦ συγκρίματος ἀρχήν (καὶ ταύτην γὰρ ἔχομεν), πολλὰς δὲ τὰς κατὰ τὸ ἑξῆς τῶν περιεχόντων πρὸς τὴν πρώτην ἀρ-*
m 105 45 *χὴν ἐπισημασίας συμβαινούσας, προηγουμένης μέντοι τῆς μιᾶς ἐνθάδε εἰκότως, ἐπειδήπερ αὕτη καὶ τὰς ἄλλας ἀποτελεῖ. τούτων δὲ οὕτως ἐχόντων ἀπὸ μὲν τῆς πρώτης ἀρ-* 3
χῆς θεωρεῖται τὰ καθόλου τῆς συγκρίσεως ἰδιώματα, διὰ δὲ τῶν ἄλλων τὰ κατὰ καιροὺς παρὰ τὸ μᾶλλον καὶ ἧττον

33 *νομιστέον εἶναι* **VDAC** *εἶναι νομιστέον* **α** *νομιστέον* **MSB** || **35** *πειρώμεθα* **αβBC** *πυρώμεθα* **V** *παρασόμεθα* **A** || **36** *καθολικῶν* **Vα** *καθόλου* **βγ** | *ἐπειδὴ μίαν* **βγ** *ἐπειδημίαν* **V** *ἐπιδὲ μίαν* **Y** *ἐπεὶ μίαν* **Σ** || **37** *αὐτῶν* om. **βγ** || **38** *ἀπὸ* om. **MS** || **39** *γὰρ* om. **S** | *πάσας* **VYγ** *πάσαις* **ΣMSc** (*ἢ πάσας* **m** in margine) || **41** *ἐπισκεπτόμεθα* **VSγc** *ἐπισκεπτώμεθα* **Y** *ἐπισκηπτόμεθα* **ΣMm** (in margine) || **42** *αὐτοῦ* **VαSγ** *αὐτὴν* **DM** Co le p. 87,24 || **43** *καὶ ταύτην* **VY** *ταύτην* **Σβγc** || **45** *ἐπισημασίας συμβαινούσας* **Σ** *συμβαινούσας ἐπισημασίας* **γ** *ἐπισημασίας συμβαίνειν* **VYβ** || **46** *ἐνθάδε* **Vα** *ἔνθεν* **βγ** | post *ἄλλας* addunt: *ὡς τὸ ὑποκείμενον εἰδικῶς* **α** (*ἰδικῶς* **Σc** *ἠστικειαν* vel similiter **Y** *ἑστικῇ* **G** *εἰδικῶς* **m**) om. etiam Procl. | *ἀποτελεῖς* **V** || **47** *πρώτης* **VαS** *ὅλης* **DMγ** || **49** *παρὰ* **VαMS** *περὶ* **Dγ**, cf. 1,540

συμβησόμενα κατὰ τὰς λεγομένας τῶν ἐφεξῆς χρόνων 50
διαιρέσεις.

β΄. Περὶ σπορᾶς καὶ ἐκτροπῆς

1 *Ἀρχῆς δὲ χρονικῆς ὑπαρχούσης τῶν ἀνθρωπίνων τέξεων φύσει μὲν τῆς κατ' αὐτὴν τὴν σποράν, δυνάμει δὲ καὶ κατὰ τὸ συμβεβηκὸς τῆς κατὰ τὴν ἀποκύησιν ἐκτροπῆς,* 55 *ἐπὶ μὲν τῶν ἐγνωκότων τὸν τῆς σπορᾶς καιρὸν ἤτοι συμπτωματικῶς ἢ καὶ παρατηρητικῶς, ἐκείνῳ μᾶλλον προσήκει* c 27v *πρός τε τὰ τοῦ σώματος καὶ τὰ τῆς ψυχῆς ἰδιώματα κατακολουθεῖν τὸ ποιητικὸν τοῦ κατ' αὐτὸν τῶν ἀστέρων* 2 *σχηματισμοῦ διασκεπτομένους· ἅπαξ γὰρ ἐν ἀρχῇ τὸ* 60

T 53–79 (§ 1–3) Heph. II 1,35–37

S **50–51** *χρόνων διαιρέσεις* Ap. IV 10 ‖ **53–119** (§ 1–7) cf. Val. I 21–22. III 13. VI 9,1–6. Ant. CCAG VIII 3 (1912) p. 116,16–31. Porph. 37–38 (Petosirin afferens ut Heph. II 1,1–34, cf. III 10,5). Sext. Emp. V 65–72. Ps.Ptol. Karp. 51. Olymp. 36–37. Rhet. CCAG II (1900) p. 186,15–187,3. Hermipp. II 144–145. Anon. Cod. Angelicus gr. 29 (CCAG V 1 [1904] cod. 2; nobis A) fol. 174r

52 *β΄* **V** *α΄* **DMγ** om. **αS** | *περὶ … ἐκτροπῆς* **VDMγ** Procl. om. **α** (quia anticipavit l. 1) **S** spatio relicto ‖ **53** *ἀνθρωπίνων* **VΣDγ** *ἀνθρωπείων* **YMS** | *τέξεων* **VD** *γενέσεων* **α** (*ἕξεων* **Σ** in margine) **MS** *ἕξεων* **γ** ‖ **54** *αὐτὴν* om. **Σ** ‖ **55** *τὸ* om. **MS** | super *ἐκτροπῆς* ex titulo Procli *ἤγουν καθ' ἣν τὸ ζῷον· ἐφ' ἑτέραν ἐκτρέπεται ζωὴν ἐξελθεῖν* [-*θὸν* Procl.] *τῆς μήτρας* [-*τερ*- **B** Procl.] add. **AB** ‖ **57** *παρατηρητικῶς* **αBC** *παρατηρικῶς* **VDA** *παρατηρηματικῶς* **MS** | *ἐκείνῳ* **βγ** Procl. *ἐκεῖνο* **Vα** ‖ **59** *αὐτὸν* **αDMγ** *αὐτῶν* **VS** ‖ **60** *σχηματισμοῦ* **Vαγ** *σχηματισμὸν* **DM** *συσχηματισμὸν* **S** | *ἅπαξ*] *ἅπαν* **MS**

σπέρμα ποιόν πως γενόμενον ἐκ τῆς τοῦ περιέχοντος διαδόσεως, κἂν διάφορον τοῦτο γίνηται κατὰ τοὺς ἐφεξῆς τῆς σωματοποιήσεως χρόνους, αὐτὸ τὴν οἰκείαν μόνην ὕλην φυσικῶς προσεπισυγκρίνον ἑαυτῷ κατὰ τὴν αὔξησιν 65 *ἔτι μᾶλλον ἐξομοιοῦται τῇ τῆς πρώτης ποιότητος ἰδιοτροπίᾳ.*

ἐπὶ δὲ τῶν μὴ γινωσκόντων, ὅπερ ὡς ἐπίπαν συμβαίνει, 3 m 106 *τῇ κατὰ τὴν ἐκτροπὴν ἀρχῇ καὶ ταύτῃ προσανέχειν ἀναγκαῖον, ὡς μεγίστῃ καὶ αὐτῇ καὶ μόνῳ τούτῳ τῆς πρώτης* 70 *λειπομένῃ τῷ δι' ἐκείνης καὶ τὰ πρὸ τῆς ἐκτέξεως δύνασθαι προγινώσκεσθαι. καὶ γὰρ εἰ τὴν μὲν ἀρχὴν ἄν τις εἴποι, τὴν δὲ ὥσπερ καταρχήν, τὸ μέγεθος αὐτῆς τῷ μὲν χρόνῳ γίνεται δεύτερον, ἴσον δὲ καὶ μᾶλλον τελειότερον τῇ δυνάμει, σχεδόν τε δικαίως ἐκείνη μὲν ἂν ὀνομάζοιτο* 75 *σπέρματος ἀνθρωπίνου γένεσις, αὕτη δὲ ἀνθρώπου. πλεῖστά τε γὰρ τότε προσλαμβάνει τὸ βρέφος, ἃ μὴ πρότερον, ὅτε κατὰ γαστρὸς ἦν, προσῆν αὐτῷ (καὶ αὐτὰ τὰ ἴδια μό-*

61 *σπέρμα ποιόν* **VY** *σπερμοποιόν* **βγ** *σπέρμα τοιόνδε* **Σ** | *γενόμενον* **Vαγ** *γινόμενον* **β** ‖ **62** *γίνηται τοῦτο* **Σ** | *ἐφεξῆς τῆς* **VDγ** *τῆς ἐφεξῆς* **MS** *ἐφεξῆς* **α** ‖ **63** *μόνην* **VΣDSγ** *μόνον* **M** *μόγης* **Y** ‖ **64** *ὕλην* om. **Y** ‖ **65** *ἔτι*] *ὅσον* **Y** | *ποιότητος* **Vβγ** *ἰδιώτητος* **Y** *ἰδιότητος* **GΣc** ‖ **67** *συμβαίνει*] *σημαίνει* **Y** ‖ **68** *τὴν κατὰ τὴν ἐκτροπὴν ἀρχὴν* **Y** | supra *ἐκτροπήν*: *ἤτοι τὴν γέννησιν* **A**[2] | *ταύτῃ* **VDγ** *εἰς ταῦτα* **YΣc** *εἰς ταύτην* **G** *εἰς τὴν μετὰ ταύτη* **M** *εἰς τὴν μετὰ ταῦτ(α)* **S** | *προσανέχειν* **Vγ** *προσέχειν* **αβ** ‖ **69** *μεγίστη … αὐτη … λειπομένη* Boer | *αὐτῇ* **VYβ** *ταύτῃ* **Σγc** ‖ **70** *ἐκείνης*] *ἐκείνην* **Y** | *τὰ*] *διὰ τῆς* **Y** | *πρὸ τῆς* **Σβγ** *πρώτης* **Y** *πρὸς τῆς ἐκ τῆς* **V** ‖ **71** *εἰ*] *ἡ* **V** *ἤ* **Y** ‖ **73** *δευτέρῳ* **Y** | *ἴσον … τελειότερον* om. **Y** ‖ **74** *ἐκεῖνο* **Y** ‖ **76** *τε*] *τῇ* **V** om. **A** | *λαμβάνει* **Y** ‖ **77** *προσῆν*] *πρὸς ἦν* **V** | *αὐτῷ*] *αὐτό* **VY** | *τὰ* **Vβγ** *γε* **Y** *τε* **Σ**

νης τῆς ἀνθρωπίνης φύσεως) ὅ τε σωματώδης σχηματισ-
4 *μός. κἂν μηδὲν αὐτῷ δοκῇ τὸ κατὰ τὴν ἔκτεξιν περιέχον εἰς τὸ τοιῷδε εἶναι συμβάλλεσθαι, αὐτὸ πρὸς τὸ κατὰ τὸν* 80 *οἰκεῖον τοῦ περιέχοντος σχηματισμὸν εἰς φῶς ἐλθεῖν συμβάλλεται, τῆς φύσεως μετὰ τὴν τελείωσιν πρὸς τὸ ὁμοιότυπον κατάστημα τῷ κατ' ἀρχὰς διαμορφώσαντι μερικῶς τὴν ὁρμὴν τῆς ἐξόδου ποιουμένης, ὥστε εὐλόγως καὶ τῶν τοιούτων ἡγεῖσθαι δηλωτικὸν εἶναι τὸν κατὰ τὴν ἐκτροπὴν* 85 *τῶν ἀστέρων σχηματισμόν – οὐχ ὡς ποιητικὸν μέντοι πάντως, ἀλλ' ὡς ἐξ ἀνάγκης κατὰ φύσιν ὁμοιότατον δυνάμει τῷ ποιητικῷ.*

5 *προθέσεως δὲ κατὰ τὸ παρὸν ἡμῖν οὔσης καὶ τοῦτο τὸ μέρος ἐφοδικῶς ἀναπληρῶσαι κατὰ τὸν ἐν ἀρχῇ τῇσδε τῆς* 90 m 107 *συντάξεως* [I 2] *ὑφηγημένον ἐπιλογισμὸν περὶ τοῦ δυνατοῦ τῆς τοιαύτης προγνώσεως, τὸν μὲν ἀρχαῖον τῶν προρρήσεων τρόπον τὸν κατὰ τὸ συγκρατικὸν εἶδος τῶν ἀστέρων*

78 *τῆς ἀνθρωπίνης* om. **V** | post *φύσεως* fortius interpunxit Boer, post *σχηματισμός* Robbins ‖ **79** *δοκεῖ* **VY** ‖ **80** *τοιόνδε* **Σ** | *αὐτὸ* **VYC** (quos secutus est Robbins) *αὐτῷ* **ΣβAB** (recepit Boer post l. 79 *σχηματισμός* laxius interpungens) | *πρὸς* **VY** *γοῦν* **Σβγ** | *τὸν*] *τὸ* iterant **VD** ‖ **81** *ἐλθεῖν εἰς φῶς* **M** ‖ **82** *τελείωσιν*] *ὁμοίωσιν* **M** ‖ **83** *τῷ* om. **Y** ‖ **85** *τὸν* **VΣβ** *τῶν* **Yγ** | *ἐκτροπὴν* **Vβγ** Procl. *τροπὴν* **ac** ‖ **87** *ἀνάγκης* **Vβγ** *ἀνάγκης ἔχων* **Y** *ἀνάγκης ἔχοντα* **Σ** | *κατὰ* **VY** *καὶ κατὰ* **Σβγ** ‖ **88** *τῷ ποιητικῷ* **βγ** *τὸ ποιητικόν* **Vα** ‖ **89** *προθέσεων* **V** | postea *δὲ κατὰ τὸ* om. **V** spatio duodecim fere litterarum relicto ‖ **90** *τῇσδε* **ω** plus minus distincte *τῆς δὲ* **c** Boer *τῆς δε* **m** ‖ **91** *ὑφηγημένον* **Vβγ** *ὑφηγούμενον* **α** ‖ **93** *τρόπον τὸν*] *τόπον* **M** *τρόπον* **S**, item 3,104.330. al., cf. Heph. II 26,18 p. 195,2 Pingree (= 4,839) necnon Gem. 2,15 p. 24,2 Manitius, vice versa 3,104.402. al., cf. Ant. CCAG VIII 3 (1912) p. 117, 27. Theoph. Edess. CCAG XI 1 (1932) p. 214,10. 235,5. Anon. CCAG XI 2 (1934) p. 185,22 al. | *συγκρατικὸν* **Vβγ** (cf. *κατὰ τὴν σύγκρασιν τῶν ἀστέρων* Procl.) *συγκριτικὸν* **ΓΣ** (α supra-

πάντων ἢ τῶν πλείστων (πολύχουν τε ὄντα καὶ σχεδὸν
95 *ἄπειρον, εἴ τις αὐτὸν ἀκριβοῦν ἐθέλοι κατὰ τὴν διέξοδον,*
καὶ μᾶλλον ἐν ταῖς κατὰ μέρος ἐπιβολαῖς τῶν φυσικῶς
ἐπισκεπτομένων ἢ ἐν ταῖς παραδόσεσι ἀναθεωρεῖσθαι δυ-
ναμένων) παραιτησόμεθα διά τε τὸ δύσχρηστον καὶ τὸ
δυσδιέξοδον. τὰς δὲ πραγματείας αὐτάς, δι' ὧν ἕκαστα τῶν **6**
100 *εἰδῶν κατὰ τὸν ἐπιβλητικὸν τρόπον συνορᾶται, καὶ τὰς*
κατὰ τὸ ἰδιότροπον καὶ ὁλοσχερὲς τῶν ἀστέρων πρὸς ἕκα-
στα ποιητικὰς δυνάμεις, ὡς ἔνι μάλιστα, παρακολουθητι-
c 28 *κῶς τε ἅμα καὶ ἐπιτετμημένως κατὰ τὸν φυσικὸν στοχασ-*
μὸν ἐκθησόμεθα· τοὺς μὲν τοῦ περιέχοντος τόπους, πρὸς
105 *οὓς ἕκαστα θεωρεῖται τῶν ἀνθρωπίνων συμπτωμάτων (καθ-*
άπερ σκοπὸν οὗ δεῖ καταστοχάζεσθαι) προυποτιθέμενοι,
τὰς δὲ τῶν τοῖς τόποις κατ' ἐπικράτησιν συνοικειουμένων

T 104–119 (§ 6 fin.–7) Heph. II 1,38

S 103–104 *στοχασμὸν* Ap. I 2,20, cf. Heph. II 1,38 necnon Plat. Phileb. 56[A]

scriptum, cf. 4,209 necnon Heph. App. III 2 cum Epp. I 42,2/ IV 111,2) **c** *συγκροτικὸν* **Y** (vix *-κρη-*) **G** | *τῶν* om. **α**
95 post *ἐθέλοι* interpunxit Boer, post *διέξοδον* Robbins || **97** *ἢ* om. **V** | *θεωρεῖσθαι* **Σ** | *δυναμένων* **αγ** (quos secutus est Robbins) *δυνάμενον* (sc. *ἐπιλογισμὸν*) **Vβ** (recepit Boer) || **99** *τῶν* **Vαγ** *τὰ τῶν* **β** || **100** *ἐπιβλητικὸν* **V** *ἐπικλητικὸν* **Y** *ἐπιβληματικὸν* **Σβγ** | *συνορᾶται* **Vαγ** *συνορατέον* **β** || **101** *ἰδιότροπον*] *ἴδιόν ροπον* **V** | *ὁλοσχερέστερον* **αβγ** *ὁλο-σχερὲς* **V** (praetulit Boer) | *ἕκαστα* **Vβγ** *ἕκαστον* **α** || **102** *παρ-ακολουθηκῶς* **ΣD** || **103** *ἐπιτετμημένως*] *ἀποτοιμημένος* **Y** || **103** *στοχασμὸν ἐκθησόμεθα* om. **V** spatio relicto || **104** *τοῦ*] *τούτ(ου)* **Y** | *τόπους* **VΣβγ** *τρόπου* **Y**, cf. l. 93 | *πρὸς* om. **γ** || **105** *θεωρεῖ* **V** || **106** *οὗ*] *οὐ* **VY** | *καταστοχάζεσθαι* **Vβγ** *προ-καταστοχάζεσθαι* **αc** | *προυποτιθέμενοι* **Vα** *προυποτιθεμένοις* **βγ** || **107** *συνοικειουμένων* **MS** *τῶν συνοικειουμένων* **VαDγ**

σωμάτων ποιητικὰς δυνάμεις (ὥσπερ ἀφέσεις βελῶν) κατὰ τὸ ὁλοσχερέστερον ἐφαρμόζοντες, τὸ δὲ ἐκ τῆς συγκράσεως τῆς ἐκ πλειόνων φύσεων περὶ τὸ ὑποκείμενον εἶδος συναγό- 110 *μενον ἀποτέλεσμα καταλιπόντες (ὥσπερ εὐστόχῳ τοξότῃ)*

7 *τῷ τοῦ διασκεπτομένου λογισμῷ. πρῶτον δὲ περὶ τῶν καθ-* m 108 *όλου διὰ τῆς κατὰ τὴν ἐκτροπὴν ἀρχῆς θεωρουμένων ποιησόμεθα τὸν λόγον κατὰ τὴν προσήκουσαν τῆς τάξεως ἀκολουθίαν, πάντων μέν, ὡς ἔφαμεν, τῶν φύσιν ἐχόντων* 115 *διὰ ταύτης λαμβάνεσθαι δυναμένων, συνεργησόντων δέ (εἴ τις ἔτι περιεργάζεσθαι θέλοι) πρὸς μόνα τὰ κατ' αὐτὴν τὴν σύγκρισιν ἰδιώματα καὶ τῶν κατὰ τὸν τῆς σπορᾶς χρόνον διὰ τῆς αὐτῆς θεωρίας ὑποπιπτόντων ἰδιωμάτων.*

γ'. Περὶ μοίρας ὡροσκοπούσης 120

1 *Ἐπειδὴ περὶ τοῦ πρώτου καὶ κυριωτάτου (τουτέστι τοῦ μορίου τῆς κατὰ τὴν ἐκτροπὴν ὥρας) ἀπορία γίγνεται πολλάκις – μόνης μὲν ὡς ἐπίπαν τῆς δι' ἀστρολάβων ὡροσκο-*

T 120–163 (§ 1–5) Heph. II 2,2–6 (cf. Ep. IV 21,1–3)

S 121–163 (§ 1–5) Val. I 4. Heph. II 2,7–42. Paul. Alex. 28–29 (quo spectat Olymp. 27). 33 (Olymp. 35)

108 *σωμάτων* **Vα** *ἀστέρων* **βγΣ**[2] (in margine) ‖ **110** *φύσεως* **MS** | *εἶδος συναγόμενον*] *οἶδος συναγόμενον οἶδος* **Y** ‖ **112** *πρῶτον δὲ* **Vα** *καὶ πρῶτον* **βγ** ‖ **115** *ὡς ἔφαμεν* (*ἔφημεν* **M**) post *ἐχόντων* **MS** ‖ **117** *κατ' αὐτὴν τὴν* **V** Procl. *κατὰ τὴν* **Yγ** *κατὰ* **Σc** *τὴν* (*κατὰ* omisso) **MS** ‖ **118** *σύγκρισιν* **Vαγ** Procl. *σύγκρασιν* **β**, cf. 1,135 | *τῶν*] *τὸν* **D** | *τὸν τῆς σπορᾶς* **VSγ** *τῆς σπορᾶς* **YMA** *τὰς σπορὰς* **Σc** *τὸ γένος* (?) *τῆς σπορᾶς* **D** ‖ **119** *διὰ τῆς*] *διὰ τῶν τῆς* **Σ** ‖ **120** *γ'* **V** *β'* **YDγ** om. **ΣMS** | totum titulum om. **S** ‖ **121** *ἐπειδὴ* **VDγ** Heph. *ἐπεὶ δὲ* **αMS**, cf. 1,996 ‖ **122** *τῆς*] *τοῦ* **MS** | *τὴν ἐκτροπὴν ὥρας* **VαDγ** Heph. *τὴν τῆς ἐκτροπῆς ὥραν* **MS**

πείων κατ' αὐτὴν τὴν ἔκτεξιν διοπτεύσεως τοῖς ἐπιστημονι-
125 *κῶς παρατηροῦσι τὸ λεπτὸν τῆς ὥρας ὑποβάλλειν δυναμέ-*
νης, τῶν δὲ ἄλλων σχεδὸν ἁπάντων ὡροσκοπείων, οἷς οἱ
πλεῖστοι τῶν ἐπιμελεστέρων προσέχουσι, πολλαχῇ διαψεύ-
δεσθαι τῆς ἀληθείας δυναμένων (τῶν μὲν ἡλιακῶν παρὰ 2
τὰς τῶν θέσεων καὶ τῶν γνωμόνων ἐπισυμπιπτούσας δια-
130 *στροφάς, τῶν δὲ ὑδρολογίων παρὰ τὰς τῆς ῥύσεως τοῦ*
ὕδατος ὑπὸ διαφόρων αἰτιῶν καὶ διὰ τὸ τυχὸν ἐποχάς τε
καὶ ἀνωμαλίας) – ἀναγκαῖον ἂν εἴη προπαραδοθῆναι, τίνα
m 109 *ἄν τις τρόπον εὑρίσκοι τὴν ὀφείλουσαν ἀνατέλλειν μοῖραν*
τοῦ ζῳδιακοῦ κατὰ τὸν φυσικὸν καὶ ἀκόλουθον λόγον,
135 *προυποτεθείσης τῆς κατὰ τὴν διδομένην σύνεγγυς ὥραν διὰ*
τῆς τῶν ἀναφορῶν πραγματείας εὑρισκομένης.

S 130 *ὑδρολογίων* Sext. Emp. V 24–25. 75 ‖ **136** *ἀναφορῶν πραγματείας* infra § 4. Synt. II 8. Pr. Kan. 3. Hypsicl. Anaph. passim. Manil. II 443–482. Porph. 41. Paul. Alex. 2 p. 10,17–11,3

124 *κατ' αὐτὴν τὴν* **αβγ** Heph. *κατὰ τὴν τῆς* **V** ‖ **125** *τὸ λεπτὸν* **Vβγ** *τῷ λεπτὸν* **Y** *τῷ λεπτῷ* **GΣc** ‖ **126** *οἱ*] *οἵ τε* **α** ‖ **127** *πολλαχῇ* Pingree apud Heph. *πολλαχῆ* **ω** *πολλαχοῦ* Procl. *πολλάκι* **c** ‖ **129** *γνωμόνων* **Vβγ** Heph. *γινομένων* **Y** *γινομένων μόνων* **Σ** (*γνωμόνων* in margine) ‖ **130** *δὲ*] *δὲ δι'* **α** *τε* **γ** | *ὑδραγωγίων* Heph. | *παρὰ* **VYSγ** Heph. *παρά τε* **Σc** *περὶ* **D** (cf. 1,540) *ἀπὸ* **M** | *τῆς ῥύσεως* **VYβγ** *ῥύσεις* **Σ** *τὴν ῥύσιν* Procl. *δύσεως* Heph. (cod. **A**) *φύσεις* **c** ‖ **132** *παραδοθῆναι* **Σ** ‖ **133** *τρόπον* **αMS** Heph. *πον* **V** *ποιῶν* **D** *ποῖον* **γ** ‖ **136** *εὑρισκομένης* "scil. *μοίρας*" Boer, cf. *ὡροσκοπούσης μοίρας* Heph. | postea titulum inseruerunt: *πῶς δεῖ λαμβάνειν ὥραν* **DM** *ἢ περὶ τῆς οἰκοδεσποτείας ἢ περὶ τῆς εὑρέσεως τῶν ἀναφορῶν* S[2] in margine *πῶς δεῖ λαβεῖν τὴν ὡροσκοποῦσαν μοῖραν* **γ** *πῶς δεῖ λαβεῖν τὴν ὥραν* Co p. 90,30 nihil **Vα**

3 *δεῖ δὴ λαμβάνειν τὴν τῆς ἐκτροπῆς προγενομένην ἔγγιστα συζυγίαν, ἐάν τε σύνοδος ᾖ ἐάν τε πανσέληνος, καὶ τὴν μοῖραν ἀκριβῶς διασκεψαμένους (συνόδου μὲν οὔσης τὴν ἀμφοτέρων τῶν φώτων, πανσελήνου δὲ τὴν τοῦ ὑπὲρ* 140 *γῆν αὐτῶν ὄντος κατὰ τὸν χρόνον τῆς ἐκτροπῆς) ἰδεῖν τοὺς πρὸς αὐτὴν οἰκοδεσποτικὸν λόγον ἔχοντας τῶν ἀστέρων, τοῦ τρόπου καθόλου τοῦ κατὰ τὴν οἰκοδεσποτείαν ἐν πέντε τούτοις θεωρουμένου (τριγώνῳ τε καὶ οἴκῳ καὶ ὑψώ-* c 28v *ματι καὶ ὁρίῳ καὶ φάσει ἢ συσχηματισμῷ), τουτέστιν ὅταν* 145 *ἕν τι ἢ πλείονα τούτων ἢ καὶ πάντα ὁ ζητούμενος ἔχῃ τόπος πρὸς τὸν μέλλοντα οἰκοδεσποτήσειν.* 4 *ἐὰν μὲν οὖν ἕνα πρὸς ταῦτα πάντα ἢ τὰ πλεῖστα οἰκείως διακείμενον εὑρίσκωμεν, ἣν ἂν ἐπέχῃ μοῖραν οὗτος ἀκριβῶς καθ' ὃ παροδεύει δωδεκατημόριον ἐν τῷ τῆς ἐκτροπῆς χρόνῳ, τὴν* 150

S 137–163 (§ 3–5) Heph. Ep. IV 21

137 *προγενομένην* **βγ** Heph. (cf. 3,455.603.608) *προγενομένης* **V** *προγινομένην* **α** (recepit Boer), cf. 2,907.1013 ‖ **138** *συζυγίαν* **αβγ** Heph. *συζυγίας* **V** | *ᾖ* **VΣDγ** *εἴη* **Y** om. **MS** ‖ **139** *διασκεψαμένους* **Vγ** *διασκεψωμένους* **V** *διασκεψομένους* **GΣβc** ‖ **140** *τοῦ*] *τῶν* **Σ** ‖ **141** *ὄντος* **βγm** Heph. *ὄντως* **V** *ὄντας* **Y** *ὄντων* **Σc** | *κατὰ … ἐκτροπῆς*] "videtur abundare" **m** in margine | *κατὰ* **ΣMSγc** Heph. (postea *καὶ ἰδεῖν*) Procl. *κατά τε* **VY** (recepit Robbins antea interpungens, ante *ἰδεῖν* non ita) *καὶ ἰδεῖν* Heph. ‖ **142** *ἔχοντας* hic praebet Heph., ante *οἰκοδεσποτικὸν* **MS**, ante *λόγον* **α**, post *ἀστέρων* **D** om. **V** ‖ **145** *ὁρίοις* **MS** ‖ **146** *ἢ* (ante *πλείονα*) **VDMγ** *ἢ καὶ* **Σ** *ἢ τὰ* **S** Heph. om. **Y** | *πάντως* **Σ** ‖ **147** super *ἕνα*: *ἤγουν ἀστέρα* scripsit **S**[2] ‖ **148** *τὰ*] *εἰς τὰ* **S** ‖ **149** *ἐπέχῃ μοῖραν*] *ἐπέχειν ὥραν* **Y** | *οὗτος* **Σβγ** Heph. (ante *ἐπέχῃ*) *οὕτως* **VY** | *παροδεύει καθ' ὃ* **M**

ἰσάριθμον αὐτῇ κρινοῦμεν ἀνατέλλειν ἐν τῷ διὰ τῆς τῶν ἀναφορῶν πραγματείας εὑρημένῳ ἐγγυτέρῳ δωδεκατημορίῳ. ἐὰν δὲ δύο ἢ καὶ πλείους συνοικοδεσποτοῦντας, οὗ ἂν αὐτῶν ἡ κατὰ τὴν ἐκτροπὴν μοιρικὴ πάροδος ἐγγύτερον
m 110 155 *ἔχῃ τὸν ἀριθμὸν τῇ κατὰ τὰς ἀναφορὰς ἀνατελλούσῃ, τούτου τῇ ποσότητι τῶν μοιρῶν χρησόμεθα, εἰ δὲ δύο ἢ καὶ πλείους ἐγγὺς εἶεν τῷ ἀριθμῷ, τῷ μᾶλλον ἔχοντι λόγον πρὸς τὰ κέντρα ἢ καὶ τὴν αἵρεσιν κατακολουθήσομεν. ἐὰν* 5 *μέντοι πλείων ᾖ ἡ ἀπόστασις τῶν τῆς οἰκοδεσποτείας μοι-*
160 *ρῶν πρὸς τὴν κατὰ τὸ ὁλοσχερὲς ὡροσκοπίον ἤπερ πρὸς τὴν κατὰ τὸ ὅμοιον μεσουράνημα, τῷ αὐτῷ ἀριθμῷ πρὸς τὴν μεσουρανοῦσαν μοῖραν καταχρησάμενοι διὰ ταύτης καὶ τὰ λοιπὰ τῶν κέντρων καταστησόμεθα.*

S 152 *ἀναφορῶν πραγματείας* supra § 2 (ubi plura) ‖ **154** *μοιρικὴ* Ap. II 9,23 (ubi plura)

151 *αὐτῇ* **αγ** *αὐτοῦ* **V** *αὐτὴν* **β** | *διὰ τῆς* **Σβγ** *τῆς διὰ* **VY** ‖ 152 *ἀναφορῶν*] *ἀμφοτέρων* **Y** | *ἐγγυτέρῳ* om. **D** (*ἐγγύτερον* in margine) | *δωδεκατημορίῳ* **β** *δωδεκατημόριον* **Vαγ** ‖ 153 supra *πλείους*: *ἀστέρες* scripsit S^2 | *συνοικοδεσποτοῦντας* **α** *συνοικοδεσπότας* **V** *συνοικοδεσποτῶσιν* **βγ** ‖ 156 *χρησόμεθα* **V** (sim. Heph.) *καταχρησόμεθα* **αβγ** (cf. l. 162) ‖ 157 *ἐγγὺς* post *ἀριθμὸν* **ΣM** | *εἶεν τῷ ἀριθμῷ* **VYDγ** *ἐν τῷ ἀριθμῷ* **G** *ἔχοιεν τὸν ἀριθμὸν* **ΣMSc** (cf. Co le p. 92,2) ‖ 159 *ἀπόστασις* **V** Heph. *ὑπόστασις* **Y** *διάστασις* **Σβγ** *πόσοτης* Feraboli (coll. *ἀριθμόν* Co p. 92,12 postea scribens *ἤπερ*) ‖ 160 *ὡροσκοπεῖον* Boer tacite, quae postea interpunxit, post l. 161 *μεσουράνημα* non ita ‖ 161 *μεσουράνημα* **Vβγ** Heph. Procl. *μεσουράνισμα* **Y** *μεσουρανήματι* **Σ** Co le p. 92,8 **c** ‖ 163 *τῶν κέντρων* **VYSγ** Heph. Procl. *τοῦ κέντρου* **ΣDMc** | *καταστησόμεθα* **αβγ** Heph. *διαστησόμεθα* **V** edd.

δ'. Διαίρεσις γενεθλιαλογίας

1 *Τούτων δὴ προεκτεθειμένων εἴ τις αὐτῆς τῆς τάξεως ἕνεκεν διαιροίη τὸ καθόλου τῆς γενεθλιαλογικῆς θεωρίας, εὕροι ἂν τῶν κατὰ φύσιν καὶ δυνατῶν καταλήψεων τὴν μὲν τῶν πρὸ τῆς γενέσεως οὖσαν συμπτωμάτων μόνον (ὡς τὴν τοῦ περὶ γονέων λόγου* [c. 5]*), τὴν δὲ τῶν καὶ πρὸ τῆς γενέσεως καὶ μετὰ τὴν γένεσιν (ὡς τὴν τοῦ περὶ ἀδελφῶν λόγου* [c. 6]*), τὴν δὲ τῶν κατ' αὐτὴν τὴν γένεσιν οὐκέθ' οὕτως μίαν οὖσαν οὐδὲ ἁπλῆν, τελευταίαν δὲ τὴν τῶν μετὰ τὴν γένεσιν πολυμερεστέραν καὶ ταύτην θεωρουμένην.* 165 170

2 *ἔστι δὲ τῶν μὲν κατ' αὐτὴν τὴν γένεσιν ἐπιζητουμένων ὅ τε περὶ ἀρρενικῶν καὶ θηλυκῶν λόγος* [c. 7] *καὶ ὁ περὶ διδυμογόνων ἢ πλειστογόνων* [c. 8] *καὶ ὁ περὶ τεράτων* [c. 9] *καὶ ὁ περὶ ἀτρόφων* [c. 10], *τῶν δὲ μετὰ τὴν γένεσιν ὅ τε περὶ χρόνων ζωῆς* [c. 11], *ἐπειδήπερ οὐ συνῆπται τῷ περὶ ἀτρόφων, ἔπειτα ὁ περὶ μορφῆς σώματος* [c. 12] *καὶ ὁ περὶ παθῶν ἢ σινῶν σωματικῶν* [c. 13], *ἑξῆς δὲ ὁ περὶ ψυχῆς ποιότητος* [c. 14] *καὶ ὁ περὶ παθῶν ψυχικῶν* [c. 15], 175 m 111 180

T 164–190 (§ 1–3) Heph. II 3,1

164 titulum om. **S** | *δ'* **VD** *γ'* **Yγ** om. **ΣΜ** | *γενεθλιαλογίας* **VDγ** *γενεθλιαλογική* **αMc** Co le p. 92,24 || **166** *διαιρεῖν* **Y** || **167** *φύσει* **Y** || **168** *μόνον* **VY** *μόνων* **Σβγ** *μόνην* (sc. *ἐπίσκεψιν*) Heph. || **170** *ὡς τὴν ... τὴν γένεσιν* om. **V** || **172** *οὐδὲ* **V** (cf. Heph.) *δὲ* **Y** *καὶ* **Σβγ** | post *ἁπλῆν*: *ὡς τὴν περὶ ἀδελφῶν* antea omissum recuperat **V** || **173** *τὴν* om. **γ** | *πολυμερέστερον* **V** || **175** *ἐπιζητουμένων* **VYDγ** *ζητουμένων* **ΣMS** || **177** *διδύμων νων* **M** || **179** *χρόνων* **VYβAC** Heph. Procl. *χρόνου* **ΣΒ** | *τῷ* om. **V** || **180** *ἀστρόφων* **V** || **181** *ὁ περὶ παθῶν* **VY** *περὶ παθῶν* **S** *παθῶν* **ΣMγc** || **182** *ψυχῆς*] *ψυχικῆς* **Σ**

ἔπειθ' ὁ περὶ τύχης κτητικῆς [IV 2] *καὶ ὁ περὶ τύχης ἀξιωματικῆς* [IV 3], *μετὰ δὲ ταῦτα ὁ περὶ πράξεως ποιό-*
185 *τητος* [IV 4], *εἶτα ὁ περὶ συμβιώσεως γαμικῆς* [IV 5] *καὶ* 3
ὁ περὶ τεκνοποιίας [IV 6] *καὶ ὁ περὶ συνεπιπλοκῶν καὶ συναρμογῶν καὶ φίλων* [IV 7], *ἑξῆς δ' ὁ περὶ ξενιτειῶν*
c 29 [IV 8], *τελευταῖος δὲ ὁ περὶ τῆς τοῦ θανάτου ποιότητος* [IV 9], *τῇ μὲν δυνάμει συνοικειούμενος τῷ περὶ χρόνων*
190 *ζωῆς, τῇ τάξει δ' εἰκότως ἐπὶ πᾶσι τούτοις τιθέμενος. ὑπὲρ* 4
ὧν ἑκάστου κατὰ τὸ κεφαλαιῶδες ποιησόμεθα τὴν ὑφήγησιν, αὐτὰς τὰς τῆς ἐπισκέψεως πραγματείας μετὰ ψιλῶν τῶν ποιητικῶν δυνάμεων, ὡς ἔφαμεν, ἐκτιθέμενοι, καὶ τὰ μὲν περιέργως ὑπὸ τῶν πολλῶν φλυαρούμενα καὶ μὴ πιθα-
195 *νὸν ἔχοντα λόγον πρὸς τὰς ἀπὸ τῆς πρώτης φύσεως αἰτίας παραπεμπόμενοι, τὰ δὲ ἐνδεχομένην ἔχοντα τὴν κατάληψιν οὐ διὰ κλήρων καὶ ἀριθμῶν ἀναιτιολογήτων, ἀλλὰ δι' αὐτῆς τῆς τῶν σχηματισμῶν πρὸς τοὺς οἰκείους τόπους θεωρίας ἐπισκεπτόμενοι, καθόλου μέντοι καὶ ἐπὶ πάντων*
200 *ἁπλῶς, ἵνα μὴ καθ' ἕκαστον εἶδος ταυτολογῶμεν.*
m 112 *πρῶτον μὲν χρὴ σκοπεῖν τὸν οἰκειούμενον τόπον τοῦ ζῳ-* 5
διακοῦ τῷ ζητουμένῳ τῆς γενέσεως κατ' εἶδος κεφαλαίῳ

T 201–232 (§ 5–8) Heph. II 3,2–4

183 *κτητικῆς ... τύχης* om. **M** ‖ **186** *ὁ* (prius) om. **V** | *ὁ* (alterum) om. **V** ‖ **186** *καὶ συναρμογῶν* om. **MS** ‖ **187** *καὶ* ante *φίλων* om. **Σγc** | *ξενιτειῶν* **VDY** (add. *λόγος*) *ξενιτείας* **ΣMSγ** Heph., cf. titulum 4,519 ‖ **188** *τελευταῖος δὲ* **V** *καὶ τελευταῖος* **αβγ** Heph. fort. recte ‖ **191** *τὴν ὑφήγησιν*] *τὴν ὑπόθεσιν ἢ τὴν ὑφήγησιν* **Y** ‖ **196** *παραπεμπόμενοι* **Y** *περιπεμπόμενοι* **V** *ἀποπεμπόμενοι* **Σβγ** | *ἐνδεχομένην* **αSγ** *ἐνδεχόμενα* **V** (quod servaveris tollens *ἔχοντα*) *ἐχομένην* **DM** ‖ **197** *οὐ* om. **Y** ‖ **198** *τῶν*] *διὰ τῶν* **Y** | *οἰκείως* **M** | *τόπους* om. **MS** ‖ **200** *ταυτολογῶμεν* **Σβγ** *ταυτολογοῦμεν* **Y** *ταῦτα* (i. *ταὐτὰ*) *λέγωμεν* **V** ‖ **201** *σκοπεῖν* om. **ΣMc**

(καθάπερ λόγου ἕνεκεν τῷ περὶ πράξεων τὸν τοῦ μεσουρανήματος ἢ τῷ περὶ πατρὸς τὸν ἡλιακόν), ἔπειτα θεωρεῖν τοὺς λόγον ἔχοντας πρὸς τὸν ὑποκείμενον τόπον τῶν ἀστέ- 205 *ρων οἰκοδεσποτείας καθ' οὓς ἐπάνω* [III 3,3] *προείπομεν πέντε τρόπους, κἂν μὲν εἷς ᾖ ὁ κατὰ πάντας κύριος, τούτῳ διδόναι τὴν ἐκείνης τῆς προτελέσεως οἰκοδεσποτείαν, ἐὰν δὲ δύο ἢ τρεῖς, τοῖς τὰς πλείους ἔχουσι ψή-*
6 *φους· μετὰ δὲ ταῦτα πρὸς μὲν τὸ ποῖον τοῦ ἀποτελέσμα-* 210 *τος σκοπεῖν τάς τε αὐτῶν τῶν οἰκοδεσποτησάντων ἀστέρων φύσεις καὶ τὰς τῶν δωδεκατημορίων, ἐν οἷς εἰσιν αὐτοί τε καὶ οἱ συνοικειούμενοι τόποι· πρὸς δὲ τὸ μέγεθος αὐτῶν σκοπεῖν καὶ τὴν δύναμιν, πότερον ἐνεργῶς τυγχά-*

S **204** *περὶ πατρὸς τὸν ἡλιακόν* Ap. III 5,1. Philo Somn. I 73 || **211** *οἰκοδεσποτησάντων* cf. Val. II 2

203 *τῷ*] *τῶν* **Y** | *πράξεων* **VYDγ** *πράξεως* **ΣMS** Heph. (*τάξεως* cod. **P**) | *τοῦ* **VαDγ** Heph. *ποῦ* **M** *τῷ* **S** | *μεσουρανήματος* **αMSγ** Heph. *μορίου* **M** *μεσουρανοῦντος* **D** || **205** *τόπον*] *λόγον* **Y**, cf. 3,861. 4,511, aliter 3,394 || **206** *ἐπάνω* om. **Σ** Heph. (cod. **A**) | *προεῖπον* **V** || **207** *πάντας* **VYMS** Procl. *πάντα* **GΣc** *πάντας τρόπους* **Dγ** || **208** *τούτῳ* **VDγ** *αὐτῷ* **αMSc** Heph. | *προτελέσεως*] *προτε* sequente lacuna septem fere litterarum **V** || **209** *ἢ* **Vα** Heph. *ἢ καὶ* **βγ** || **213** *τε*] *περὶ* **V** | *συνοικειούμενοι* **Vγ** Procl. *συνοικιούμενοι* **Y** *κυριευόμενοι* **Σβc** Co le p. 95,5 | *τόποι*] *χρόνοι* **S** || **214** *αὐτῶν ... δύναμιν*] *αὐτοῦ καὶ τὴν δύναμιν σκοπεῖν, πόθεν κρίνωμεν* [*-ομεν* **G**] *ἢ* [i. *εἰ*] *μέγα καὶ ἰσχυρὸν τὸ ἀποτέλεσμα ἡμῖν* **Y** | *καὶ τὴν δύναμιν* hic praebent **VΣβ**, post *αὐτῶν* **γ** (cf. **Y** supra) | *πρότερον* **Y** | *ἐνεργῶς* **Vα** *ἐναργῶς* **βγ** Heph.

215 *νουσι διακείμενοι κατά τε αὐτὸ τὸ κοσμικὸν καὶ τὸ κατὰ τὴν γένεσιν ἢ τὸ ἐναντίον (δραστικώτατοι μὲν γάρ εἰσιν,* 7 *ὅταν κοσμικῶς μὲν ἐν ἰδίοις ἢ ἐν οἰκείοις ὦσι τόποις καὶ πάλιν ὅταν ἀνατολικοὶ τυγχάνωσι καὶ προσθετικοὶ τοῖς ἀριθμοῖς, κατὰ γένεσιν δέ, ὅταν ἐπὶ τῶν κέντρων ἢ τῶν*
220 *ἐπαναφορῶν παροδεύωσι, καὶ μάλιστα τῶν πρώτων – λέγω δὲ τῶν τε κατὰ τὰς ἀναφορὰς καὶ τὰς μεσουρανήσεις –, ἀδρανέστατοι δέ, ὅταν κοσμικῶς μὲν ἐν ἀλλοτρίοις ἢ ἀνοικείοις ὦσι τόποις καὶ δυτικοὶ ἢ ἀναποδιστικοὶ τοῖς*
m 113 *δρόμοις ὦσι, κατὰ γένεσιν δέ, ὅταν ἀποκλίνωσι τῶν κέν-*
225 *τρων), πρὸς δὲ τὸν καθόλου χρόνον τοῦ ἀποτελέσματος,* 8 *πότερον ἑῷοί εἰσιν ἢ ἑσπέριοι πρός τε τὸν ἥλιον καὶ τὸν ὡροσκόπον (ἐπειδήπερ τὰ μὲν προηγούμενα ἑκατέρου αὐτῶν τεταρτημόρια καὶ τὰ διάμετρα τούτοις ἑῷα γίνεται, τὰ δὲ λοιπὰ καὶ ἑπόμενα ἑσπέρια) καὶ πότερον ἐπὶ τῶν*
230 *κέντρων τυγχάνουσιν ἢ τῶν ἐπαναφορῶν· ἑῷοι μὲν γὰρ ὄντες ἢ ἐπίκεντροι κατ' ἀρχὰς γίνονται δραστικώτεροι, ἑσπέριοι δὲ ἢ ἐπὶ τῶν ἐπαναφορῶν βραδύτεροι.*

217 post *οἰκείοις*: *τοὺς τῆς αἱρέσεως* **Y** ‖ **218** *ἀνατολικοὶ* **VDγ** Heph. *ἀνατολικοὶ μὲν* **αMS** ‖ **222** *ὅταν κοσμικῶς μὲν* **VYβγ** *κοσμικῶς μέν, ὅταν* **Σc** Procl. *ὅταν* Heph. | *ἐν* **Σβγ** Heph. *ἐν τοῖς* **VY** ‖ **223** *ὦσι* om. **MSC** Heph. | *ἀναποδιστικοὶ* **Vβγ** *ἀναποδιστηκοὶ* **Y** *ἀναποδεστικοὶ* **G** *ἀναποδιτικοὶ* **Σ** (inde *ἀναποδυτικοὶ* **c** qui add. in margine *ἀφαιρετικοὶ* sicut **γ** add. in margine *ἤγουν ἀφαιρετικοὶ*) ‖ **228** *τεταρτημορίου* **Σ** ‖ **232** *ἐπαναφορῶν* **VDγ** *ἀναφορῶν* **αMS** Heph. | *βραδύτεροι* **V** *βράδιον* **αβγ** Heph. (codd. **AC**, *βράδιοι* cod. **P**)

ε΄. Περὶ γονέων

c 29v

1 Ὁ μὲν οὖν προηγούμενος τύπος τῆς κατ' εἶδος ἐπισκέψεως, οὗ διὰ παντὸς ἔχεσθαι προσήκει, τοῦτον ἔχει τὸν τρόπον. 235 ἀρξόμεθα δὲ ἤδη κατὰ τὴν ἐκκειμένην τάξιν ἀπὸ πρώτου τοῦ περὶ γονέων λόγου. ὁ μὲν τοίνυν ἥλιος καὶ ὁ τοῦ Κρόνου ἀστὴρ τῷ πατρικῷ προσώπῳ συνοικειοῦνται κατὰ φύσιν, ἡ δὲ σελήνη καὶ ὁ τῆς Ἀφροδίτης τῷ μητρικῷ, καὶ ὅπως ἂν οὗτοι διακείμενοι τυγχάνωσι πρός τε ἀλλήλους 240 καὶ πρὸς τοὺς ἄλλους, τοιαῦτα δεῖ καὶ τὰ περὶ τοὺς γονέας ὑπονοεῖν. 2 τὰ μὲν γὰρ περὶ τῆς τύχης καὶ κτήσεως

T 233–328 (§ 1–10 *ἐπισκοπεῖν*) Heph. II 4,1–17

S 234–351 (§ 1–12) Dor. G p. 330–332 (~ Lib. Herm. 19–20a, cf. Dor. A I 12,15 – I 16 ~ Lib. Herm. 19–22). Val. II 32 (ex Timaeo). Ant. CCAG VIII 3 (1912) p. 110,13–19. Firm. math. VI 32,3–22. Heph. II 4,20–29 (adde Ep. IV 22–23). Paul. Alex. 24 p. 52,9–19. Rhet. C p. 218,9–220,10 (cf. CCAG II [1900] p. 187,4–188,25, adde cod. Angelicum gr. 29 [CCAG V 1, 1904, cod. 2; nobis A], fol. 174v). Horosc. Const. 1,1–3 ‖ **237–239** *ἥλιος* etc. Ap. III 4,5 (ubi plura) ‖ **238–239** *πατρικῷ ... μητρικῷ* Mich. Pap. col. IX 29–31. Porph. 45 p. 218,19. 219,8. Firm. math. VII 9,1. Paul. Alex. 15 p. 32,10–23. Rhet. C p. 156,18–19. 218,10–12 ‖ **239–240** *σελήνη* Artemid. Oneir. II 36 p. 135,16 Hercher

233 titulum hic praebent **αMS** Heph., post l. 237 *λόγου* **VDγ** Co p. 95,28 ‖ **234** *τύπος* **VYDγ** Heph. (cod. **A**) *τόπος* **ΣMS** Heph. (cod. **P**), cf. 4,897 ‖ **235** *οὗ* **ΣMSγ** Heph. *οὐ* **VD** *οὖν* **Y** | *τρόπον*] *τόπον* **Y**, cf. 3,93 ‖ **239** *μητρικῷ*] *μοιριακῷ* **V** ‖ **241** *δεῖ* **ΣMSγ** Heph. (codd. **AP**, *δὲ* cod. **C**) *δὴ* **VD** *γὰρ* **Y** | *τὰ* **Σ** Heph. (codd. **AP**) Procl. *τὰς* **MS** Heph. (cod. **C**) om. **VYDγ** haud scio an recte ‖ **242** *τὰ μὲν*] *τὸ μὲν* Co le p. 95,–8 | *τῆς* om. **γ**

*αὐτῶν ἐπισκεπτέον ἐκ τῆς δορυφορίας τῶν φώτων, ἐπειδή-
περ περιεχόμενα μὲν ὑπὸ τῶν ἀγαθοποιεῖν δυναμένων καὶ*
245 *τῶν τῆς αὐτῆς αἱρέσεως ἤτοι ἐν τοῖς αὐτοῖς ζῳδίοις ἢ καὶ*
m 114 *ἐν τοῖς ἐφεξῆς ἐπιφανῆ καὶ λαμπρὰ τὰ περὶ τοὺς γονέας
διασημαίνει, καὶ μάλιστα ὅταν τὸν μὲν ἥλιον ἑῷοι δορυ-
φορῶσιν ἀστέρες, τὴν δὲ σελήνην ἑσπέριοι, καλῶς καὶ αὐ-
τοὶ διακείμενοι, καθ' ὃν εἰρήκαμεν τρόπον. ἐὰν δὲ καὶ ὁ* 3
250 *τοῦ Κρόνου καὶ ὁ τῆς Ἀφροδίτης καὶ αὐτοὶ τυγχάνωσιν
ἀνατολικοί τε καὶ ἰδιοπροσωποῦντες ἢ καὶ ἐπίκεντροι, εὐ-
δαιμονίαν πρόδηλον ὑπονοητέον κατὰ τὸ οἰκεῖον ἑκατέρου
τῶν γονέων. τὸ δὲ ἐναντίον, ἐὰν κενοδρομοῦντα ᾖ τὰ
φῶτα καὶ ἀδορυφόρητα τυγχάνοντα, ταπεινότητος καὶ*
255 *ἀδοξίας τοῖς γονεῦσί ἐστι δηλωτικά, καὶ μάλιστα ὅταν ὁ
τῆς Ἀφροδίτης ἢ καὶ ὁ τοῦ Κρόνου μὴ καλῶς φαίνωνται
διακείμενοι. ἐὰν δὲ δορυφορῆται μέν, μὴ μέντοι ὑπὸ τῶν* 4

S **243** *δορυφορίας* Sext. Emp. V 38 (inde Hippol. ref. haer. IV 1,1). Ant. CCAG VIII 3 (1912) p. 106,27–29. 115,10–116,2. Porph. 29. Heph. I 17. Rhet. A p. 156,7–25 ‖ **244** *περιεχόμενα* Ap. I 24,3 (ubi plura) ‖ **253** *κενοδρομοῦντα* Maneth. II(I) 486. Ant. CCAG VIII 3 (1912) p. 107,24–25. 110,30–32. Rhet. A p. 159,1–3. Zahel CCAG V 3 (1910) p. 99,12–16. Anon. De stellis fixis VI 8,2

244 *περιεχόμενα* **Q** (recepit Boer confirmata ab Heph.) *πῶς ἐχόμενα* **V** *περιχοιμόνοι* **Y** *περιεχόμενοι* **Σβγ** ‖ **246** *ἐφε-ξῆς* **VYDγ** *ἑξῆς* **ΣMS** Heph. ‖ **247** *διασημαίνει* **VY** Heph. (codd. **AP**) *διασημαίνουσι* **Σβγ** Heph. (cod. **C**) | *δορυφορῶσιν* **αβγ** Heph. (codd. **AP**, *δορυφορήσωσιν* cod. **C**) *διαφοροῦσιν* **V** ‖ **249** *καθ' ὃν ... τρόπον* om. **Σc** ‖ **254** *δορυφόρητα* **S** ‖ **255** *τοῖς γονεῦσι* **VDγ** Heph. *τῶν γονέων* **αMS** | *ἐστι* **αMS** Heph. (cod. **P**) *εἰσι* **VDγ** Heph. (cod. **A**) | *ὅταν μηδ'* **Y** ‖ **256** *μὴ καλῶς* **ΣMSγc** Heph. Procl. *κακῶς* **V** (recepit Boer) *καλῶς* **YD** (qui transposuit *μὴ* ante *διακείμενοι*) ‖ **257** *μέν* **VαMS** Heph. *μὲν τὰ φῶτα* **Dγ** | *τῶν* **Σβγ** Heph. om. **VY**

τῆς αὐτῆς αἱρέσεως (ὡς ὅταν Ἄρης μὲν ἐπαναφέρηται τῷ ἡλίῳ ἢ τῇ σελήνῃ Κρόνος) ἢ μὴ καλῶς κειμένων τῶν ἀγαθοποιῶν καὶ κατὰ τὴν αὐτὴν αἵρεσιν, μετριότητα καὶ 260 *ἀνωμαλίαν περὶ τὸν βίον αὐτῶν ὑπονοητέον. κἂν μὲν σύμφωνος ᾖ ὁ διασημανθησόμενος τῆς τύχης κλῆρος ἐν τῇ γενέσει τοῖς τὸν ἥλιον ἢ τὴν σελήνην ἐπὶ καλῷ δορυφορήσασι, παραλήψονται σῷα τὰ τῶν γονέων, ἐὰν δὲ ἀσύμφωνος ᾖ ἢ ἐναντίος, μηδενὸς ἢ τῶν κακοποιῶν εἰληφότων* 265 *τὴν δορυφορίαν, ἄχρηστος αὐτοῖς καὶ ἐπιβλαβὴς ἡ τῶν γονέων ἔσται κτῆσις.*

5 *περὶ δὲ πολυχρονιότητος ἢ ὀλιγοχρονιότητος αὐτῶν σκεπτέον ἀπὸ τῶν ἄλλων συσχηματισμῶν· ἐπὶ μὲν γὰρ τοῦ*

S 258–259 *Ἄρης ... Κρόνος* Rhet. CCAG II (1900) p. 187, 28–29 ‖ **268–351** (§ 5–12) Val. II 31. Ant. CCAG VIII 3 (1912) p. 110,17–18. Firm. math. VII 9. Rhet. CCAG II (1900) p. 188,26–189,26. Lib. Herm. 22

258 *ἐπάνω φέρηται* **V** ‖ **259** *ἢ τῇ σελήνῃ Κρόνος* **Dγ** (de chiasmo cf. 3,1034. 1089) *ἢ τῇ σελήνῃ Κρόνος τῇ σελήνῃ* **V** *ὁ δὲ Κρόνος δὲ τῇ σελήνῃ* **Y** *Κρόνος δὲ τῇ σελήνῃ* **ΣMS** Heph. (receperunt edd., Boer coll. 3,517) | *ἢ μὴ* **V** (cf. *μὴ* Heph.) *μήπως* **Y** (praetulit Boer) *ὑπὸ* **Σβγ** ‖ **260** *μετριότητα* **αβγ** Heph. *μετριότατοι* **V** ‖ **263** *σελήνην* **VYγ** Heph. Procl. *Ἀφροδίτην* **ΣMSc** | *ἐπὶ καλῷ δορυφορήσασι*] *ἐπικαλωδορήσασι* **V** ‖ **265** *ᾖ* **VY** om. **Σβγ** Heph. | *μηδενὸς ἢ τῶν κακοποιῶν* **VΣβ** Co (qui p. 99,11 interpretatur: *προσυπακούειν χρὴ τῷ μηδενὸς τοῦ ἄλλου, τουτέστι μηδενὸς τῶν ἀγαθοποιῶν* [...] *ἢ μόνον τῶν κακοποιῶν*) *μηδενὸς τῶν κακοποιῶν* **Y** *μηδενὸς τῶν ἀγαθοποιῶν* **γ** Heph. *τῶν κακοποιῶν* Procl. (cf. Co supra) ‖ **266** *δορυφορίαν*] *δορίαν* **V** ‖ **268** *πολυχρονιότητος ἢ ὀλιγοχρονιότητος αὐτῶν* **Vβγ** *πολυχρονιότητος αὐτῶν ἢ ὀλιγοχρονιότητος* **Y** *πολυχρονιότητος αὐτῶν* **GΣc** Heph. ‖ **269** *συσχηματισμῶν* **VYDSγ** Heph. (codd. **PC**, ex *σχημ-* corr. cod. **A**) *σχηματισμῶν* **ΣM** | *ἐπεὶ* **VD**

270 *πατρός, ἐὰν ὁ τοῦ Διὸς ἢ ὁ τῆς Ἀφροδίτης συσχηματισ-*
m 115 *θῶσιν ὁπωσδήποτε τῷ τε ἡλίῳ καὶ τῷ τοῦ Κρόνου, ἢ καὶ*
αὐτὸς ὁ τοῦ Κρόνου σύμφωνον ἔχῃ σχηματισμὸν πρὸς τὸν
ἥλιον ἤτοι συνὼν ἢ ἑξαγωνίζων ἢ τριγωνίζων, ἐν δυνάμει
μὲν ὄντων αὐτῶν πολυχρονιότητα τοῦ πατρὸς καταστοχα-
275 *στέον, ἀδυναμούντων δὲ οὐχ ὁμοίως, οὐ μέντοι οὐδὲ ὀλιγο-*
χρονιότητα. ἐὰν δὲ τοῦτο μὲν μὴ ὑπάρχῃ, ὁ δὲ τοῦ **6**
c 30 *Ἄρεως καθυπερτερήσῃ τὸν ἥλιον ἢ τὸν τοῦ Κρόνου ἢ καὶ*
ἐπανενεχθῇ αὐτοῖς, ἢ καὶ αὐτὸς πάλιν ὁ τοῦ Κρόνου μὴ
σύμφωνος ᾖ πρὸς τὸν ἥλιον, ἀλλ' ἤτοι τετράγωνος ἢ διά-
280 *μετρος, ἀποκεκλικότες μὲν τῶν κέντρων ἀσθενικοὺς μόνον*
τοὺς πατέρας ποιοῦσιν, ἐπίκεντροι δὲ ἢ ἐπαναφερόμενοι
τοῖς κέντροις ὀλιγοχρονίους ἢ ἐπισινεῖς· ὀλιγοχρονίους μέν,
ὅταν ἐν τοῖς πρώτοις ὦσι δυσὶ κέντροις (τῷ τε ἀνατέλλοντι
καὶ τῷ μεσουρανοῦντι) καὶ ταῖς τούτων ἐπαναφοραῖς, ἐπι-
285 *σινεῖς δὲ ἢ ἐπινόσους, ὅταν ἐν τοῖς λοιποῖς δυσὶ κέντροις*
ὦσι (τῷ τε δύνοντι καὶ τῷ ὑπογείῳ) ἢ ταῖς τούτων ἐπανα-

S **271** *ἡλίῳ* etc. Rhet. C p. 141,9. 150,14.23 ‖ **282** *ὀλιγοχρονίους* Ap. III 5,8. 6,3. IV 6,3. Firm. math. III 4,17 (~ Rhet. C p. 159,28)

270 *σχηματισθῶσιν* **M** ‖ **271** *ὁπωσδήποτε*] *ἄνποτε* **Y** | *καὶ* (prius) **VY** Heph. *ἢ* **Σβγ** ‖ **272** *σύμφωνον*] *ἄφωνον* **V** | *σχηματισμὸν* **VΣβγ** Heph. (cod. **C**) *συσχηματισμὸν* **Y** Heph. (codd. **AP**) | *πρὸς*] *παρὰ* **V** ‖ **275** *ἀδυναμούντων* **αβγ** Heph. *ἀδυνατούντων* **V** (recepit Boer) | *οὐδὲ* **VD** Heph. *δὲ οὐδὲ* **Y** *γε οὐδὲ* **ΣMS** *δὲ* **γ** ‖ **276** *ἐὰν* **VY** Procl. *ὅταν* **Σβγc** Heph. ‖ **278** *ἐπανενεχθῆναι* **Y** | *μὴ* om. **Y** ‖ **279** *τετράγωνος ἢ διάμετρος* **VYDγ** Heph. *διάμετρος ἢ τετράγωνος* **ΣMS** ‖ **280** *ἀποκλίνοντες* **Σc** | *μόνον* **VY** (ut vid.) **S** Heph. (codd. **AP**) *μόνους* **ΣDMγc** Heph. (cod. **C**) ‖ **281** *ἐπίκεντροι* **αβγ** Heph. *ἐπίκεντρος* **V** | *ἐπαναφερόμενον* **V** ‖ **283** *δυσὶ*] *δύο* **Σ**

7 *φοραῖς. ὁ μὲν γὰρ τοῦ Ἄρεως τὸν ἥλιον βλέψας, καθ' ὃν εἰρήκαμεν τρόπον, αἰφνιδίως ἀναιρεῖ τὸν πατέρα ἢ σίνη περὶ τὰς ὄψεις ποιεῖ, τὸν δὲ τοῦ Κρόνου βλέψας ἢ θανάτοις ἢ ῥιγοπυρέτοις ἢ σίνεσι διὰ τομῶν καὶ καύσεων περι-* 290 *κυλίει· ὁ δὲ τοῦ Κρόνου καὶ αὐτὸς κακῶς σχηματισθεὶς πρὸς τὸν ἥλιον καὶ τοὺς θανάτους τοὺς πατρικοὺς ἐπινόσους κατασκευάζει καὶ πάθη τὰ διὰ τῆς τῶν ὑγρῶν ὀχλήσεως.*

8 *ἐπὶ δὲ τῆς μητρός, ἐὰν μὲν ὁ τοῦ Διὸς συσχηματισθῇ* 295 *τῇ τε σελήνῃ καὶ τῷ τῆς Ἀφροδίτης ὁπωσδήποτε ἢ καὶ αὐτὸς ὁ τῆς Ἀφροδίτης συμφώνως ἔχῃ πρὸς τὴν σελήνην* m 116 *ἑξάγωνος ὢν ἢ τρίγωνος ἢ συνὼν αὐτῇ, ἐν δυνάμει ὄντες πολυχρόνιον δεικνύουσι τὴν μητέρα· ἐὰν δὲ ὁ τοῦ Ἄρεως*

S 289 *περὶ τὰς ὄψεις* Paul. Alex. 24 p. 32,13 ‖ **290** *τομῶν καὶ καύσεων* Ap. III 5,9. 13,15. IV 9,12. Teucr. III p. 182,10. Val. II 2,23 (inde Rhet. C p. 188,19). Rhet. C p. 155,25. 160,1 ‖ **293–294** *τῆς τῶν ὑγρῶν ὀχλήσεως* Lib. Herm. 26,24 ‖ **296** *σελήνῃ* Rhet. C p. 141,11. 150,24

287 *Ἄρεως*] *πυρόεντος* **VD**, cf. 1,408 | *βλέψας* **VΣβγ** Heph. *ἐπιθεωρήσας* **Y** ‖ **288** *τὸν πατέρα* **VYS** Heph. *τοὺς πατέρας* **ΣDMγc** ‖ **289** *ἢ θανάτοις* om. **γ** ‖ **290** *περικυλίει* **VΣβ** (cf. l. 303 necnon Val. II 38,13) *περικυκλίει* **Y** *περιβάλλει* **γΣ**[2] (in margine) *περικλείει* Heph. ‖ **291** *κακῶς* om. **V** Heph. (cod. **C**) | *σχηματισθεὶς* **VΣβγ** Heph. (cod. **A**) *συσχηματισθεὶς* **Y** Heph. (codd. **CP**) ‖ **292** *πρὸς τὸν* om. **V** spatio relicto | *ἡλίου* **V** ‖ **293** *παρασκευάζει* **Y** | *πάθη τὰ* **Σβγ** Heph. (codd. **AP**) *παθητὰς* **Y** *πάθη* Heph. (cod. **C**) | *διὰ τῶν ὑγρῶν ὀχλήσεων* **V** ‖ **295** *συσχηματισθῇ* **αMS** Heph. Procl. *σχηματισθῇ* **VDγ** ‖ **298** *ὢν* **VY** om. **Σβγ** Heph. | *αὐτῇ* **Vαβ** Heph. *αὐτῷ* **γ**

300 *βλέψῃ τὴν σελήνην καὶ τὴν Ἀφροδίτην ἐπανενεχθεὶς ἢ τετραγωνίσας ἢ διαμετρήσας ἢ ὁ τοῦ Κρόνου τὴν σελήνην μόνην ὡσαύτως, ἀφαιρετικοὶ μὲν ὄντες ἢ ἀποκεκλικότες πάλιν ἀντιπτώμασι μόνον ἢ ἀσθενείαις περικυλίουσι, προσθετικοὶ δὲ ἢ ἐπίκεντροι ὀλιγοχρονίους ἢ ἐπισινεῖς*
305 *ποιοῦσι τὰς μητέρας· ὀλιγοχρονίους μὲν ὁμοίως ἐπὶ τῶν ἀπηλιωτικῶν ὄντες κέντρων ἢ ἐπαναφορῶν, ἐπισινεῖς δὲ ἐπὶ τῶν δυτικῶν. Ἄρης μὲν γὰρ βλέψας τὴν σελήνην τοῦ-* **9** *τον τὸν τρόπον ἀνατολικὴν μὲν οὖσαν τούς τε θανάτους τοὺς μητρικοὺς αἰφνιδίους καὶ τὰ σίνη περὶ τὰς ὄψεις*
310 *ποιεῖ, ἀποκρουστικὴν δὲ τοὺς θανάτους ἀπὸ ἐκτρωσμῶν ἢ τῶν τοιούτων καὶ τὰ σίνη διὰ τομῶν καὶ καύσεων, τὴν δὲ Ἀφροδίτην βλέψας τούς τε θανάτους πυρεκτικοὺς ἀπεργά-*

S **304** *ὀλιγοχρονίους* Ap. III 5,6 (ubi plura) || **308–309** *θανάτους τοὺς μητρικοὺς* Maneth. II(I) 465–467 || **310** *ἐκτρωσμῶν* Ap. III 13,10 (ubi plura) || **311** *τομῶν καὶ καύσεων* Ap. III 5,7 (ubi plura)

300 *καὶ* **VDγ** *ἢ καὶ* **Y** *ἢ* **ΣMS** Heph. | *τὴν Ἀφροδίτην* **VY** Heph. *τὸν τῆς Ἀφροδίτης* **Σβγ** (cf. l. 311 sq.) | *ἐπανενεχθεὶς* **ΣβB** Heph. (codd. **AP**) *ἐπανεχθεὶς* **VYC** Heph. (cod. **C**) *ἐπενεχθεὶς* **A** | *τετράγων* (o supra) **V** *τετράγωνος* Heph. || **302** *μὴ μόνον* Co le p. 99,15 | *ἀποκλικότας* **V** || **303** *περικυλίουσι* **Vαβ** Heph. (cod. **P**) *περικλείουσι* **γ** Heph. (cod. **C**) *παρακυλίουσι* Heph. (cod. **A**), cf. l. 290 || **304** *ὀλιγοχρονίας* **V** || **307** *ὁ τοῦ* ♂ **γ** || **308** *ἀνατολικὴν*] *ἤγουν δυτικὴν* **γ** in margine || **309** *αἰφνιδίως* **V** | *τὰ* om. **VY** || **310** *ἀποκρουστικοὺς* **Σ** | post *δὲ*: *ὡς προείρηται* [sed occurrit haec vox hic prima] *θεορήσας* add. **Y** | *ἐκτρωσμῶν* **YS** Heph. (codd. **CP**, *ἐκτρωσμάτων* cod. **A**) *ἐκτρόμων* **VD** *ἐκτρώμων* **ΣMγ** || **311** *τὴν δὲ Ἀφροδίτην* **VYβ** (cf. *τὴν Ἀφροδίτην δὲ* Heph.) *τὸν τῆς Ἀφροδίτης* **γ** ut l. 300 *τὴν σελήνην* **Σ** || **312** *τε θανάτους*] *τοῦ θανάτου* **V**

ζεται καὶ πάθη τὰ δι' ἀποκρύφων ἢ σκοτισμῶν καὶ προσδρομῶν αἰφνιδίων· ὁ δὲ τοῦ Κρόνου τὴν σελήνην βλέψας θανάτους καὶ πάθη ποιεῖ, ἀνατολικῆς μὲν οὔσης αὐτῆς 315 *διὰ ῥιγοπυρέτων, ἀποκρουστικῆς δὲ διὰ νομῶν ὑστερικῶν καὶ ἀναβρώσεων.*

10 *προσπαραληπτέον δὲ εἰς τὰ κατὰ μέρος εἴδη τῶν σινῶν ἢ παθῶν ἢ καὶ θανάτων καὶ τὰς τῶν δωδεκατημορίων, ἐν οἷς εἰσιν οἱ τὸ αἴτιον ἐμποιοῦντες τῆς ἰδιοτροπίας (ὑπὲρ* 320 m 117 *ὧν εὐκαιρότερον ἐν τοῖς περὶ αὐτῆς τῆς γενέσεως ἐπεξεργασόμεθα* [III 13. IV 9]), *καὶ ἔτι παρατηρητέον ἡμέρας μὲν μάλιστα τόν τε ἥλιον καὶ τὴν Ἀφροδίτην, νυκτὸς δὲ τὸν τοῦ Κρόνου καὶ τὴν σελήνην.*

λοιπὸν δὲ ἐπὶ τῶν κατ' εἶδος ἐξεργασιῶν ἁρμόζον καὶ 325 *ἀκόλουθον ἂν εἴη τὸν τῆς αἱρέσεως πατρικὸν ἢ μητρικὸν τόπον ὥσπερ ὡροσκόπον ὑποστησαμένους τὰ λοιπὰ ὡς ἐπὶ γενέσεως αὐτῶν τῶν γονέων ἐπισκοπεῖν κατὰ τὰς ἐφεξῆς* c 30v

313 *ἢ* **VYS** *καὶ* **ΣDMγ** (praetulerunt edd.) | *καὶ* (ante *προσδρόμων*) **αβγ** (cf. Heph.) *ἢ* **V** || **316** *ἀποκρουστικῶς* **M** | *δὲ*] *μὲν* **V** | *νομῶν* **Φ** Robbins *νόμων* **VΓY** Heph. *νοσῶν* **D** *νόσων* **ΣMSγc** | *ἀστερικῶν* **Φ** || **317** *ἀναβράσεων* **V** || **320** *ἐμποιοῦντες* **VY** *ποιοῦντες* **Σβγ** Heph. || **321** *οὐκ εὐκαιρότερον* **MS** | *ἐπεξεργασόμεθα* **Vγ** Heph. *ἐπεξεργασώμεθα* **Y** *ἐπεργαζόμεθα* **Σβc** || **325** *ἐξεργασιῶν* **VY** *ἐπεξεργασιῶν* **Σβγ** *ἐπεργασιῶν* Heph. (cod. **A**, *εὐεργασιῶν* cod. **P**) || **327** *ὑποστησαμένους* **VYSC** Heph. (cod. **P**, *-μένως* cod. **A**, cf. *ὑποστήσασθαι* Procl.) *ἐπιστησαμένους* **DMAB** *ἐπισταμένους* **Σc** *καταστησάμενοι* Co p. 99,–1 || **328** *ἐπισκοπεῖν* **VYβγ** *σκοπεῖν* **Σc** Heph., cf. 2,1018 | *τὰς* **αβγ** *τὰ* **V**

ὑποδειχθησομένας τῶν ὁλοσχερεστέρων εἰδῶν πρακτικῶν
330 *τε καὶ συμβατικῶν ἐφόδους. τοῦ μέντοι συγκρατικοῦ τρόπου* **11**
καὶ ἐνταῦθα καὶ ἐπὶ πάντων μεμνῆσθαι προσήκει κατα-
στοχαζομένους, ἐὰν μὴ μονοειδεῖς ἀλλὰ διάφοροι ἢ τῶν
ἐναντίων ποιητικοὶ τυγχάνωσιν οἱ τὰς κυρίας τῶν ἐπιζη-
τουμένων τόπων εἰληφότες ἀστέρες, τίνες ἐκ τῶν περὶ ἕκα-
335 *στον συμβεβηκότων πρὸς δύναμιν πλεονεκτημάτων πλείους*
ἔχοντες εὑρίσκονται ψήφους πρὸς τὴν ἐπικράτησιν τῶν
ἀποτελεσθησομένων, ἵνα ἢ ταῖς τούτων φύσεσιν ἀκόλουθον
ποιώμεθα τὴν ἐπίσκεψιν ἢ τῶν ψήφων ἰσορρόπων οὐσῶν,
ὅταν μὲν ἅμα ὦσιν οἱ ἐπικρατοῦντες, τὸ ἐκ τῆς κράσεως
340 *τῶν διαφόρων φύσεων συναγόμενον εὐστόχως ἐπιλογιζώ-*
μεθα, ὅταν δὲ διεστηκότες, ἀνὰ μέρος ἑκάστοις κατὰ τοὺς
ἰδίους καιροὺς τὰ οἰκεῖα τῶν συμπτωμάτων ἀπομερίζωμεν,
m 118 *προτέροις μὲν τοῖς ἑῴοις μᾶλλον, ὑστέροις δὲ τοῖς ἑσπε-*
ρίοις. ἀπʹ ἀρχῆς μὲν γὰρ ἀνάγκη συνοικειωθῆναι τῷ ζη- **12**
345 *τουμένῳ τόπῳ τὸν μέλλοντά τι περὶ αὐτὸν ἀπεργάζεσθαι*

329 ante *ὑποδειχθησομένας*: *τὰς* repetit Y *ὑποδειχθησομένας* VY(-*σωμ*-)S *ἐπιδειχθησομένας* ΣDMγ | *πρακτικῶν τε καὶ συμβατικῶν* V (recepit Robbins coll. *εἰδῶν τῶν τε κατὰ πρᾶξιν καὶ κατὰ σύμβασιν θεωρουμένων* Procl.) *παρεκτικῶν τε καὶ σημαντικῶν* Y *παρεκτικῶν τε καὶ σημαντοτικῶν* G *πραγματικάς τε καὶ συμβατικὰς* Σβγc (recepit Boer) || **330** *συγκρατικοῦ* VΣ[2] (in margine) γ *συγκρατηκοῦς* Y *συγκραματικοῦ* Σβ | *τρόπου* Vγ Procl. *τρόπ(ον)* Y *τρόπους* G *τόπου* Σβc Co le p. 100,4, cf. 3,93 || **331** *καταστοχαζομένους* VYDγ (cf. l. 274) *στοχαζομένους* ΣMS || **334** *ἕκαστον συμβεβηκότων* Vβγ *ἕκαστα συμβεβηκότων* Y *ἕκαστα συμβεβηκότα* Σc || **335** *πρὸς* om. V || **339** *τὸ τῶν* V || **340** *εὐστόχως* om. γ || **341** *ἑκάστοις* Robbins *ἕκαστος* ωc Boer (quae postea interpunxit) || **342** *ἀπομερίζωμεν* Σβγc *ἀπομεριζόμεθα* Y *ἀπομερίζομεν* V Procl. || **343** *μᾶλλον* om. Y | *ὕστερον* V

τῶν ἀστέρων, καὶ τούτου μὴ συμβεβηκότος οὐδὲν οἷόν τε καθόλου διαθεῖναι μέγα τὸν μηδ' ὅλως τῆς ἀρχῆς κοινωνήσαντα. τοῦ μέντοι χρόνου τῆς κατὰ τὸ ἀποτελούμενον ἐκβάσεως οὐκέτι τὸ τῆς πρώτης δεσποτείας αἴτιον, ἀλλ' ἡ τοῦ κυριεύσαντός πως πρός τε τὸν ἥλιον καὶ τὰς τοῦ κόσ- 350 *μου γωνίας διάστασις.*

ϛ'. Περὶ ἀδελφῶν

1 *Ὁ μὲν οὖν περὶ γονέων τόπος σχεδὸν καὶ ἀπὸ τούτων ἂν ἡμῖν γένοιτο καταφανής· ὁ δὲ περὶ ἀδελφῶν, εἴ τις καὶ ἐνταῦθα τὸ καθόλου μόνον ἐξετάζοι καὶ μὴ πέρα τοῦ δυ-* 355 *νατοῦ τόν τε ἀριθμὸν ἀκριβῶς καὶ κατὰ μέρος ἐπιζητοίη, λαμβάνοιτο ἂν φυσικώτερον ὅ τε περὶ ὁμομητρίων μόνον*

T 348–351 (§ 12 fin.) Heph. II 4,18 ‖ **352–391** (§ 1–4) Heph. II 6,1–6

S 353–391 (§ 1–4) Dor. A I 17–21 (ad I 17 cf. Rhet. ed. Pingree apud Dor. G p. 333–334, quem vertit Lib. Herm. 30 ibid.). Maneth. VI(III) 307–337. Val. II 40. Ant. CCAG VIII 3 (1912) p. 110,22. Firm. math. VI 32,23–26. Rhet. C p. 220,1 –221,9 (cf. CCAG II [1900] p. 189,27–190,11). Paul. Alex. 24 p. 52,20–53,5. Horosc. Const. 2,1–5

346 *καὶ*] *ὡς* **γ** | *μὴ* **VYDγ** om. **ΣMSc** | *οἷόν τε* **ΣMSγ** *οἴονται* **VYD** ‖ **347** *μέγα* **V** (cf. *οὐδὲν δύναται γίνεσθαι μέγα* Procl.) om. **αβγ** | *τὸν μηδ'* om. **Y** | *τῆς ἀρχῆς*] *ἀπαρχῆς* **V** ‖ **348** *χρόνου* om. **V** | *κατὰ* **VY** *περὶ* **Σβγ** ‖ **350** *κυριεύσαντος* **VY** *κυριεύοντος* **Σβγ** ‖ **351** *διαστάσεις* **V** ‖ **352** titulum om. **S** ut semper, *ἐπίσκεψις περὶ ἀδελφῶν* **S**[2] in margine ‖ **353** *σχεδὸν ἂν* **Y** | *καὶ* om. **γ** ‖ **355** *ἐξετάζοι* **αγ** (cf. 1,249) *ἐξετάζοιτο* **Vβ** (recepit Boer) | *πέρας* **m**

ἀπὸ τοῦ μεσουρανοῦντος δωδεκατημορίου ⟨καὶ⟩ τοῦ μητρικοῦ τόπου (τουτέστι τοῦ περιέχοντος ἡμέρας μὲν τὸν
360 *τῆς Ἀφροδίτης, νυκτὸς δὲ τὴν σελήνην), ἐπειδήπερ τοῦτο τὸ ζῴδιον καὶ τὸ ἐπαναφερόμενον αὐτῷ γίνεται τῆς μητρὸς ὁ περὶ τέκνων τόπος, ὁ αὐτὸς ὀφείλων εἶναι τῷ τοῦ γινομένου περὶ ἀδελφῶν. ἐὰν μὲν οὖν ἀγαθοποιοὶ τῷ* **2** *τόπῳ συσχηματίζωνται, δαψίλειαν ἀδελφῶν ἐροῦμεν πρός*
m 119 365 *τε τὸ πλῆθος αὐτῶν τῶν ἀστέρων τὸν στοχασμὸν ποιούμενοι, καὶ πότερον ἐν μονοειδέσι ζῳδίοις τυγχάνουσι ἢ ἐν δισώμοις. ἐὰν δὲ οἱ κακοποιοὶ καθυπερτερῶσιν αὐτὸν ἢ καὶ ἐναντιωθῶσι κατὰ διάμετρον, σπαναδελφίας εἰσὶ δηλωτικοί, μάλιστα δὲ κἂν τὸν ἥλιον συμπαραλαμβάνωσι. εἰ*
370 *δὲ καὶ ἐπὶ τῶν κέντρων ἡ ἐναντίωσις γένοιτο (καὶ μάλιστα*
c 31 *τοῦ ὡροσκοποῦντος), ἐπὶ μὲν Κρόνου καὶ πρωτοτόκοι ἢ πρωτότροφοι γίγνονται, ἐπὶ δὲ Ἄρεως θανάτῳ τῶν λοιπῶν*

S 366–367 *μονοειδέσι … δισώμοις* Ap. IV 5,2.4. 8,3. Manil. II 157–196.660–667. IV 583–584. Dor. A V 35,73–74. Hippol. ref. haer. V 13,8 (sec. Sext. Emp. V 10–11). Rhet. C apud Dor. G p. 337,1, cf. Horosc. Const. 2,4. 12,3 ‖ **371–372** *πρωτοτόκοι ἢ πρωτότροφοι* Maneth. III(II) 8–9. Firm. math. III 2,1 (~ Rhet. C p. 135,12). 3,2–3 (~ Rhet. C p. 135,20. 136,1), cf. Lib. Herm. 26,49.50

358 *ἀπὸ* **VDγ** *καὶ ἀπὸ* **αMS** | ⟨*καὶ*⟩ **c**, cf. *καὶ γὰρ τὸν μητρικὸν τόπον … περιλαμβάνουσιν* Heph. (aberravit fort. ante *ἀπὸ*) ‖ **360** *ἐπειδήπερ* **VYA** (*περὶ* in margine) *ἐπειδὴ περὶ* **ΣβC** *ἐπεὶ περὶ* **B** ‖ **361** *τῆς*] *τῆς περὶ* **Y** ‖ **365** *πλῆθος*] *ἄλλη* **Y** | supra *ποιούμενοι*: *ἡμεῖς δηλονότι* **S**[2] ‖ **366** *ζῳδίοις τυγχάνουσι* **VDγ** *τυγχάνουσι ζῳδίοις* **αS** *τυγχάνωσι ζωδίοις* **M** ‖ **367** *αὐτὸν* (scilicet *τόπον*) **ΣMS** *αὐτῶν* **VYDγ** (quos secutus est Robbins) ‖ **369** *συμπαραλαμβάνωσι* **VDSγ** *συμπαραλαβοῦσιν* **Y** *παραλαμβάνωσι* **ΣM** *προσλάβονται* Heph. (i. *-ωνται* Pingree) ‖ **372** *λοιπῶν* **VY** *ὄντων* **Σβγc**

3 *σπαναδελφοῦσιν. ἔτι μέντοι τῶν διδόντων ἀστέρων, ἐὰν μὲν καλῶς κατὰ τὸ κοσμικὸν τυγχάνωσι διακείμενοι, εὐσχήμονας καὶ ἐνδόξους ἡγητέον τοὺς διδομένους ἀδελφούς,* 375 *ἐὰν δὲ ἐναντίως, ταπεινοὺς καὶ ἀνεπιφάντους, ἐὰν δὲ καθυπερτερήσωσι τοὺς διδόντας ἢ ἐπανενεχθῶσιν αὐτοῖς οἱ κακοποιοί, καὶ ὀλιγοχρονίους· δώσουσι δὲ τοὺς μὲν ἄρρενας οἱ κοσμικῶς ἠρρενωμένοι, τὰς δὲ θηλείας οἱ τεθηλυσμένοι, καὶ πάλιν τοὺς μὲν πρώτους οἱ ἀπηλιωτικώτεροι,* 380
4 *τοὺς δὲ ὑστέρους οἱ λιβυκώτεροι. πρὸς δὲ τούτοις ἐὰν μὲν οἱ διδόντες τοὺς ἀδελφοὺς συμφώνως ἐσχηματισμένοι τυγχάνωσι τῷ κυριεύοντι τοῦ περὶ τῶν ἀδελφῶν δωδεκατημορίου, προσφιλεῖς ποιήσουσι τοὺς διδομένους ἀδελφούς, ἐὰν δὲ καὶ τῷ κλήρῳ τῆς τύχης, καὶ κοινοβίους, ἐὰν δὲ ἐν τοῖς* 385 *ἀσυνδέτοις τύχωσιν ἢ κατὰ τὴν ἐναντίαν στάσιν, φιλέχθρους καὶ φθονεροὺς καὶ ὡς ἐπίπαν ἐπιβουλευτικούς.* m 120 *λοιπὸν δὲ καὶ τὰ καθ' ἕκαστον αὐτῶν εἴ τις ἔτι πολυπραγμονοίη, συνεικάζοιτο ἂν καὶ ἐνταῦθα πάλιν τοῦ διδόντος ἀστέρος ὑποτιθεμένου κατὰ τὸν ὡροσκοπικὸν λόγον καὶ* 390 *τῶν λοιπῶν ὡς ἐπὶ γενέσεως συνθεωρουμένων.*

S **378** *ὀλιγοχρονίους* Ap. III 5,6 (ubi plura) || **379–380** *ἠρρενωμένοι ... τεθηλυσμένοι* Ap. I 6,2

373 *σπαναδελφοῦ* **V** in fine folii | *ἔτι* **VY** Procl. *ἐπὶ* **Σβγc** Heph. || **374** *μὲν*] *ὑπὸ μέντοι* **V** || **375** *ἐνδόξους* **VDγ** *ἐπιδόξους* **ΣMS** *εὐδόξους* Heph. || **381** *ὑστέρους*] *δευτέρους* **Y** | *μὲν* **ΣMSc** Heph. om. **VYDγ** (quos secuti sunt Boer Robbins) || **384** *τοὺς*] *μὲν* **ΣMc** || **385** *κοινοβίους* **αβγ** Heph. *κοινωνοὺς βίου* **V** (praetulit Boer) || **386** *τύχωσιν* **VYS** Heph. *τυγχάνωσιν* **ΣDMγ** || **388** *ἔτι πολυπραγμονοίη* **ΣMSc** Heph. *ἐπιπολυπραγμονοίη* **VYDγ** (uno animo receperunt Boer Robbins) || **389** *πάλιν* om. **γ** || **391** *συνθεωρουμένων* **VYβ** *θεωρουμένων* **γ** Heph. (cod. P, *θεωρουμένης* cod. A) om. **Σc**

ζ'. Περὶ ἀρρενικῶν καὶ θηλυκῶν

Ὑπ' ὄψιν ἤδη καὶ τοῦ περὶ ἀδελφῶν λόγου κατὰ τὸν ἁρ- 1
μόζοντα καὶ φυσικὸν λόγον ἡμῖν γεγονότος, ἑξῆς ἂν εἴη
395 τῶν κατ' αὐτὴν τὴν γένεσιν ἄρξασθαι καὶ πρῶτον ἐπιδρα-
μεῖν τὸν περὶ ἀρρενικῶν τε καὶ θηλυκῶν ἐπιλογισμόν.
θεωρεῖται δ' οὗτος οὐ μονοειδῶς οὐδ' ἀφ' ἑνός τινος, ἀλλ'
ἀπό τε τῶν φώτων ἀμφοτέρων καὶ τοῦ ὡροσκόπου τῶν τε
λόγον ἐχόντων πρὸς αὐτοὺς ἀστέρων, μάλιστα μὲν κατὰ
400 τὴν τῆς σπορᾶς διάθεσιν, ὁλοσχερέστερον δὲ καὶ κατὰ τὴν
τῆς ἐκτροπῆς. τὸ δ' ὅλον παρατηρητέον, πότερον οἱ προει-
ρημένοι τρεῖς τόποι καὶ οἱ τούτων οἰκοδεσποτοῦντες ἀστέ-
ρες ἢ πάντες ἢ οἱ πλεῖστοι τυγχάνουσιν ἠρρενωμένοι πρὸς
ἀρρενογονίαν ἢ τεθηλυσμένοι πρὸς θηλυγονίαν καὶ οὕτως
405 ἀποφαντέον. διακριτέον μέντοι τοὺς ἠρρενωμένους καὶ τε- 2

T **392–414** (§ 1–2) Heph. II 7,1–5 (= Ep. II 15,7–10)

S **393–414** (§ 1–2) Dor. A I 8. Val. IX 8,1–2. Cod. Bononiensis 3632 (CCAG IV [1903] p. 43) fol. 317v (non est Ptolemaei ut Cod. Angelicus gr. 29 [CCAG V 1, 1904, cod. 2; nobis A], fol. 174v), cf. Firm. math. VII 3,5–7

392 *περὶ ... θηλυκῶν* **αC** Heph. (postea add. *γενέσεως* **VD**, *γενέσεων* **AB**: cf. 3,9) *ἐπίσκεψις περὶ ἀρρένων καὶ θηλυων* **S**[2] in margine ‖ **393** *ὑπ'* **VYS** (cf. l. 452) *ἐπ'* **ΣGDMγc** | *τῶν ἀδελφῶν* **V** ‖ **394** *λόγον* **V** Procl. (cf. l. 134) *τρόπον* **αβγ**, cf. l. 205 | *γεγονότος* **VYSγ** *ἐπιγεγονότος* **ΣDMc** ‖ **396** *θηλυκῶν τε καὶ ἀρρενικῶν* **S** ‖ **399** *καὶ μάλιστα* **Y** ‖ **401** *εἰρημένοι* **S** (in margine: *ἤγουν οἱ τῶν φώτων ἤτοι τοῦ* ☉ *καὶ* ☾' *δύο καὶ ὁ τοῦ* [symbol]) ‖ **402** *τρόποι* **S**, cf. 3,93 ‖ **403** *ἢ πάντες* **αβγ** Heph. (codd. **AC**) *ἅπαντες* **V** *ἢ οἱ πάντες* Heph. (cod. **P**) ‖ **404** *ἀρρενολογίαν* **V**

θηλυσμένους, καθ' ὃν ὑπεθέμεθα τρόπον ἐν ταῖς πινακικαῖς ἐκθέσεσιν ἐν ἀρχῇ τῆς συντάξεως [I 6,2. 13,4], *ἀπό τε τῆς τῶν δωδεκατημορίων, ἐν οἷς εἰσι, φύσεως καὶ ἀπὸ* m 121 *τῆς αὐτῶν τῶν ἀστέρων καὶ ἔτι ἀπὸ τῆς πρὸς τὸν κόσμον σχέσεως (ἐπειδήπερ ἀπηλιωτικοὶ μὲν ὄντες ἀρρενοῦνται,* 410 *λιβυκοὶ δὲ θηλύνονται), πρὸς δὲ τούτοις ἀπὸ τῆς πρὸς τὸν ἥλιον· ἑῷοι μὲν γὰρ πάλιν ὄντες ἀρρενοῦνται, θηλύνονται δὲ ἑσπέριοι. δι' ὧν πάντων τὴν κατὰ τὸ πλεῖστον ἐπικράτησιν τοῦ γένους προσήκει καταστοχάζεσθαι.*

η'. Περὶ διδυμογόνων 415 c 31ᵛ

1 *Καὶ περὶ τῶν γεννωμένων δὲ ὁμοίως ἀνὰ δύο ἢ καὶ πλειόνων τοὺς αὐτοὺς τόπους παρατηρεῖν προσήκει, τουτέστι τά τε δύο φῶτα καὶ τὸν ὡροσκόπον. παρακολουθεῖν δὲ εἴωθε τοῦτο τὸ σύμπτωμα παρὰ τὰς συγκράσεις, ὅταν οἱ δύο ἢ*

T 415–443 (§ 1–4 *τελεσφορεῖσθαι*) Heph. II 8,1–5

S 416–446 (§ 1–4) Maneth. IV 450–465. Firm. math. VII 3,1–7

406 *ὑπεθέμεθα* **αβγ** *ὑποτιθέμεθα* **V** *ὑποτεθέμεθα* Heph. ‖ **408** *οἷς τε* **V** ‖ **409** *πρὸς*] *περὶ* **S**, cf. 2,672 ‖ **411** *λιβυκοὶ ... ἀρρενοῦνται* om. **C** | *πρὸς* (alterum) om. **V** ‖ **412** *πάλιν ὄντες* **VYD** Heph. *ὄντες πάλιν* **ΣMSγ** ‖ **415** *ἐπίσκεψις περὶ διδύμων* **S**[2] in margine ‖ **417** *τόπους* **VY** *δύο τρόπους* **Σβγ**, cf. 3,93 | *παρατηρεῖν*] *περιτηρεῖν* **V**, cf. 1.492.1122 ‖ **417** *τά τε* **VYΣβΨγm** (cf. *τάτε* **c**) *τὰ δὲ* **Φ** *τὰ* Heph. *τάδε* Boer, cf. 1.461 necnon 4,741 ‖ **418** *δὲ* **VY** *γὰρ* **Σβγ** Co le p. 104,17, sim. Heph. ‖ **419** *τοῦτο τὸ* **V** *τὸ τοιοῦτον* **αβγ** (cf. *τὰ τοιαῦτα*, sc. *τίκτεσθαι* Heph.) | *παρὰ* **V** *περὶ* **αβγc**, cf. 1,540 | *συγκράσεις* **αβγc** Procl. *κράσεις* **V** (praetulit Boer)

420 *καὶ οἱ τρεῖς τόποι δίσωμα περιέχωσι ζῴδια, καὶ μάλιστα, ὅταν καὶ οἱ οἰκοδεσποτοῦντες αὐτῶν ἀστέρες τὸ αὐτὸ πάθωσιν· ἢ τινες μὲν ἐν δισώμοις, τινὲς δὲ ἀνὰ δύο κείμενοι τυγχάνωσιν ἢ πλείους. ἐπὰν δὲ καὶ ἐν δισώμοις ὦσιν οἱ* 2 *κύριοι τόποι καὶ κατὰ τὸ αὐτὸ πλείονες τῶν ἀστέρων συν-*
425 *εσχηματισμένοι, τότε καὶ πλείονα τῶν δύο κυΐσκεσθαι συμπίπτει, τοῦ μὲν πλήθους ἀπὸ τοῦ τὸ ἰδίωμα ποιοῦντος ἀστέρος τοῦ ἀριθμοῦ συνεικαζομένου, τοῦ δὲ γένους ἀπὸ τοῦ τῶν συνεσχηματισμένων ἀστέρων τῷ τε ἡλίῳ καὶ τῇ σελήνῃ καὶ τῷ ὡροσκόπῳ προσώπου πρὸς ἀρρενογονίαν ἢ*
430 *θηλυγονίαν κατὰ τοὺς ἐν τοῖς ἔμπροσθεν εἰρημένους τρό-*
m 122 *πους. ὅταν δὲ ἡ τοιαύτη διάθεσις μὴ συμπεριλαμβάνῃ τοῖς* 3 *φωσὶ τὸ τοῦ ὡροσκόπου κέντρον, ἀλλὰ τὸ τοῦ μεσουρανήματος, αἱ τοιαῦται τῶν μητέρων δίδυμα ὡς ἐπίπαν ἢ καὶ πλείονα κυΐσκουσιν. ἰδίως δὲ τρεῖς μὲν ἄρρενας πληροφο-*

S **420** *δίσωμα* Ap. I 12 (ubi plura)

420 *περιέχουσι* **V** ‖ **421** lacunam quattuor fere litterarum post *ὅταν* **S**, post *καὶ* **M** | *οἰκοδεσποτοῦντες* Heph. *οἰκοδεσποτίζοντες* **V** (recepit Boer, sed alias nusquam legitur) *οἰκοδεσπόζοντες* **Σβγ** *δεσπόζοντες* **Y** | *πάθωσιν* **VY** Heph. (codd. **AP**, *παραθῶσι* cod. **C**) *τιθῶσιν* **G** *καθορῶσιν* **Σβγc** ‖ **423** *ἐπὰν* **VαDγ** *ἐὰν* **MS** (cf. Heph.) ‖ **424** *πλείονες* **VG** Procl. *πλείοναις* **Y** *πλείοσι* **Σβγc** ‖ **425** *κυΐσκεσθαι* **Vγ** Heph. (codd. **AP**, *γεννᾶσθαι* cod. **C**) *κύεσθαι* **Y** *τίκτεσθαι* **Σγc** Procl. ‖ **427** *τοῦ ἀριθμοῦ* post *συνεικαζομένου* **S** | *ἀριθμοῦ*] ☿ i. e. siglum simile **C** ‖ **428** *τοῦ* et 429 *προσώπου* om. **ΣDγ** (quos secutus est Robbins), *τοῦ* solum om. **YMS**, sed cf. l. 238 sq. ‖ **430** *ἐν τοῖς* om. **YDA**, *ἐν* om. **M** ‖ **431** *συμπεριλαμβάνῃ* **αβAB** *συμπροσλαμβάνει* **V** (ex correctura) *συλλαμβάνει* **C** ‖ **432** *κέντρον* om. **β** | *ἀλλὰ τὸ* **VDSγ** *ἀλλὰ τῷ* **Y** *ἀλλ᾽ ἀπὸ* **ΣM**

ρoῦσιν ὑπὸ τὴν τῶν Ἀνακτόρων γένεσιν ἅμα τοῖς προκει- 435
μένοις τόποις ἐν δισώμοις συσχηματισθέντες Κρόνος Ζεὺς
Ἄρης, τρεῖς δὲ θηλείας ὑπὸ τὴν τῶν Χαρίτων Ἀφροδίτη σε-
λήνη μεθ' Ἑρμοῦ τεθηλυσμένου, δύο δὲ ἄρρενας καὶ μίαν
θήλειαν ὑπὸ τὴν τῶν Διοσκούρων Κρόνος Ζεὺς Ἀφροδίτη,
δύο δὲ θηλείας καὶ ἄρρενα μόνον ὑπὸ τὴν Δήμητρος καὶ 440
4 *Κόρης Ἀφροδίτη, σελήνη, Ἄρης. ἐφ' ὧν ὡς ἐπὶ τὸ πολὺ*
συμβαίνειν εἴωθε τό τε μὴ τελεσφορεῖσθαι τὰ γινόμενα
καὶ τὸ μετὰ παρασήμων τινῶν σωματικῶν ἀποκυΐσκεσθαι
καὶ ἔτι τὸ γίνεσθαί τινα τοῖς τόποις ἐξαίρετα καὶ ἀπροσ-
δόκητα διὰ τῆς τῶν τοιούτων συμπτωμάτων ὥσπερ ἐπιφα- 445
νείας.

S **435** *Ἀνακτόρων* Teucr. II apud Anon. De stellis fixis I 7,6 *Tres Heroes* (v. comm.), aliter Dor. G p. 397,14 apud Heph. III 30,10 (~ Dor. A V 21,8) || **437** *Χαρίτων* Teucr. I p. 200,2–5 (cf. Ps.Ant. p. 58,3). Teucr. II apud Anon. De stellis fixis I 4,8 || **438** *τεθηλυσμένου* Ap. I 6,2 || **442** *μὴ τελεσφορεῖσθαι* Maneth. IV 462–465

436 *συσχηματισθέντες* **VΣγ** *σχηματισθέντες* **Yβ** Heph. | *Κρόνος δηλονότι* **γ** || **437** *τρεῖς*] *τῆς* **Σ** | *τὴν* om. **V** || **440** *μόνον* **VY** Heph. *ἕνα* **Σβγ** edd. | *Δήμητρος δὲ* **V** || **441** post *Κόρης*: *καὶ διονύσου* add. **ΣACc** (non ita l. 439 *καὶ Ἑλένης*; cf. Cic. nat. deor. II 62. secundum Heph. III 7,16 *Πλούτωνα* (correxi ex *Πλοῦτον*) debuit esse *Πλούτωνος* | *ἀφροδίτην σελήνην ἄρην* **V** | post ♂: *ἐπὶ τῶν ἀναμὶξ γενομένων. τὸ γὰρ ἄρρεν ἐπικρατεῖν τὸ τρέφεσθαι, τὸ θύλη* (i. *θῆλυ*) *ἀτροφεῖν* add. **Y** | *ὡς*] *ὅσα* **V** || **442** *συμβαίνειν*] *σημαίνειν* **Y**

ϑ′. Περὶ τεράτων

Οὐκ ἀλλότριος δὲ τῆς προκειμένης σκέψεως οὐδ' ὁ περὶ 1
τῶν τεράτων λόγος. πρῶτον μὲν γὰρ ἐπὶ τῶν τοιούτων τὰ
450 *μὲν φῶτα ἀποκεκλικότα ἢ ἀσύνδετα τῷ ὡροσκόπῳ κατὰ τὸ*
πλεῖστον εὑρίσκεται, τὰ δὲ κέντρα διειλημμένα ὑπὸ τῶν
κακοποιῶν. ὅταν οὖν τοιαύτη τις ὑπ' ὄψιν πέσῃ διάθεσις,
m 123 *ἐπειδὴ γίνεται πολλάκις καὶ περὶ τὰς ταπεινὰς καὶ κακο-*
c 32 *δαίμονας γενέσεις, κἂν μὴ τερατώδεις ὦσιν, εὐθὺς ἐπι-*
455 *σκοπεῖν προσήκει τὴν προγενομένην συζυγίαν συνοδικὴν ἢ*
πανσεληνιακὴν καὶ τὸν οἰκοδεσποτήσαντα ταύτης τε καὶ
τῶν τῆς ἐκτροπῆς φώτων. ἐὰν γὰρ οἱ τῆς ἐκτροπῆς αὐτῶν 2
τόποι καὶ ὁ τῆς σελήνης καὶ ὁ τοῦ ὡροσκόπου πάντες ἢ οἱ
πλείονες ἀσύνδετοι τυγχάνωσιν ὄντες τῷ τῆς προγενομένης
460 *συζυγίας τόπῳ, τὸ γεννώμενον αἰνιγματῶδες ὑπονοητέον.*
ἐὰν μὲν οὖν τούτων οὕτως ἐχόντων τά τε φῶτα ἐν τετρά-

T 447–486 (§ 1–4) Heph. II 9,1–5 (cf. II 10,32–34)

S 448–486 (§ 1–4) Val. IX 8,3. Ant. CCAG VII (1908) p. 115,27–33. Rhet. C p. 120,20–26 ‖ **461–470** *τετράποσιν … ἀνθρωποειδέσι* Ap. II 8,6–7 (ubi plura)

447 *περὶ τοῦ μέλλοντος γενηθῆναι εἴ ἐστι τέρας* S^2 in margine ‖ **448** post *σκέψεως*: *σκόπος* add. **MS** ‖ **449** *τεράτων* **αβγ** Heph. *τερατωδῶν* **V** fort. recte | *μὲν γὰρ* **V** *μὲν* **Y** *γὰρ* **Σβγ** ‖ **450** *ἢ* **VαDMAC** Heph. Procl. *καὶ* **SBc** ‖ **454** *εὐθὺς … συζυγίαν* om. **V** | *ἐπισκοπεῖν*] *σκοπεῖν* Heph., cf. 2,1018 ‖ **455** *προγενομένην* **S** Heph. Procl. *προγεγωννῖαν* **Y** *προτεγονίαν* **G** *γενομένην* **ΣDMc** *προγινομένην* **γ** om. **V** ‖ **457** *τῶν τῆς*] *τῶν ἐκ τῆς* **Y** | *φώτων* **VYβ** Heph. Procl. *τόπων* **Σγc** ‖ **458** *ὁ τῆς σελήνης* **Σβγc** Heph. *ἡ τῆς σελήνης* **Y** *οἱ τῆς σελήνης* **VGm** ‖ **461** *ἐὰν μὲν* hic praebent **Vαβ** Heph., post *ἐχόντων* **γ** | *οὖν τούτων* **VΣDS** Heph. *τούτων οὖν* **M** om. **Y**

ποσιν ἢ θηριώδεσιν εὑρίσκηται ζῳδίοις καὶ οἱ δύο κεκεντρωμένοι τῶν κακοποιῶν, οὐδὲ ἐξ ἀνθρώπων ἔσται τὸ γεννώμενον· μηδενὸς μὲν μαρτυροῦντος τοῖς φωσὶν ἀγαθοποιοῦ, ἀλλὰ τῶν κακοποιῶν, τέλεον ἀνήμερον καὶ τῶν 465 *ἀγρίαν καὶ κακωτικὴν ἐχόντων φύσιν· μαρτυρούντων δὲ Διὸς μὲν ἢ Ἀφροδίτης, τῶν ἐκθειαζομένων, οἷον κυνῶν ἢ αἰλούρων ἢ πιθήκων ἢ τῶν τοιούτων, Ἑρμοῦ δὲ τῶν εἰς χρείαν ἀνθρωπίνην, οἷον ὀρνίθων ἢ συῶν ἢ βοῶν ἢ αἰγῶν* **3** *καὶ τῶν τοιούτων. ἐὰν δὲ ἐν ἀνθρωποειδέσι τὰ φῶτα κατα-* 470

S **467** *τῶν ἐκθειαζομένων* Ant. CCAG VII (1908) p. 115, 31–32. Firm. math. VII 7,3. Rhet. C p. 120,23–24 | *κυνῶν* Teucr. II apud Anon. De stellis fixis I 3,7. Ant. CCAG VII (1908) p. 115,32. Rhet. B p. 196,27–197,4 || **468** *αἰλούρων* Teucr. II apud Anon. De stellis fixis I 1,11. Ant. CCAG VII (1908) p. 115,32. Rhet. B p. 195,5–11 | *πιθήκων* Teucr. II apud Anon. De stellis fixis I 10,9. Rhet. B p. 208,23–209,1, cf. Rhet. C p. 217,8

462 *δύο* om. S | *κεντρωμένοι* S || **464** *μηδενὸς* V Heph. (antea fortius interpunxi) *ἀλλὰ μηδενὸς* **αβγc** (quos secutus est Robbins) | *μὲν* om. **D** | postea *ἀγαθοποιοῦ* anticipaverunt **ΣMSc** | *ἀγαθοποιοῦ* Y Heph. Procl. (recepit Robbins) *ἀγαθοποιῶν* **VD** *τῶν ἀγαθοποιῶν* **γ** (praetulit Boer) hic om. **ΣMSc** || **465** *ἀλλὰ τῶν κακοποιῶν* scripsi secundum Procl. (aberravit fort. *ἀλλὰ* in l. 462) *τῶν κακοποιῶν* **ΣMSc** *τῶν δὲ κακοποιὸν* Y (inde *τῶν δὲ κακοποιῶν* Robbins) *ἀποιούντων δὲ κακοποιῶν* **G** *τῶν κακοποιῶν μαρτυρούντων* **m** om. **Vγ** Heph. Boer | *τῶν* (ante *ἀγρίαν*) **αMSγ** *τὴν* **VD** || **467** *μὲν ἢ* **ΣMS A**[2] (in margine) Heph. *μὲν* **Y** *ἢ* **V** (cf. l. 468) **Dγ** (maluerunt edd.) | *ἐκθειαζομένων* **αβ** Heph. *ἐκδιαζομένων* **Y** ...*ζομένων* **γ** (supplevit **A**[2]) || **468** *ἢ πιθήκων* **Σβγ** (cf. Heph.) om. **VY** Ant. CCAG VIII 3 (1912) p. 115,32, fort. recte non recepit Robbins | *δὲ* om. **V** (ut l. 467 *μὲν*) Heph. || **469** *ἢ βοῶν ἢ αἰγῶν* **VYDγ** *ἢ αἰγῶν ἢ βοῶν* **ΣMS**

λαμβάνηται τῶν ἄλλων ὡσαύτως ἐχόντων, ὑπ' ἀνθρώπων μὲν ἢ παρ' ἀνθρώποις ἔσται τὰ γεγενημένα, τέρατα δὲ καὶ αἰνιγματώδη, τῆς κατὰ τὸ ποῖον ἰδιότητος καὶ ἐν- m 124 *ταῦθα συνορωμένης ἐκ τῆς τῶν ζῳδίων μορφώσεως, ἐν οἷς* 475 *οἱ διειληφότες τὰ φῶτα ἢ τὰ κέντρα κακοποιοὶ τυγχάνουσι. ἐὰν μὲν οὖν καὶ ἐνταῦθα μηδὲ εἷς τῶν ἀγαθοποιῶν ἀστέρων προσμαρτυρῇ μηδενὶ τῶν προειρημένων τόπων, ἄλογα καὶ ὡς ἀληθῶς αἰνιγματώδη γίνεται τέλεον· ἐὰν δὲ* **4** *ὁ τοῦ Διὸς ἢ τῆς Ἀφροδίτης μαρτυρήσῃ, τιμώμενον καὶ* 480 *εὔσχημον ἔσται τὸ τοῦ τέρατος ἴδιον, ὁποῖον περὶ τοὺς ἑρμαφροδίτους ἢ τοὺς καλουμένους ἁρποκρατικοὺς καὶ τοὺς τοιούτους εἴωθε συμβαίνειν, εἰ δὲ καὶ ὁ τοῦ Ἑρμοῦ μαρτυρήσειε, μετὰ τούτων μὲν καὶ ἀποφθεγγομένους καὶ διὰ*

S **480–481** *ἑρμαφροδίτους* Ap. III 13,10 (q. v.). Firm. math. III 2,23. 5,24. al. || **483** *ἀποφθεγγομένους* Ap. IV 4,10. Dor. A II 24,13. Maneth. III(II) 92–93. IV 549. Val. II 17,49. 37,36.43. Rhet. C p. 148,2. 193,19. 194,4 || **483–484** *διὰ τῶν τοιούτων ποριστικούς* Ap. IV 4,4.7.8. Firm. math. III 7,19–20 (~ Rhet. C p. 166,6). Rhet. C p. 148,15. 209,13–14. Anon. De stellis fixis II 2,11. 6,9

471 *ὑπ'* **Vαβ** Heph. *ἐξ* **γ** (cf. l. 463) || **472** *πέρατα* **M**, cf. l. 480 | *δὲ* om. **Σβc** || **475** *τὰ φῶτα ἢ* om. **γ** || **476** *μηδὲ εἷς* **V** *μεδεὸ* **Y** *μηδεὶς* **Σβγ** Heph. || **477** *ἀστέρων* om. **αΜΣc** Heph. | *προσμαρτυρῇ μηδενὶ* **Y** Procl. *πρὸς μαρτυρούμεναδενὶ* **V** *συμμαρτυρῇ μηδενὶ* **Σβγc** *μαρτυρῇ μηδενὶ* Heph. || **480** *εὐσχήμων* **V** | *πέρατος* **Y**, cf. l. 472 | *ἴδιον* **VYDγ** Heph. om. **ΣMSc** || **481** *ἁρποκρατικοὺς* **Dγ** Heph. (cf. etiam Heph. I 1,99) *ἁρποκρατηκοὺς* **V** *ἁρποκρατιακοὺς* **αMS** || **482** *μαρτυρήσειε* **Σβγ** Heph. *μαρτυρήσῃ* **VY** || **483** *διὰ* **VYDγ** *ἀπὸ* **ΣMSc**

τῶν τοιούτων ποριστικούς, μόνος δὲ ὁ τοῦ Ἑρμοῦ νωδοὺς καὶ κωφούς, εὐφυεῖς μέντοι καὶ πανούργους ἄλλως ἀπεργάζεται. 485

ι'. Περὶ ἀτρόφων

1 *Λοιποῦ δὲ ὄντος εἰς τὰ κατ' αὐτὴν τὴν γένεσιν τοῦ περὶ ἀτρόφων λόγου, προσήκει διαλαβεῖν, ὅτι πῇ μὲν ὁ τρόπος οὗτος ἔχεται τοῦ περὶ χρόνων ζωῆς λόγου, ἐπειδὴ τὸ ζητούμενον εἶδος οὐκ ἀλλότριον ἑκατέρου, πῇ δὲ κεχώρισται παρὰ τὸ κατ' αὐτὴν τὴν τῆς ἐπισκέψεως δύναμιν διαφέρειν πως. ὁ μὲν γὰρ περὶ χρόνων ζωῆς ἐπὶ τῶν ὅλως ἐχόντων χρόνους αἰσθητοὺς θεωρεῖται, τουτέστι μὴ ἐλάττονας ἡλιακῆς περιόδου μιᾶς· χρόνος γὰρ ἰδίως ὁ τοιοῦτος ἐνιαυτὸς καταλαμβάνεται, δυνάμει δὲ καὶ ὁ ἐλάττων τούτου, μῆνές εἰσι καὶ ἡμέραι καὶ ὧραι·* 2 *ὁ δὲ περὶ τῶν ἀτρόφων ἐπὶ τῶν μηδ' ὅλως φθανόντων ἐπὶ τὸν προκείμενον* 490 495 c 32ᵛ m 125

T **487–547** (§ 1–7) Heph. II 10,1–7 (= Ep. IV 24)

S **485** *κωφούς* Firm. math. III 7,16 (~ Rhet. C p. 161,12) | *πανούργους* Ap. II 3,30 (ubi plura) ‖ **488–547** (§ 1–7) Dor. A I 7. Maneth. VI(III) 19–68. al. Firm. math. VII 2,1–26. Heph. II 10. Paul. Alex. 24 p. 54,10–14. Horosc. L 463 (CCAG VIII 4 [1921] p. 224,21–225,5)

484 *μόνος* **VαDMγc** Heph. Procl. *μόνον* **Sm** | *ὁ τοῦ Ἑρμοῦ* **γ** *ὁ Ἑρμοῦ* **VD** om. **αMS** Heph. fort. recte ‖ **485** *ἀπεργάζεται* **Vβ** Heph. *ἐργάζεται* **Y** *ἀπεργάζηται* **Σγc** ‖ **487** *περὶ ἀνατρόφων* **A** *περὶ τοῦ μέλλοντος γενηθῆναι εἴ ἐστιν ἄτροφον* **S**[2] in margine ‖ **488** *περὶ ἀτρόφων*] *περιστροφῶν* **Y** ‖ **490** *ἔχεται*] *ἔρχεται* **V** | *λόγου* **VYDγ** om. **ΣMSc** (cf. *αὐτοῦ τοῦ περὶ χρόνων ζωῆς* Heph.) ‖ **492** *παρὰ*] *περὶ* **V**, cf. 1,540 ‖ **496** *καταλαμβάνεται* **VαDγ** *λαμβάνεται* **MS**

χρόνον, ἀλλ' ἐν τοῖς ἐλάττοσιν ἀριθμοῖς δι' ὑπερβολὴν τῆς
500 *κακώσεως φθειρομένων. ἔνθεν κἀκεῖνος μὲν πολυμερεστέραν ἔχει τὴν ἐπίσκεψιν, οὗτος δὲ ὁλοσχερεστέραν.*

ἁπλῶς γὰρ ἐάν τε κεκεντρωμένον ᾖ τὸ ἕτερον τῶν φώτων καὶ τῶν κακοποιῶν ὁ ἕτερος συνῇ ἢ διαμηκίζῃ, ταῦτα δὲ μοιρικῶς καὶ κατ' ἰσοσκελίαν μηδενὸς μὲν ἀγαθοποιοῦ
505 *συσχηματιζομένου, τοῦ δὲ οἰκοδεσπότου τῶν φώτων ἐν τοῖς τῶν κακοποιῶν τόποις κατειλημμένου, τὸ γεννώμενον οὐ τραφήσεται, παρ' αὐτὰ δὲ ἕξει τὸ τέλος τῆς ζωῆς· ἐὰν* **3** *δὲ μὴ κατ' ἰσοσκελίαν μὲν τοῦτο συμβαίνῃ, ἀλλ' ἐγγὺς ἐπαναφέρωνται τοῖς τῶν φώτων τόποις αἱ τῶν κακοποιῶν*
510 *βολαί, δύο δὲ ὦσιν οἱ κακοποιοὶ καὶ ἤτοι τὸ ἕτερον τῶν φώτων ἢ καὶ ἀμφότερα βλάπτοντες ἢ κατὰ ἐπαναφορὰν ἢ κατὰ διάμετρον ἢ ἐν μέρει τὸ ἕτερον ὁ ἕτερος (ἢ ὁ μὲν ἕτερος διαμετρῶν, ὁ δὲ ἕτερος ἐπαναφερόμενος), καὶ οὕτως ἄχρονα γίνεται, τοῦ πλήθους τῶν κακώσεων ἀφανί-*
515 *ζοντος τὸ ἐκ τοῦ διαστήματος τῆς ἐπαναφορᾶς εἰς ἐπιμονὴν ζωῆς φιλάνθρωπον. βλάπτει δὲ ἐξαιρέτως κατὰ μὲν* **4** *τὰς ἐπαναφορὰς ἥλιον μὲν ὁ τοῦ Ἄρεως, σελήνην δὲ ὁ τοῦ*

T 516–519 *Ἄρεως* (§ 4 in.) iterum Heph. II 10,17 (= Ep. IV 24,10)

S 502–507 (§ 2 fin.) Horosc. Const. 3,1 ‖ **504** *μοιρικῶς* Ap. II 9,23 (ubi plura)

500 *μὲν* hic **α** Heph., post *πολυμερεστέραν* **MS** om. **VDγ** ‖ **501** *δὲ* **Yγ** *δὲ τὴν* **VΣβ** Heph. ‖ **503** *ᾖ* **V** Heph. *ἢ καὶ* **αβγ** | post *διαμηκίζῃ*: *ση. διαμηκίζει λέγει τὸ διαμετρεῖ* **A**[2] ‖ **504** *ἰσοσκέλειαν* **Σ** (et saepius) ‖ **505** *σχηματιζομένου* **Σ** | *δὲ* om. **Σc** ‖ **507** *ἕξει*] *ἥξει* **γ** | *τῆς ζωῆς* om. **Σc** ‖ **508** *συμβαίνει* **V** ‖ **511** *ἐπαναφορίαν* **V** ‖ **513** *διαμετρῶν* **αβγ** *διάμετρος ᾖ* **V** *διάμετρος* Heph. ‖ **515** *τῆς*] *τοῦ* **V** ‖ **516** *ζωῆς* **VY** Heph. *τῆς ζωῆς* **Σβγ** (praetulerunt edd.)

Κρόνου, κατὰ δὲ τὰς διαμετρήσεις ἢ καθυπερτερήσεις ἀνάπαλιν ἥλιον μὲν ὁ τοῦ Κρόνου, σελήνην δὲ ὁ τοῦ Ἄρεως, καὶ μάλιστα ἐὰν κατάσχωσι τοπικῶς ἤτοι τὰ φῶτα 520 m 126 *ἢ τὸν ὡροσκόπον οἰκοδεσποτήσαντες. ἐὰν δὲ καὶ δύο τυγχάνωσι διαμετρήσεις ἐπικέντρων ὄντων τῶν φώτων καὶ τῶν κακοποιῶν κατ' ἰσοσκελίαν, τότε καὶ νεκρὰ ἢ ἡμιθανῆ τίκτεται τὰ βρέφη.*

5 *τούτων δὲ οὕτως ἐχόντων, ἐὰν μὲν ἀπόρροιαν ἀπό τινος* 525 *τῶν ἀγαθοποιῶν ἔχοντα τὰ φῶτα τυγχάνῃ ἢ καὶ ἄλλως αὐτοῖς ᾖ συνεσχηματισμένα (τοῖς προηγουμένοις ἑαυτῶν μέρεσι μέντοι γε τὰς ἀκτῖνας αὐτῶν ἐπιφερόντων), ἐπιζήσεται τὸ τεχθὲν ἄχρι τοῦ τῶν μεταξὺ τῆς τε ἀφέσεως καὶ τοῦ τῶν ἐγγυτέρων τῶν κακοποιῶν ἀκτίνων ἀριθμοῦ τῶν μοι-* 530

S 529 *ἀφέσεως* Ap. III 11,2

518–520 *κατὰ ... Ἄρεως* om. **S** | *ἢ* **VΣ** Heph. *καὶ* **Y** *ἢ καὶ* **DMγ** ‖ 520 *καὶ μάλιστα ἐὰν* **Σβγ** (cf. *καὶ μάλιστα* ⟨*ἐὰν*⟩ Heph.) *κἂν* **VY** | *τοπικῶς*] *τροπικῶς* **S** | *ἤτοι* **VY** (cf. Procl.) *ς'* **G** *τῶν* **Σβγc** ‖ 521 *ἢ* **VYDγ** Procl. *καὶ* **ΣMSc** | *οἰκοδεσποτήσαντες* **VY** (cf. *οἰκοδεσποτήσαντες τύχωσιν* Heph.) *οἰκοδεσποτησάντων* **Σβγc** | *καὶ δύο* **αβγ** Heph. *δύο* **V** edd. ‖ 522 *ὄντων τῶν φώτων* **VYDγ** Heph. *τῶν φώτων ὄντων* **ΣMS** ‖ 525 *ἀπό τινος*] *ἀπόπινες* **Y** ‖ 526 *φῶτα*] *φῶ* **V** ‖ 527 *τοῖς* **VY** *ἐν τοῖς* **Σβγ** Heph. (quos secutus est Robbins) | *ἑαυτῶν* **VY** *αὐτῶν* **Σβγ** Heph. an *αὑτῶν* scribendum? cf. 1,744 ‖ 528 *ἐπιζήσεται* **VΣβBC** Heph. *ἐπιζήτησαι* **Y** *ἐπιζητήσεται* **A** (sed *-τη-* expunctum) ‖ 529 *ἄχρι*] *ἀντὶ* **VY**(?) Heph. (postea: *ἀριθμούντων*) | *τοῦ τῶν* (sc. *ἀκτίνων*) **V** (quem tacite sequitur Boer) *τόυιων* (ου supra) **Y** *τοῦ* **Σβγ** | *ἀφέσεως* **ΣMS** Heph. Procl. *ἀφαιρέσεως* **VYDγ** ‖ 530 *τῶν ἐγγυτέρων* **VY** Heph. Procl. *τῶν ἐγγυτέρω* **DS** *τοῦ ἐγγυτέρω* **ΣMγc** | *ἀκτίνων* om. **γ** | *ἀριθμοῦ* om. **A** | *ἀριθμοῦ τῶν*] *ἀριθμούντων* Heph.

ρῶν τοὺς ἴσους μῆνας ἢ ἡμέρας ἢ καὶ ὥρας πρὸς τὸ μέγεθος τῆς κακώσεως καὶ τὴν δύναμιν τῶν τὸ αἴτιον ποιούντων. ἐὰν δὲ αἱ μὲν τῶν κακοποιῶν ἀκτῖνες εἰς τὰ προ- 6 ηγούμενα φέρωνται τῶν φώτων, αἱ δὲ τῶν ἀγαθοποιῶν εἰς
535 τὰ ἑπόμενα, τὸ γεννώμενον ἐκτεθὲν ἀναληφθήσεται καὶ ζήσεται· καὶ πάλιν, ἐὰν μὲν οἱ συσχηματισθέντες ἀγαθοποιοὶ καθυπερτερηθῶσιν ὑπὸ τῶν κακοποιῶν, εἰς κάκωσιν καὶ ὑποταγήν, ἐὰν δὲ καὶ καθυπερτερήσωσιν, εἰς ὑποβολὴν ἄλλων γονέων. εἰ δὲ καὶ τῶν ἀγαθοποιῶν τις ἀνατο-
540 λὴν ἢ συναφὴν ποιοῖτο τῇ σελήνῃ, τῶν δὲ κακοποιῶν ὑπὸ δύσιν τις εἴη, ὑπ' αὐτῶν τῶν γονέων ἀναληφθήσεται. κατὰ 7
c 33 τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν πλειστογονούντων, ἐὰν
m 127 μὲν ὑπὸ δύσιν τις ᾖ τῶν κατὰ δύο ἢ καὶ πλείους συνεσχηματισμένων ἀστέρων, ἡμιθανές τι ἢ σάρκωμα καὶ ἀτελὲς
545 τὸ γεννώμενον ἀποτεχθήσεται, ἐὰν δὲ ὑπὸ κακοποιῶν καθυπερτερῆται, ἄτροφον ἢ ἄχρονον ἔσται τὸ ὑπὸ τῆς κατ' αὐτὸν αἰτίας συγγεγενημένον.

T **533–536** *ζήσεται* (§ 6 in.) iterum Heph. II 10,28 (= Ep. IV 24,20) ‖ **541–542** iterum Heph. II 10,32 ‖ **542–547** (§ 7 fin.) iterum Heph. II 10,35

S 535 *ἐκτεθὲν* Maneth. IV 366–383.593–596. Firm. math. IV 3,2. Heph. III 39,3. Lib. Herm. 32,3

531 *μῆνας*] *μονας* **V** | *πρὸς*] *περὶ* **V** *παρὰ* Heph., cf. 2,672 necnon 1,540 ‖ **533** *αἱ*] *ἐὰν* **V** | *μὲν* om. **γ** ‖ **535** *ἐκτεθὲν*] *ἐκτεχθὲν* **Y** Heph. (cod. **P**, *ἐκτεθὲν* Ep. IV 24,20) ‖ **537** *καθυπερτερηθῶσιν* ... *ἐὰν δὲ* om. **A** ‖ **538** *καὶ* ante *καθυπερτερήσωσιν* (suprascriptum in **V**) om. **D** | *ὑποβολὴν*] *ὑπερβαλὴν* **Y** ‖ **539** *ἀνατολὴν* **Vγ** *ἀνατολῆς* **Y** *ἢ τὴν ἀνατολὴν* **Σβc** Procl. ‖ **540** *συναφὴν* **γ** *τὴν συναφὴν* **Vαβ** (cf. Heph. § 31) | *τῆς σελήνης* **Y** Heph. ‖ **544** *ἡμιθανές τι* **V** Heph. *ἡμιθανέστι* **Y** *ἡμιθανές ἐστιν* **Σβγc** *ἡμιθανές τε* Boer ita **V** legens ‖ **545** *τὸ*] *τὸν* **V**

ια'. Περὶ χρόνων ζωῆς

1 *Τῶν δὲ μετὰ τὴν γένεσιν συμπτωμάτων ἡγεῖται μὲν ὁ περὶ χρόνων ζωῆς λόγος, ἐπειδήπερ κατὰ τὸν ἀρχαῖον* [Nechepso Petos. frg. 15 Riess] *γελοῖόν ἐστι τὰ καθ' ἕκαστα τῶν ἀποτελουμένων ἐφαρμόζειν τῷ μηδ' ὅλως ἐκ τῆς τῶν βιωσίμων ἐτῶν ὑποστάσεως ἐπὶ τοὺς ἀποτελεστικοὺς αὐτῶν χρόνους ἥξοντι.* 2 *θεωρεῖται δὲ οὗτος οὐχ ἁπλῶς οὐδ' ἀπολελυμένως, ἀλλ' ἀπὸ τῆς τῶν κυριωτάτων τόπων ἐπικρατήσεως πολυμερῶς λαμβανόμενος. ἔστι δ' ὁ μάλιστά τε συμφωνῶν ἡμῖν καὶ ἄλλως ἐχόμενος φύσεως τρόπος τοιοῦτος. ἤρτηται μὲν γὰρ τὸ πᾶν ἔκ τε τῆς τῶν ἀφετικῶν τόπων διαλήψεως καὶ ἐκ τῆς αὐτῶν τῶν τῆς ἀφέσεως ἐπικρα-* 550 555

T **548–570** *δύνοντος* (§ 1–3 in.) Heph. II 11,1–3 ‖ **548** Olymp. 23 p. 76,5 ‖ **558–570** (§ 2 fin.–3 in.) Heph. Ep. IV 25,11–12

S **549–859** (§ 1–34) Dor. A III 1–2. Maneth. III(II) 399–428. Cod. Marcianus gr. 335 (CCAG II [1900] p. 50), fol. 174^{r}. Cod. Angelicus gr. 29 (CCAG V 1 [1904] p. 44: nobis A) fol. 174^{v} ‖ **549–550** *ὁ περὶ χρόνων ζωῆς λόγος* Nechepso apud Val. III 11,1. Thras. CCAG VIII 3 (1912) p. 101,10. Balbillus ibid. p. 103,12 et CCAG VIII 4 (1921) p. 235,7–238,2. Dor. apud Heph. II 10,37. Dor. G p. 377,23. Manetho apud Heph. II 11,125. Paul. Alex. 3 p. 13,3 ‖ **553** *βιωσίμων ἐτῶν* Ap. IV 10,4 ‖ **558** *ἀφετικῶν* Balbillus CCAG VIII 3 (1912) p. 103,10–104,3

548 *ια'* **VD** *ι'* **Yγ** om. **MS** | titulum praebent **VYDMγ** Heph. om. **ΣS** ‖ **551** *ἕκαστα* **VY** *ἕκαστον* **Σβγ** ‖ **554** *οὗτος* **Σβγ** Procl. *οὕτως* **VY** om. **c** ‖ **556** *ἔστι*] *ἔτι* **V**, cf. 1,1247 ‖ **558** *τόπων* **Yβγ** Heph. Procl. om. **VΣc** ‖ **559** *τῆς αὐτῶν τῶν* **VY** *τῶν τῆς αὐτῆς* **Σβγ** | *τῆς* ante *ἀφέσεως* om. **β**

560 *τούντων καὶ ἔτι ἐκ τῆς τῶν ἀναιρετικῶν τόπων ἢ ἀστέρων. διακρίνεται δὲ τούτων ἕκαστον οὕτως.*


τόπους μὲν πρῶτον ἡγητέον ἀφετικοὺς ἐν οἷς εἶναι δεῖ **3** *πάντως τὸν μέλλοντα τὴν κυρίαν τῆς ἀφέσεως λαμβάνειν*
m 128 *τό τε περὶ τὸν ὡροσκόπον δωδεκατημόριον, ἀπὸ πέντε*
565 *μοιρῶν τῶν προαναφερομένων αὐτοῦ τοῦ ὁρίζοντος μέχρι τῶν λοιπῶν καὶ ἐπαναφερομένων μοιρῶν εἴκοσι πέντε καὶ τὰς ταύταις ταῖς λ′ μοίραις δεξιὰς ἑξαγώνους (τὰς τοῦ ἀγαθοῦ δαίμονος) καὶ τετραγώνους (τοῦ ὑπὲρ γῆν μεσου-*

T 562–570 *δύνοντος* (§ 3 in.) Porph. 43 p. 215,9–14. Steph. philos. p. 23 (= p. 275,25–276,2), cf. Rhet. A p. 221,12 || **564–565** Olymp. 23 p. 76,4–6 || **566–567** Rhet. D p. 222,9–10

S 562–575 (§ 3) Manil. II 856–965. Thras. CCAG VIII 3 (1912) p. 100,30–101,31. Dor. A I 5 (~ Heph. I 12). Mich. Pap. col. IX 12–19. Sext. Emp. V 13–20. Porph. 43. Firm. math. II 17–19. VI 1. Paul. Alex. 24 (quo spectat Olymp. 23). Rhet. C p. 126,12–174,17. Rhet. D p. 221,1–223,6. Steph. philos. 24–25 (p. 276,23–279,14). Lib. Herm. 14 || **564–567** *ἀπὸ πέντε μοιρῶν* etc. Porph. 43 p. 215,11. 52 p. 226,5–7. Olymp. 23 p. 76,4–7. Rhet. D p. 221,12

560 *καὶ ἔτι ... ἀστέρων* om. **γ** || **561** post *οὕτως* titulum inseruerunt *περὶ τόπων ἀφετικῶν* **Σc** *περὶ τόπων τῆς ἀφέσεως ἤτοι τῆς ζωῆς* **S**[2] in margine || **562** *τόπους μὲν πρῶτον* **VYS** *πρῶτον μὲν τόπους* **ΣDMγ** *τόπους μὲν* Heph. || **564** *τὸν* **αβγ** Heph. (Ep. IV 25,12) *τὴν* **V** *τῶν* Heph. (cod. **P**) || **565** *μοίρας* **V** || **566** *μοιρῶν* **VDγ** Heph. *ἐπικέντρων μοιρῶν* **Y** om. **ΣMS** || **567** *τὰς* (prius) **VS** *ταῖς* iteravit **Y** *τοὺς* **ΣDMγ** Rhet. D p. 222,9 om. Heph. | *δεξιὰς* **VYβ** Heph. *δεξιοὺς* **Σ** Rhet. ibid. om. **γ** | *τὰς* (alterum) **V** *τοὺς* **Y** *τε* **ΣβBC** (quos secutus est Robbins) *τε καὶ* **A** om. Heph. || **568** *ἀγαθοῦ δαίμονος* **VS** Heph. *ἀγαθοδαίμονος* **Y** *ἀγαθοποιοῦ δαίμονος* **ΣDMγ**

fig. 15. duodecim locorum figura quadrata



ρανήματος) καὶ τριγώνους (τοῦ καλουμένου θεοῦ) καὶ δια-μέτρους (τοῦ δύνοντος) – προκρινομένων καὶ ἐν τούτοις 570 *εἰς δύναμιν ἐπικρατήσεως πρῶτον μὲν τῶν κατὰ τὸ ὑπὲρ γῆν μεσουράνημα, εἶτα τῶν κατὰ τὴν ἀνατολήν, εἶτα τῶν*

T 570–584 (§ 3 fin.–4) Heph. II 11,18–19

S 569 *θεοῦ* Manil. II 909. Sext. Emp. V 17. Firm. math. II 18,2. Paul. Alex. 24 p. 63,5 app. cr. (quo spectat Olymp. 23 p. 70,13). Rhet. C p. 163,18

570 *τοῦ*] *οὐ* **V** | *ἐν*] *ἐκ* **V** || **571** *ἐπικρατήσεως* **VYβ** Heph. *τῆς ἐπικρατήσεως* **γ** *τῶν ἐπικρατήσεων* **Σ** | *τῶν* **Sγ** *τὸ* **VDM** *τῆς* **Σc** om. **Y** (*τῶν κατὰ* om. Heph. cod. **P**) || **572** *μεσ-ουράνημα* **βγ** Heph. *μεσουρανήματι* **Σ** *μεσουρανήματος* **c** | post *μεσουράνημα*: *ἑστώτων* add. **VY** non agnoverunt edd. | *τῶν*] *τὴν* **V**, cf. 1,168

κατὰ τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος, εἶτα τῶν κατὰ τὸ δῦνον, εἶτα τῶν κατὰ τὸ προηγούμενον τοῦ μεσουρα- 575 *νήματος. τό τε γὰρ ὑπὸ γῆν πᾶν εἰκότως ἀθετητέον πρὸς* 4 *τὴν τηλικαύτην κυρίαν πλὴν μόνων τῶν παρ' αὐτὴν τὴν ἐπαναφορὰν εἰς φῶς ἐρχομένων, τοῦ τε ὑπὲρ γῆν οὔτε τὸ ἀσύνδετον τῷ ἀνατέλλοντι δωδεκατημόριον ἁρμόζει παρα-* c 33v *λαμβάνειν, οὔτε τὸ προανατεῖλαν (ὃ καλεῖται τοῦ κακοῦ* 580 *δαίμονος), ἐπειδήπερ κακοῖ τὴν ἐπὶ τὴν γῆν ἀπόρροιαν τῶν ἐν αὐτῷ ἀστέρων μετὰ τοῦ καὶ ἀποκεκλικέναι, θολοῖ τε καὶ ὥσπερ ἀφανίζει τὸ ἀναθυμιώμενον ἐκ τῶν τῆς γῆς ὑγρῶν παχὺ καὶ ἀχλυῶδες, παρ' ὃ καὶ τοῖς χρώμασι καὶ τοῖς μεγέθεσιν οὐ κατὰ φύσιν ἔχοντες φαίνονται.*

585 *μετὰ δὲ ταῦτα πάλιν ἀφέτας παραληπτέον τούς τε κυ-* 5 *ριωτάτους τέσσαρας τόπους (ἥλιον, σελήνην, ὡροσκόπον,*

S 579–580 *κακοῦ δαίμονος* Thras. CCAG VIII 3 (1912) p. 121,29. Mich. Pap. col. IX 19. Sext. Emp. V 15. Firm. math. II 18,2. Paul. Alex. 24 p. 70,11 (quo spectat Olymp. 23 p. 74,15), cf. Rhet. C p. 126,16 (item Steph. philos. 25 p. 279,11) || **582** *ἀναθυμιώμενον* Ap. I 4,2 (ubi plura)

573 *μεσουρανήματος*] *μορίου* **V** || **573–575** *εἶτα τῶν κατὰ τὸ δῦνον … μεσουρανήματος* om. **B** || **574** *δυνὼν* **C** || **575** *ἀθητέον* **Y** || **576** *παρ'*] *ἐπ'* **Y** || **577** *ἐπαναφορὰν* **VDγ** Heph. *ἀναφορὰν* **αMS** (recepit Robbins) || **578** post *δωδεκατημόριον*: *ὃ λέγεται τόπος ἀργός* Σ^2 in margine (recepit c) *ὅπερ καλοῦσι τόπον ἀργόν* **γ** in margine || **579** *ὃ καλεῖται* **YDγ** *καὶ καλεῖται* **V** *ὃ καὶ καλεῖται* **ΣMS** | *τοῦ* om. **αMS** || **580** *ἐπειδήπερ* **Σβγ** *ἐπείπερ* **V** *ὅπερ* **Y** | *κακοῖ* **V** (cf. *βλάπτει* Procl.) *κακοὶ* **Γ** *κακῇ* **Y** *κἀκεῖ* **G** om. **Σβγc** | *τὴν* post *ἐπὶ* om. **Σ** || **581** *ἀστέρων* om. **MS** || **582** *τε* **V** *μὲν* **Y** om. **Σβγ** (non receperunt **c** Boer) || **584** *φαίνονται* **Vαβ** Heph. *φαίνεται* **γ** || **585** *τούς* om. **V**

κλῆρον τύχης) καὶ τοὺς τούτων οἰκοδεσποτήσαντας. κλῆ- m 129
ρον μέντοι τύχης τὸν συναγόμενον ἀπὸ τοῦ ἀριθμοῦ πάν-
τοτε καὶ νυκτὸς καὶ ἡμέρας τοῦ ἀπὸ ἡλίου ἐπὶ σελήνην καὶ
τὰ ἴσα φέροντος ἀπὸ τοῦ ὡροσκόπου κατὰ τὰ ἑπόμενα 590
τῶν ζῳδίων, ἵνα ὃν ἔχει λόγον καὶ σχηματισμὸν ὁ ἥλιος
πρὸς τὸν ὡροσκόπον, τοῦτον ἔχῃ καὶ ἡ σελήνη πρὸς τὸν
κλῆρον τῆς τύχης καὶ ᾖ ὥσπερ σεληνιακὸς ὡροσκόπος.

T 591–596 (§ 5 *ὃν ἔχει* – 6 *ὡροσκόπου*) Heph. II 11,24–25. Lib. Herm. 16 p. 42,28–31 G.

S 588–593 *κλῆρον ... τύχης* Nech. et Petos. frg. 19 Riess (apud Val. III 11,2–4). Manil. III 169–202. Dor. A I 10–26,11. Val. II 3. Firm. math. IV 17,3–5. Heph. II 18,10. Paul. Alex. 23 p. 47,15–48,5 (quo spectat Olymp. 22 p. 46,4–50,5). Rhet. A p. 160,12–16 ‖ **593** *σεληνιακὸς ὡροσκόπος* Abraham apud Firm. math. IV 17,5. Rhet. D p. 223,15–16

587 post *οἰκοδεσποτήσαντας* titulum *περὶ τοῦ κλήρου τῆς τύχης* inseruerunt **Σc** ‖ **588** *μέντοι*] *μὲν* **V** | *τῷ συναγομένῳ* **γ** | *ἀπὸ τοῦ ἀριθμοῦ* **Vαβ** *ἀριθμῷ τῶν μοιρῶν* **γ** ‖ **589** post *πάντοτε*: *τῶν μοιρῶν* add. **Σ** | *καὶ νυκτὸς καὶ ἡμέρας* **VY** *καὶ ἡμέρας καὶ νυκτὸς* **Σβ** *ἡμέρας δηλαδὴ καὶ νυκτὸς* **γ**, cf. 1,12. al. | *ἀπὸ τοῦ ☉ ἐπὶ τὴν ☾* **γ** ‖ **590** *τὰ ἴσα* **αβ** (cf. Procl.) *εἰς τὰ ἴσα* **V** *τὸν ἴσον ἀριθμὸν* **γ** | *φέροντος* **VY** *ἀφαιροῦντες* **Σβγc** | *τοῦ ὡροσκόπου*] *τῆς τοῦ ὡροσκόπου μοίρας* **γ** ‖ **591** post *ζῳδίων*: *ὅπου δ' ἂν ἐκπέσῃ ὁ ἀριθμός, ἐκείνην τὴν μοῖραν τοῦ δωδεκατημορίου καὶ τὸν τόπον φαμὲν ἐπέχειν τὸν κλῆρον τῆς τύχης* add. **Σγc** | *λόγον ἔχῃ* **C** ‖ **592** *ὡροσκόπον* **VD** *ἀνατολικὸν ὁρίζοντα* **αMS** Heph. *τὴν ὡροσκοποῦσαν μοῖραν τοῦ ἀνατέλλοντος δωδεκατημορίου* **γ** ‖ **593** *σεληνιακὸς* om. **S** | post *ὡροσκόπος*: *πλὴν ὀφείλομεν ὁρᾶν, ποῖον τῶν φώτων ἐπὶ τὰ ἑπόμενα εὑρίσκεται* [-*κη*- **Σ**] *τοῦ ἑτέρου· εἰ μὲν γὰρ ἡ σελήνη* [*ὡς* add. **γ**] *πρὸς τὰ ἑπόμενα μᾶλλον εὑρίσκεται* [-*κη*- **Σ**] *τοῦ ἡλίου, τὸν ἐκβαλλόμενον ἀπὸ τοῦ ὡροσκόπου ἀριθμὸν ἐπὶ τὸν κλῆρον τῆς τύχης, ὡς πρὸς τὰ ἑπόμενα τῶν ζῳδίων δεῖ ἡμᾶς τοῦτον διεκβάλ-*

ἴσως δὲ αὐτὸ τοῦτο θέλει τε καὶ δύναται παρὰ τῷ συγγρα- 6
595 *φεῖ τὸ τοῖς νυκτὸς γεννωμένοις ἀπὸ σελήνης ἐπὶ ἥλιον*
ἀριθμεῖν καὶ ἀνάπαλιν ἀπὸ τοῦ ὡροσκόπου, τουτέστιν εἰς
τὰ προηγούμενα, διεκβάλλειν· καὶ οὕτως γὰρ κἀκεῖνος ὁ
m 130 *αὐτὸς τόπος τοῦ κλήρου καὶ ὁ αὐτὸς τοῦ συσχηματισμοῦ*
λόγος ἐκβήσεται.
600 *προκριτέον δὲ καὶ ἐκ τούτων ἡμέρας μὲν πρῶτον τὸν* 7
ἥλιον, ἐάνπερ ᾖ ἐν τοῖς ἀφετικοῖς τόποις· εἰ δὲ μή, τὴν σε-
λήνην· εἰ δὲ μή, τὸν πλείους ἔχοντα λόγους οἰκοδεσποτείας
πρός τε τὸν ἥλιον καὶ τὴν προγενομένην σύνοδον καὶ πρὸς

T 600–612 (§ 7) Heph. II 11,20–23 ‖ **600** sqq. cod. Angelicus gr. 29 (nobis A) fol. 174ᵛ

S 600–859 (§ 7–34) Dor. A III 2 (cf. Heph. II 26,25–34). Maneth. III(II) 399–420. Val. II 2. Porph. 30. Paul. Alex. 36 p. 95,18–96,6 (quo spectat Olymp. 40)

λειν. εἰ δὲ ὡς πρὸς τὰ ἡγούμενα [*προηγούμενα* **C**] *τοῦ ἡλίου μᾶλλον εὑρίσκεται* [*-κη-* **Σ**] *ἡ σελήνη, τὸν αὐτὸν ἀριθμὸν ὡς πρὸς τὰ ἡγούμενα* [*προηγούμενα* **γ**] *τοῦ ὡροσκόπου δεῖ ἐκβάλλειν* [*διεκβάλλειν* **Σ**, cf. l. 597 necnon Paul. Alex. 23 p. 48,5 app.] **Σγ** "haec supposititia, et ab aliquo interprete temerè inserta esse videntur" **m** asterisco notavit **c**

594–599 *ἴσως ... ἐκβήσεται* om. **S** lacuna quattuor fere litterarum relicta, *ἴσως ...* 597 *διεκβάλλειν* om. **γ**, damnavit Robbins, sed Hephaestio Ptolemaeum Nechepsonem et Petosirin afferre docet | *ἴσως δὲ* **Vγ** *ἴσως δὲ τῷ* **Y** *ἴσως δὲ καὶ* **DMΣc** | *θέλει τε* **V** *θέλει* **Y** *ἐστί τε* **ΣDMc** ‖ **597** *διεκβάλλειν* **V** (cf. *ἐκβάλλειν* Heph.) *διεκβαλεῖν* **αDM** | *κἀκείνως* **M** ‖ **598** post *κληροῦ*: *τῆς τύχης* add. **γ** | *σχηματισμοῦ* **ΣM** ‖ **599** *ἐκβήσεται* **VYDγ** *εὑρεθήσεται* **ΣMc** ‖ **600** titulum *πόσοι ἀφέται* inseruerunt **Σc** *περὶ τόπων τῆς ἀφέσεως* **S²** in margine | *καὶ ἐκ* om. **Σβγc** ‖ **602** *τὸν ... ἔχοντα* **V** *τὴν ... ἔχοντα* **Y** *τοὺς ... ἔχοντας* **Σβγc** ‖ **603** supra *ἥλιον*: *ἤγουν τὸ ζῴδιον ὃ ἐπέχει ὁ ☉* **C** | *σύνοδον* **VαDSγ** Heph. *εἴσοδον* **D²**(in margine)**M** | *πρὸς* om. **ΓΣc**

τὸν ὡροσκόπον, τουτέστιν ὅταν τῶν οἰκοδεσποτικῶν τρόπων ε΄ ὄντων τρεῖς ἔχῃ πρὸς ἕνα ἢ καὶ πλείους τῶν εἰρημένων· εἰ δὲ μή, τελευταῖον τὸν ὡροσκόπον· νυκτὸς δὲ πρῶτον τὴν σελήνην, εἶτα τὸν ἥλιον, εἶτα τὸν πλείους ἔχοντα λόγους οἰκοδεσποτείας πρός τε τὴν σελήνην καὶ πρὸς τὴν προγενομένην πανσέληνον καὶ τὸν κλῆρον τῆς τύχης· εἰ δὲ μή, τελευταῖον συνοδικῆς μὲν οὔσης τῆς προγενομένης συζυγίας τὸν ὡροσκόπον, πανσεληνιακῆς δὲ τὸν κλῆρον τῆς 605 c 34 610

8 *τύχης. εἰ δὲ καὶ ἀμφότερα τὰ φῶτα ἢ καὶ ὁ τῆς οἰκείας αἱρέσεως οἰκοδεσπότης ἐν τοῖς ἀφετικοῖς εἶεν τόποις, τὸν ἐν τῷ κυριωτέρῳ τόπῳ τῶν φώτων παραληπτέον. τότε δὲ μόνον τὸν οἰκοδεσπότην ἀμφοτέρων προκριτέον, ὅταν καὶ κυριώτερον ἐπέχῃ τόπον καὶ πρὸς ἀμφοτέρας τὰς αἱρέσεις οἰκοδεσποτείας λόγον ἔχῃ.* 615

9 *τοῦ δὲ ἀφέτου διακριθέντος ἔτι καὶ τῶν ἀφέσεων δύο τρόπους παραληπτέον· τόν τε εἰς τὰ ἑπόμενα μόνον τῶν ζῳδίων ὑπὸ τὴν καλουμένην ἀκτινοβολίαν, ὅταν ἐν τοῖς* m 131 620

T 612–642 (§ 8–11) Heph. II 11,31–34

604 *τῶν* om. **Σγc** | *τρόπων*] *τόπων* **S**, cf. 3,93 || **606** post *μή*: *δὲ* iteravit **V** | post *ὡροσκόπον*: *δῆλον ὅτι εἴπερ ὁ ☌, ἐν ταῖς ἑπομέναις ἡμέραις τοῦ ὡροσκόπου* **Y** || **607** *τὸν ... ἔχοντα* **V** *τὸν ... ἔχωντα* **Y** (cf. Procl.) *τοὺς ... ἔχοντας* **Σβγc** || **608** *πρὸς* (alterum) om. **ΣSγ** | *προγενομένην* **ΣMSγ** *γενομένην* **VYD** (praetulit Boer) || **609** post *τύχης*: *εἰ δὲ μή, τελευταῖον ὁ ὡροσκόπος ἀφίησι τοὺς χρόνους* **Σβc** || **613** *εἶεν*] *εἰσὶν* **C** | *τὸν ἐν* **VΣβAC** *τὸν* **Y** *τῶν* **G** *τῶν* (abbr.) *ἐν* **B** *τὸν μὲν* **c** || **614** *τόπῳ* **Vβγ** Heph. Procl. *τρόπῳ* **Σc** om. **Y**, cf. 3,93 | *φώτων* **Vαβ** *ἀφετικῶν* **γ** || **616** *κυριώτερον* **VαSγ** (cf. *κυριωτέρῳ* Heph.) *καιριώτερον* **DM** || **617** post *ἔχῃ* capitis titulum *πόσοι τρόποι ἀφέσεως* inseruerunt **Σc** || **618** *ἀφέτου* **V** Heph. *ἀφέτου καὶ* **Y** *ἀφετικοῦ* **Σβγ** || **619** *τρόπους* **αβγ** Heph. *τόπους* **V** (praetulit Boer in adnotatione coll. Heph. II 11,51), cf. 3,93

ἀπηλιωτικοῖς τόποις (τουτέστι τοῖς ἀπὸ τοῦ μεσουρανήματος ἐπὶ τὸν ὡροσκόπον τόποις) ᾖ ὁ ἀφέτης, καὶ τὸν οὐ μόνον εἰς τὰ ἑπόμενα, ἀλλὰ καὶ εἰς τὰ προηγούμενα κατὰ τὴν λεγομένην ὡριμαίαν, ὅταν ἐν τοῖς ἀποκεκλικόσι τοῦ
625 *μεσουρανήματος τόποις ᾖ ὁ ἀφέτης.*

τούτων δὲ οὕτως ἐχόντων ἀναιρετικαὶ γίγνονται μοῖραι 10
κατὰ μὲν τὴν εἰς τὰ προηγούμενα τῶν ζῳδίων ἄφεσιν ἡ τοῦ δυτικοῦ ὁρίζοντος μόνη διὰ τὸ ἀφανίζειν τὸν κύριον τῆς ζωῆς, αἱ δὲ τῶν οὕτως ὑπαντώντων ἢ μαρτυρούντων
630 *ἀστέρων ἀφαιροῦσι μόνον καὶ προστιθέασιν ἔτη τοῖς μέχρι τῆς καταδύσεως τοῦ ἀφέτου συναγομένοις καὶ οὐκ ἀναιροῦσι διὰ τὸ μὴ αὐτοὺς ἐπιφέρεσθαι τῷ ἀφετικῷ τόπῳ, ἀλλ' ἐκεῖνον τοῖς αὐτῶν. καὶ προστιθέασιν μὲν οἱ ἀγαθοποιοί, ἀφαιροῦσι δὲ οἱ κακοποιοί, τοῦ Ἑρμοῦ πάλιν ὁπο-*
635 *τέροις ἂν αὐτῶν συσχηματισθῇ προστιθεμένου. ὁ δὲ* 11
ἀριθμὸς τῆς προσθέσεως ἢ ἀφαιρέσεως θεωρεῖται διὰ τῆς καθ' ἕκαστον μοιροθεσίας· ὅσοι γὰρ ἂν ὦσιν ὡριαῖοι χρό-

S 624 *ὡριμαίαν* Val. III 7,13. IX 8,17 (adde schol. ad III 3,15 p. 367,20). Heph. Ep. IV 25,48. Leo philos. CCAG I (1898) p. 139,1

621 *τόποις* **VYD** om. **ΣMSγ** Heph. fort. recte ‖ **622** *τὸν* (post *καὶ*) **VYγ** Heph. *τοῦτον* **Σβ** ‖ **623** post *καὶ*: *τὸν* add. **VDγ** ‖ **626** *μοῖραι*] *μόνον* **V** *καὶ* Heph. (viget cod. **P** tantum) ‖ **629** *ὑπαντώντων* **VYSC** Heph. *ἀπαντώντων* **ΣDM AB** ‖ **630** *καὶ* **VY** Heph. Procl. *ἢ* **Σβγ** | *τοῖς ... συναγομένοις* **VY** Heph. *τοῖς ὑπὸ τοῦ ἀφέτου συναγομένοις μέχρι τῆς καταδύσεως τοῦ ἀφέτου* **Σβγ** ‖ **631** *οὐκ* om. **ΣDM** ‖ **634** *τοῦ Ἑρμοῦ* **V** Heph. *τοῦ δὲ Ἑρμοῦ* **Y** *τούτου Ἑρμοῦ* **AB** *τοῦ τοῦ Ἑρμοῦ* **C** (recepit Boer) *ὁ δὲ τοῦ Ἑρμοῦ* **ΣD** *ὁ τοῦ* **MS** ‖ **635** *σχηματισθῇ* **Y** Heph. | *προστιθεμένου* **VGβγ** Heph. *προστηθεμένου* **Y** *προστιθέμενος* **Σc** ‖ **637** *ἂν* om. **YM** (*ἐὰν* Heph. cod. **P**, at recte Ep. IV 25,53)

νοι τῆς ἑκάστου μοίρας (ἡμέρας μὲν οὔσης οἱ τῆς ἡμέρας, νυκτὸς δὲ οἱ τῆς νυκτός), τοσοῦτον πλῆθος ἐτῶν ἔσται τὸ τέλειον· ὅπερ ἐπὶ τῆς ἀνατολῆς αὐτῶν ὄντων λογιστέον, 640 *εἶτα κατὰ τὸ ἀνάλογον τῆς ἀποχωρήσεως ὑφαιρετέον, ἕως* m 132 *ἂν πρὸς τὰς δυσμὰς εἰς τὸ μηδὲν καταντήσῃ.*

12 *κατὰ δὲ τὴν εἰς τὰ ἑπόμενα τῶν ζῳδίων ἄφεσιν ἀναιροῦσιν οἵ τε τῶν κακοποιῶν τόποι (Κρόνου καὶ Ἄρεως· ἤτοι σωματικῶς ὑπαντώντων ἢ ἀκτῖνα ἐπιφερόντων ὁθεν-* 645 *δήποτε τετράγωνον ἢ διάμετρον, ἐνίοτε δὲ καὶ ἐπὶ τῶν ἀκουόντων ἢ βλεπόντων κατ' ἰσοδυναμίαν ἑξάγωνον) καὶ* c 34v *αὐτὸς δὲ ὁ τῷ ἀφετικῷ τόπῳ τετράγωνος ἀπὸ τῶν ἑπομένων, ἐνίοτε δὲ καὶ ἐπὶ μὲν τῶν πολυχρονούντων δωδεκατη-*

T 643–651 *τρίγωνος* (§ 12 in.) Heph. II 11,52 ‖ **645–646** Porph. 25 p. 203,24–25 (sed secludendum)

S 647 *ἀκουόντων ἢ βλεπόντων* Ap. I 15–16 (ubi plura). Val. III 5,18. VI 8,7 ‖ **648** *τετράγωνος* Maneth. III(II) 427. Heph. II 11,64 (ex Panchario). Paul. Alex. 34 p. 90,12–14 ‖ **649–650** *πολυχρονούντων … ὀλιγοχρονίων* Sen. nat. VII 27,3. Val. III 10,2 (cf. III 3,2 al.). Ps.Ptol. Karp. 52. Serv. auct. georg. I 32. Ps.Cens. frg. 2,5 Jahn (= Schol. Germ. Strozz. p. 107,4–7 Breysig melius quam p. 170,22 Dell'Era). Horosc. L 486

640 *ὅπερ* **VYSγ** Heph. *ὅπως* **ΣDMc** | *ἐπὶ*] *ἐκ* **Σc** | post *ὄντων*: *ὅλον* add. **Σβγc** Heph. Ep. IV 25,53 ‖ **641** *εἶτα* **VY** Heph. *καὶ* **Σβγ** | *τὸ* **VΣDSγ** *τὸν* **M** om. **Y** ‖ **642** *δυσμὰς* **VDγ** *δύσεις* **αMS** Heph. *(τὴν) δύσιν* Heph. Ep. IV 25,53 ‖ **646** *ἐπὶ* **VYγ** Heph. Ep. IV 25,82. Procl. *ἀπὸ* **Σ** (*ἐπὶ* suprascriptum) **β** Heph. (cod. **P**), cf. 1,254 ‖ **647** *ἑξάγωνον* (sc. *ἀκτῖνα*) **GΣβγc** Heph. *ἑξαγώνων* **VY** Procl. (receperunt Boer Robbins) ‖ **648** *τετράγωνος* **VYγ** Heph. *ἑξάγωνος* **Σ** (*τετρα-* suprascriptum) **β** | *ἑπομένων*] *ῥεπομένων* **V** ‖ **649** *ἐπὶ μὲν* **VY** *ἐπὶ* **Sγ** Heph. *ἀπὸ* **ΣDMc**, cf. 1,254 | *πολυχρονούντων* **VY** Heph. (cod. **P**) *πολυχρονιούντων* **Σβγ** Heph. Ep. IV 25,87 | *δωδεκατημορίων* om. **γ**

650 *μορίων κακωθεὶς ὁ ἑξάγωνος, ἐπὶ δὲ τῶν ὀλιγοχρονίων ὁ τρίγωνος, σελήνης δὲ ἀφιείσης καὶ ὁ τοῦ ἡλίου τόπος ἀναιρεῖ. ἰσχύουσι γὰρ αἱ κατὰ τὴν τοιαύτην ἄφεσιν ὑπαντήσεις καὶ ἀναιρεῖν καὶ σῴζειν, ἐπειδὴ καὶ αὗται τῷ τοῦ ἀφέτου τόπῳ ἐπιφέρονται. οὐ πάντοτε μέντοι τούτους τοὺς* **13**
655 *τόπους καὶ πάντως ἀναιρεῖν ἡγητέον, ἀλλὰ μόνον ὅταν ὦσι κεκακωμένοι· παραποδίζονται γάρ, ἐάν τε εἰς ἀγαθο-*

T 651–652 Rhet. D p. 223,10–11 ‖ **651–675** (§ 12 fin.–15 in.) Heph. II 11,66–69

(S) CCAG I (1898) p. 101,7. Iulian. Laodic. CCAG VIII 4 (1921) p. 250,15–16. Abū M. introd. VI 1 p. 495.517 (~ Apom. Myst. ⟨III 21⟩ CCAG V 1 [1904] p. 164,3). "Pal." CCAG V 3 (1910) p. 126,10 (~ XI 1 [1932] p. 270,10–11). Id. CCAG VIII 1 (1929) p. 244,24–25/28–29. Sent. fund. p. 132,6–11. Anon. R. al., poetice Arat. 225 (et inde derivata). Lucan. IX 535. Max. 442. Nonn. Dion. 38,374

650 post *ἑξάγωνος*: *ἀναιρεῖ* add. **Σγc** | *ὀλιγοχρονίων* **VY** Procl. *ὀλιγοχρονιούντων* **Σβγ** Heph. Ep. IV 25,87 *ὀλιγοχρονούντων* Heph. (cod. **P**) | postea *πάλιν κακωθεὶς* inseruerunt **Σγ** (cf. *ὡσαύτως κακωθεὶς* Heph. Ep. IV 25,87) ‖ **651** post *τρίγωνος* lacuna viginti fere litterarum patet in **A** | *ἀφιείσης* **YDSγ** Heph. Ep. IV 25,92 *ἀφήσης* **V** *ἀφιήσης* Heph. (cod. **P**) *ἐφιείσης* **ΣM** ‖ **652** *ἀναιρεῖ* **Σβγc** Heph. (item Ep. IV 25,92) om. **VY** Procl. (non agnovit Boer) | *αἱ* hic praebent **VDγ**, ante *ὑπαντήσεις* **αMS** Heph. | *τὴν* om. **Σ** | *ὑπαντήσεις* **αβγ** Heph. *ἀπαντήσεις* **V**, cf. 3,1067 ‖ **653** *καὶ* (ante *αὗται*) **αβγ** Heph. om. **V** edd. ‖ **654** *τούτους τοὺς τόπους* **VYDγ** *τοιούτους τοὺς τόπους* **MS** *τοὺς τοιούτους* **Σc** ‖ **655** *καὶ* om. **V** (non recepit Robbins) | *μόνον* **VDγ** Heph. *μᾶλλον* **Σ** (correctum in margine) **MS**

ποιοῦ ὅριον ἐμπέσωσιν, ἐάν τέ τις τῶν ἀγαθοποιῶν ἀκτῖνα συνεπιφέρῃ τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον ἤτοι πρὸς αὐτὴν τὴν ἀναιρετικὴν μοῖραν ἢ εἰς τὰ ἑπόμενα αὐτῆς (ἐπὶ μὲν Διὸς μὴ ὑπὲρ τὰς δώδεκα μοίρας, ἐπὶ δὲ Ἀφροδί- 660 *της μὴ ὑπὲρ τὰς ὀκτώ), ἐάν τε σωμάτων ὄντων ἀμφοτέρων τοῦ τε ἀφιέντος καὶ τοῦ ὑπαντῶντος μὴ τὸ αὐτὸ πλάτος ᾖ*

14 *ἀμφοτέρων. ὅταν οὖν δύο ἢ πλείονα ᾖ ἑκατέρωθεν τά τε* m 133 *βοηθοῦντα καὶ τὰ κατὰ τὸ ἐναντίον ἀναιροῦντα, σκεπτέον τὴν ἐπικράτησιν ὁποτέρου τῶν εἰδῶν κατά τε τὸ πλῆθος* 665 *τῶν συλλαμβανομένων αὐτοῖς καὶ κατὰ τὴν δύναμιν· κατὰ μὲν τὸ πλῆθος, ὅταν αἰσθητῶς πλείονα ᾖ τὰ ἕτερα τῶν ἑτέρων, κατὰ δύναμιν δέ, ὅταν τῶν βοηθούντων ἢ ἀναιρούντων ἀστέρων οἱ μὲν ἐν οἰκείοις ὦσι τόποις, οἱ δὲ μή,*

15 *μάλιστα δ' ὅταν οἱ μὲν ὦσιν ἀνατολικοί, οἱ δὲ δυτικοί. καθ-* 670 *όλου γὰρ τῶν ὑπὸ τὰς αὐγὰς ὄντων οὐδένα παραληπτέον οὔτε πρὸς ἀναίρεσιν οὔτε πρὸς βοήθειαν, πλὴν εἰ μὴ τῆς σελήνης ἀφέτιδος οὔσης αὐτὸς ὁ τοῦ ἡλίου τόπος ἀνέλῃ συντετραμμένος μὲν ὑπὸ τοῦ συνόντος καταποιοῦ, διὰ μηδενὸς δὲ τῶν ἀγαθοποιῶν ἀναλελυμένος.* 675

S 660 *δώδεκα* Ap. IV 10,11 (ubi plura) || **661** *ὀκτώ* Ap. IV 10,8 (ubi plura) || **671** *ὑπὸ τὰς αὐγὰς* Dor. A I 7,9

657 *ἐμπέσωσιν* **Vγ** *ἐκπέσωσιν* **αβ** Heph. fort. recte, cf. e.g. 2,510 | *τέ τις τῶν ἀγαθοποιῶν* **VDγ** (cf. *τίς τε τῶν ἀγαθοποιῶν* Heph.) *τε τῶν ἀγαθοποιῶν τις* **αMSc** || **658** *συνεπιφέρηται* **Sc** || **663** *ἢ* **V** *ἢ καὶ* **αβγ** || **664** *τὰ* om. **Σβγ** Heph. || **667** post *πλῆθος*: *αὐτῶν* add. **Σ** || **670** *ὦσιν*] *εἰσὶν* **V** || **671** *τῶν*] *τὴν* **V**, cf. 1,168 | *αὐγὰς*] *αὐτὰς* **VD** | *προσληπτέον* Heph. || **672** *εἰ*] *ἢ* Heph. || **673** *σελὴν* **V** | *ἀνέλῃ* **Vβ** *ἀνέλει* **Y** *ἀνέλοι* **Σc** *ἀναιρεῖ* **γ** *ἀνέρῃ* Heph. (cod. **P**) || **674** *διὰ* **Vβγ** Heph. *ὑπὸ* **α** || **675** *δὲ* om. **β** Heph. | *ἀναλελυμένος* **VY** Heph. Procl. *βοηθούμενος* **D** *βοηθούμενος ἢ ἀναλελυμένος* **ΣMSγ** *βοηθούμενος καὶ ἀναλελυμένος* **c**

ὁ μέντοι τῶν ἐτῶν ἀριθμός, ὃν ποιοῦσιν αἱ τῶν μεταξὺ διαστάσεων ⟨μοῖραι⟩ τοῦ τε ἀφετικοῦ τόπου καὶ τοῦ ἀναιροῦντος, οὐδὲ ἁπλῶς οὐδὲ ὡς ἔτυχεν ὀφείλει λαμβάνεσθαι κατὰ τὰς τῶν πολλῶν παραδόσεις ἐκ τῶν ἀναφορι-
680 *κῶν πάντοτε χρόνων ἑκάστης μοίρας, εἰ μὴ μόνον, ὅταν ἤτοι αὐτὸς ὁ ἀνατολικὸς ὁρίζων τὴν ἄφεσιν ᾖ εἰληφὼς ἤ τις τῶν κατ' αὐτὸν ποιουμένων ἀνατολήν. ἑνὸς γὰρ ἐκ* **16** *παντὸς τρόπου τῷ φυσικῶς τοῦτο τὸ μέρος ἐπισκεπτομένῳ προκειμένου σκοπεῖν, μετὰ πόσους ἰσημερινοὺς χρόνους ὁ*
m 134 685 *τοῦ ἑπομένου σώματος ἢ σχήματος τόπος ἐπὶ τὸν τοῦ προηγουμένου κατ' αὐτὴν τὴν γένεσιν παραγίνεται διὰ τὸ τοὺς ἰσημερινοὺς χρόνους ὁμαλῶς διέρχεσθαι καὶ τὸν ὁρίζοντα καὶ τὸν μεσημβρινόν, πρὸς οὓς ἀμφοτέρους αἱ τῶν τοπικῶν ἀποστάσεων ὁμοιότητες λαμβάνονται, καὶ ἰσχύειν*
690 *δὲ ἕκαστον τῶν χρόνων ἐνιαυτὸν ἕνα ἡλιακὸν εἰκότως·*
c 35 *ὅταν μὲν ἐπ' αὐτοῦ τοῦ ἀνατολικοῦ ὁρίζοντος ᾖ ὁ ἀφετικὸς καὶ προηγούμενος τόπος, τοὺς ἀναφορικοὺς χρόνους*

T 676–682 (§ 15 fin.) Heph. II 11,74 in. || **687–701** *τοὺς ἰσημερινοὺς* (§ 16–17) Heph. II 11,77–78

676 in margine *πῶς δεῖ λαμβάνειν τὸ μῆκος τῶν ἐτῶν* add. **A**[2] | *αἱ* **VYDγ** *οἱ* **ΣMS** | post *μεταξὺ*: *ἐτῶν* add. **Y** || **677** ⟨*μοῖραι*⟩ suppl. Boer | *τόπου* om. **V** || **680** *ἑκάστης μοίρας* **α** Procl. *ἑκάστη μοίρα* **V** *ἑκάστας μοίρας* **βγ** *καὶ ἑκάστης μοίρας* **c** || **681** *ὁ αὐτὸς* **Y** | *ᾖ* om. **V** || **682** *ἀνατολικήν* **Σ** || **683** *τῶν … ἐπισκεπτομένων* **Y** || **684** *προσκειμένου* **Σ** | *σκοπεῖν* **VY** *τοῦ σκοπεῖν* **Σβγc** (recepit Boer) || **684–687** *ὁ τοῦ … χρόνους* om. **Y** || **685** *τόπου* **V** | *τὸν* **VDSγ** Procl. *τὴν* **αMc** || **687** *διέρχεσθαι* **V** *τὸ διέρχεσθαι* **Y** *τε διέρχεσθαι* **Σβγ** || **689** *ἀποστάσεων* **VYβγ** Procl. *ὑποστάσεων* **G** om. **Σc** | *ὁμοιότητες* **Vαβ** *ἀνομοιότητες* **γ** | *ἰσχύειν* **VYΣ** (cf. Procl.) *ἰσχύει* **Gβγc** || **690** *δὲ* om. **c** || **691** *ἀφετικὸς* **VYDγ** *ἀφέτης* **ΣMS**

τῶν μέχρι τῆς ὑπαντήσεως μοιρῶν προσήκει λαμβάνειν
17 *(μετὰ τοσούτους γὰρ ἰσημερινοὺς χρόνους ὁ ἀναιρέτης ἐπὶ τὸν τοῦ ἀφέτου τόπον – τουτέστι ἐπὶ τὸν ἀνατολικὸν ὁρί-* 695 *ζοντα – παραγίνεται), ὅταν δὲ ἐπ' αὐτοῦ τοῦ μεσημβρινοῦ, τὰς ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφοράς, ἐν ὅσαις ἕκαστον τμῆμα διέρχεται τὸν μεσημβρινόν, ὅταν δὲ ἐπ' αὐτοῦ τοῦ δυτικοῦ ὁρίζοντος, ἐν ὅσαις ἑκάστη τῶν τῆς διαστάσεως μοιρῶν καταφέρεται, τουτέστιν ἐν ὅσαις αἱ διαμε-* 700
18 *τροῦσαι ταύτας ἀναφέρονται. τοῦ δὲ προηγουμένου τόπου μηκέτι ὄντος ἐν τοῖς τρισὶ τούτοις ὅροις, ἀλλ' ἐν ταῖς μεταξὺ διαστάσεσιν, οὐκέτι οἱ τῶν προκειμένων ἀναφορῶν ἢ καταφορῶν ἢ μεσουρανήσεων χρόνοι τοὺς ἑπομένους τόπους οἴσουσιν ἐπὶ τοὺς αὐτοὺς τοῖς προηγουμένοις, ἀλλὰ* 705 *διάφοροι. ὅμοιος μὲν γὰρ καὶ ὁ αὐτὸς τόπος ἐστὶν ὁ τὴν ὁμοίαν καὶ ἐπὶ τὰ αὐτὰ μέρη θέσιν ἔχων ἅμα πρός τε τὸν* m 135 *ὁρίζοντα καὶ τὸν μεσημβρινόν· τοῦτο δὲ ἔγγιστα συμβέβηκε τοῖς ἐφ' ἑνὸς κειμένοις ἡμικυκλίου τῶν γραφομένων διὰ τῶν τομῶν τοῦ τε μεσημβρινοῦ καὶ τοῦ ὁρίζοντος, ὧν* 710 *ἕκαστον κατὰ τὴν αὐτὴν θέσιν τὴν ἴσην ἔγγιστα καιρικὴν*

T 706–717 (§ 18 fin.–19) Heph. II 11,81–82

S 697 *ὀρθῆς … σφαίρας* Synt. I 16 || **711** *καιρικὴν* Pr. Kan. 2

693 *ὑπαντήσεως*] *ἀπαντήσεως* **Σ** | *μοίρας* **V** | *λαμβάνειν* **Vαβ** *λαβεῖν* **γ** || **694** *χρόνους* om. **A** || **697** *ὅσαις* om. **Y** || **700** *αἱ* om. **YMS** || **701** *ταύτας* **VGβ** (cf. Procl.) *ταύταις* **YΣγc** | ad *προηγουμένου*: *τοῦ ἀφέτου* **A** (in margine sicut **B**) *ἤτοι τοῦ ἀφέτου* **C** (supra lineam) || **703** *οἱ* hic praebent **Σβγ**, ante 704 *χρόνοι* **VY** (quos secutus est Robbins) || **704** *συμμεσουρανήσεων* **Σc** || **709** *ἐφ'* **VαSγ** *ἀφ'* **DM** *ὑφ'* Heph. (cod. **P**) || **711** *ἕκαστον* (sc. *ἡμικύκλιον*) **αMS** Heph. *ἕκαστος* **VDγ** | *τὴν* (alterum) hic om. **Σγ** | *καιρικὴν* **VYDS** Heph. *τὴν καιρικὴν* **γ** *τὴν* **ΣMc**

ὥραν ποιεῖ. ὥσπερ δ' ἂν περιάγηται περὶ τὰς εἰρημένας 19
τομάς, ἔρχεται μὲν ἐπὶ τὴν αὐτὴν θέσιν καὶ τῷ ὁρίζοντι
καὶ τῷ μεσημβρινῷ, τοὺς δὲ τῆς διελεύσεως τοῦ ζῳδιακοῦ
715 χρόνους ἀνίσους ἐφ' ἑκατέρου ποιεῖ, τὸν αὐτὸν τρόπον καὶ
κατὰ τὰς τῶν ἄλλων ἀποστάσεων θέσεις δι' ἀνίσων ἐκεί-
νοις χρόνων τὰς παρόδους ἀπεργάζεται.

μία δέ τις ἡμῖν ἔφοδος ἔστω τοιαύτη, δι' ἧς (ἐάν τε 20
ἀνατολικὴν ἐάν τε μεσημβρινὴν ἢ δυτικὴν ἐάν τε ἄλλην
720 τινὰ ἔχῃ θέσιν ὁ προηγούμενος τόπος) τὸ ἀνάλογον τῶν
ἐπ' αὐτὸν φερόντων χρόνων τὸν ἑπόμενον τόπον ληφθήσε-
ται· προδιαλαβόντες γὰρ τήν τε μεσουρανοῦσαν τοῦ ζῳ-
διακοῦ μοῖραν καὶ ἔτι τήν τε προηγουμένην καὶ τὴν
ἐπερχομένην, πρῶτον σκεψόμεθα τὴν τῆς προηγουμένης
725 θέσιν, πόσας καιρικὰς ὥρας ἀπέχει τοῦ μεσημβρινοῦ,
ἀριθμήσαντες τὰς μεταξὺ αὐτῆς καὶ τῆς μεσουρανούσης

T 722–725 (§ 20 in parte) Heph. II 11,88 ‖ 726–731 (§ 20 fin.) plenius Heph. II 11,91–93

S 722–736 (§ 20 fin.–21 in.) Synt. II 9 p. 142,9–19

712 *δ'* om. **ΣMc** | *περιάγηται*] *παρατεῖται* **Y** | *περὶ*] *παρὰ* **Y** Heph. (cod. **P**), cf. 1,540 ‖ 713 *ἔρχεται*] *ἄρχεται* **S** *ἔρχεσθαι* Heph. (cod. **P**) ‖ 715 *ἑκατέρου* **αβγc** Heph. *ἑκάτερον* **V** (praetulit Robbins) | *τὸν αὐτὸν τρόπον* om. **A** ‖ 718 *δέ* **VYA** *δὴ* **ΣβB** (ut vid.) **C** | *ἡμῖν τις* **V** | *ἔστω* **V** Procl. *ἔσται* **αβγ** ‖ 721 *καταληφθήσεται* **ΣM** ‖ 722 *προδιαβαλόντες* **Y** | *τε μεσουρανοῦσαν τοῦ*] *τοῦ μεσουρανίσαντος* **Y** ‖ 723 supra *προηγουμένην*: *τοῦ ἀφέτου* scr. **γ** (cf. *τὴν τοῦ ἀφέτου, ἣν προηγουμένην καλεῖ* Heph.) ‖ 724 *ἐπερχομένην*] *ἑπομένην* **D** in margine *ἑπομένην τῆς ἀναιρέτου* **A** (cf. *τὴν ἀναιρετικὴν μοῖραν, ἣν ἑπομένην καλεῖ* Heph.) ‖ 725 *καιρικὰς*] *καινικὰς* **Y** | postea *καὶ* add. **V** ‖ 726 *καὶ* om. **Gc**

οἰκείως ἤτοι ὑπὲρ γῆν ἢ ὑπὸ γῆν μοίρας ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορὰς καὶ μερίσαντες εἰς τὸ πλῆθος τῶν αὐτῆς τῆς προηγουμένης μοίρας ὡριαίων χρόνων· εἰ μὲν m 136 *ὑπὲρ γῆν εἴη, τῶν ἡμερησίων, εἰ δὲ ὑπὸ γῆν, τῶν τῆς νυκ-* 730
21 *τός. ἐπειδὴ τὰ τὰς αὐτὰς καιρικὰς ὥρας ἀπέχοντα τοῦ μεσημβρινοῦ τμήματα τοῦ ζῳδιακοῦ καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ γίνεται τῶν προειρημένων ἡμικυκλίων, δεήσει λαβεῖν, μετὰ πόσους ἰσημερινοὺς χρόνους καὶ τὸ ἑπόμενον τμῆμα τὰς ἴσας καιρικὰς ὥρας ἀφέξει τοῦ αὐτοῦ μεσημ-* 735 *βρινοῦ τῇ προηγουμένῃ. ταύτας δὲ εἰληφότες ἐπισκεψό-* c 35v *μεθα, πόσους τε κατὰ τὴν ἐξ ἀρχῆς θέσιν ἀπεῖχεν ἰσημερινοὺς χρόνους καὶ ἡ ἑπομένη μοῖρα τῆς κατὰ τὸ αὐτὸ μεσουράνημα (διὰ τῶν ἐπ' ὀρθῆς πάλιν τῆς σφαίρας ἀναφορῶν) καὶ πόσους, ὅτε τὰς ἴσας καιρικὰς ὥρας ἐποίει τῇ* 740
22 *προηγουμένῃ, πολυπλασιάσαντές τε καὶ ταύτας ἐπὶ τὸ*

T 731–747 (§ 21–22) Heph. II 11,96–98

S 731–835 (§ 21–31 in.) Synt. II 6–8

727 *μοίρας* **βγ** *μοίραν* **V** *μοῖραν* **Y** *μοῖ(ραν)* **Σ** *μεσουρανοῖ* **c** | *ἐπ' ὀρθῆς τῆς σφαίρας ἀναφορὰς*] *ἐπὶ τῶν τῆς ὀρθῆς σφαίρας ἀναφορῶν* **γ** ‖ **728** *ἀναφωρηκὰς* **Y** ‖ **731** *ἐπειδὴ* **V** Heph. *ἐπεὶ δὲ* **Σβγ** *ἐπὶ δὲ* **YΦ** | *τὰ* om. **VYDS** ‖ **732** *τμήματα* **VYSγ** Heph. *τμήματος* **ΣDM** ‖ **733** *δεήσει* **Σβγ** Heph. *καὶ δεήσει* **VY** edd. ‖ **734** *ἰσημερινοὺς χρόνους* **Y** Heph. *χρόνους ἰσημερινοὺς* **γ** *ἰσημερινοὺς* **VΣβc** | *καὶ τὸ ... ἴσας* om. **V** ‖ **735–740** *ἀφέξει ... ὥρας* om. **B** | *ἀφέξει ... τῇ προηγουμένῃ* **Vαβ** Heph. (om. *αὐτοῦ*) *τῇ προηγουμένῃ ἀφέξει* **A** *ἀφέξει τῇ προηγουμένῃ* **C** ‖ **736** *ταύτας δὲ εἰληφότες* scripsi (coll. *ταῦτα μὲν εἰληφότες* Heph.) *ταύτας δέ, ἃς εἰλήφαμεν* **VY** (recepit Boer) *ταύτας γὰρ διειληφότες* **ΣMS** *ταῦτας διειληφότες* **Dγ** *ταύτας δὲ διειληφότες* Robbins tacite ‖ **740** *ἐποίει* **VYDγ** Heph. *ποιεῖ* **ΣMS**

πλῆθος τῶν τῆς ἑπομένης μοίρας ὡριαίων χρόνων (εἰ μὲν πρὸς τὸ ὑπὲρ γῆν εἴη μεσουράνημα πάλιν ἡ σύγκρισις, τῶν καιρικῶν ὡρῶν τὸ τῶν ἡμερησίων, εἰ δὲ πρὸς τὸ ὑπὸ
745 *γῆν, τὸ τῶν τῆς νυκτός), καὶ τοὺς γινομένους ἐκ τῆς ὑπεροχῆς ἀμφοτέρων τῶν διαστάσεων λαβόντες ἕξομεν τὸ τῶν ἐπιζητουμένων ἐτῶν πλῆθος.*

ἵνα δὲ φανερώτερον γένηται τὸ λεγόμενον, ὑποκείσθω 23 *προηγούμενος μὲν τόπος ὁ τῆς ἀρχῆς τοῦ Κριοῦ λόγου*
750 *ἕνεκεν, ἑπόμενος δὲ ὁ τῆς ἀρχῆς τῶν Διδύμων, κλίμα δέ,*
m 137 *ὅπου ἡ μὲν μεγίστη ἡμέρα ὡρῶν ἐστι τεττάρων καὶ δέκα, τὸ δ' ὡριαῖον μέγεθος τῆς ἀρχῆς τῶν Διδύμων ἔγγιστα χρόνων ἰσημερινῶν ιζ̄, καὶ ἀνατελλέτω πρῶτον ἡ ἀρχὴ τοῦ Κριοῦ, ἵνα μεσουρανῇ ἡ ἀρχὴ τοῦ Αἰγοκέρωτος, καὶ ἀπ-*
755 *εχέτω τοῦ ὑπὲρ γῆν μεσουρανήματος ἡ ἀρχὴ τῶν Διδύμων χρόνους ἰσημερινοὺς ρμη̄. ἐπεὶ οὖν ἡ τοῦ Κριοῦ ἀρχὴ ἀπ-* 24

T 748–835 (§ 23–31) Schol. Paul. Alex. 90 p. 132,6–10 ‖ **748–796** (§ 23–27) Heph. II 11,100–113

S 751 *τεττάρων καὶ δέκα* Synt. II 6 p. 108,15–16. II 8 p. 136–137: *Αἰγύπτου κάτω χώρας.*

744 *τὸ* (sc. *πλῆθος*) ante *τῶν ἡμερησίων* et ante 745 *τῶν τῆς νυκτὸς* **VY** om. **Σβγc** Heph. ‖ **745** *ἐκ τῆς* **VY** *ἐκ τῶν τῆς* **Σβγ** *ἐκ τῆς τῶν* Heph. (cod. **P**) ‖ **747** *ἐπιζητουμένων* **VYDγ** Heph. *ζητουμένων* **ΣMS** | post *πλῆθος* titulos praebent *ὑπόδειγμα* **Σc** *παράδειγμα* **A²** in margine *ἐπίσκεψις περὶ τῶν χρόνων τῆς ζωῆς* **S²** in margine ‖ **749** *ὁ τῆς ἀρχῆς* **αβγ** *ἡ ἀρχὴ* **V** Procl. (cf. l. 767.777, recepit Robbins) ‖ **751** *μὲν* om. **V** | *ἡμέρα ὡρῶν ἐστι*] *ὥρα ἐστὶν ὡρῶν* **V** ‖ **752** *ἔγγιστα* om. **γ** | *ιζ̄*] *ιζ η′* **Σγc** ‖ **754** *ἀπεχέτω* **VDγ** (cf. *ἔστω ἀπέχουσα* Procl.) *ἀπέχει* **Y** *ἀπέχῃ* **ΣMSc** ‖ **755** *ἡ ἀρχὴ τῶν διδύμων* **VYDSγ** *τῶν διδύμων ἡ ἀρχὴ* **ΣM** ‖ **756** *ρμη̄*] *ρμη μζ′* **Σγc** | *ἀπέχῃ* **V**

ἔχει τοῦ μεσημβρινοῦ μεσουρανήματος καιρικὰς ὥρας ἕξ, ταύτας πολλαπλασιάσαντες ἐπὶ τοὺς ιζ̅ χρόνους, οἵπερ ἦσαν τοῦ ὡριαίου μεγέθους τῆς ἀρχῆς τῶν Διδύμων (ἐπειδήπερ πρὸς τὸ ὑπὲρ γῆν μεσουράνημά ἐστιν ἡ τῶν ρμη̅ χρόνων ἀποχή), ἕξομεν καὶ ταύτης τῆς διαστάσεως χρόνους ρβ̅· μετὰ τοὺς τῆς ὑπεροχῆς ἄρα χρόνους μς̅ ὁ ἑπόμενος τόπος ἐπὶ τὸν τοῦ προηγουμένου μεταβήσεται. τοσοῦτοι δέ εἰσιν ἔγγιστα χρόνοι καὶ τῆς ἀναφορᾶς τοῦ τε Κριοῦ καὶ τοῦ Ταύρου, ἐπειδὴ ὁ ἀφετικὸς τόπος ὑπόκειται ὡροσκοπῶν. 760 765

25 *μεσουρανείτω δὴ ὁμοίως ἡ ἀρχὴ τοῦ Κριοῦ, ἵνα ἀπέχῃ κατὰ τὴν πρώτην θέσιν ἡ ἀρχὴ τῶν Διδύμων τοῦ ὑπὲρ γῆν μεσουρανήματος χρόνους ἰσημερινοὺς νη̅. ἐπειδὴ οὖν κατὰ τὴν δευτέραν θέσιν ὀφείλει μεσουρανεῖν ἡ ἀρχὴ τῶν ⟨Διδύμων⟩, ἕξομεν τὴν τῶν διαστάσεων ὑπεροχὴν αὐτῶν τῶν νη̅ χρόνων, ἐν ὅσοις πάλιν διὰ τὸ μεσουρανεῖν τὸν ἀφετικὸν τόπον διέρχεται τὸν μεσημβρινὸν ὅ τε Κριὸς καὶ ὁ Ταῦρος.* 770

757 *μεσουρανήματος* om. Y ‖ 758 *πολλαπλασιάσαντες* **Vαβ** *πολλαπλασιάζοντες* **γ** | *ιζ̅ χρόνους* **VY** *ιζ̅* **β** *ιζ̅ η′* **Σ** *ιζ̅ η′ ἰσημερινοὺς χρόνους* **γ** | *οἵπερ* **VΣβ** *οἵτινες* **γ** om. **Y** ‖ 759 *ἦσαν* **V** *εἰσὶ* **γ** *εἰσὶ χρόνοι* **Σβ** om. **Y** | *ἐπειδήπερ* **VY** *ἐπειδὴ* **Σβγ** ‖ 760 *ρμη̅*] *ρπη̅* **S** ‖ 762 *ρβ* **VYβ** Procl. *ρβ μη′* **ΣAc** | *μς′*] *σμς′* **D** *με′* **m** ‖ 763 *ἐπὶ*] *μετὰ* **Y** ‖ 764 *καὶ* **αMS** *τοῦ* **VDγ** ‖ 766 *ὡροσκόπος* **V** ‖ 767 *μεσουρανείτω*] *μεσουρανήματος* **V** ‖ 768 *τὴν πρώτην*] *τὴν αὐτὴν* **C** *ταύτην τὴν* **AB** | post *Διδύμων*: *ἐπὶ τῆς ὀρθῆς σφαίρας* **γ** (suprascripsit **C**) ‖ 769 *νη̅* **Vαβ** *νζ̅ νβ′* **γ** ‖ 770 *δευτέραν*] *πρώτην* **Y** | *ἡ ἀρχὴ τῶν Διδύμων* Procl. *ἡ ἀρχὴ τῶν* **V** *ὁ ἀφετικὸς τόπος* **Σγc** om. **Yβ** ‖ 771 *ἕξομεν*] *ἔξω μὲν* **V** | *τῶν διαστάσεων* **VY** *τῆς προτέρας διαστάσεως* **Σβc** *τῆς τοιαύτης διαστάσεως* **γ** | *αὐτῶν τῶν* **Y** *τῶν τῶν* **V** *τῶν* **G** Procl. *αὐτὴν τὴν τῶν* **ΣDMγ** *αὐτὴν τῶν* **S** ‖ 772 *νη̅*] *νζ̅ μδ′* **γ** | *ὅσοις* **VY** *οἷς* **Σβγ** | *τὸ*] *τοῦ* **V**

m 138 775 *δυνέτω δὲ τὸν αὐτὸν τρόπον ἡ ἀρχὴ τοῦ Κριοῦ, ἵνα μεσ-ουρανῇ μὲν ἡ ἀρχὴ τοῦ Καρκίνου, ἀπέχῃ δὲ τοῦ ὑπὲρ γῆν μεσουρανήματος ἡ ἀρχὴ τῶν Διδύμων εἰς τὰ προηγού-μενα χρόνους ἰσημερινοὺς λβ. ἐπειδὴ οὖν πάλιν ἓξ ὥρας* 26 *καιρικὰς ἀπέχει τοῦ μεσημβρινοῦ ἡ ἀρχὴ τοῦ Κριοῦ πρὸς*
c 36 780 *δυσμάς, ἐὰν ἑπτακαιδεκάκις ταύτας ποιήσωμεν, ἕξομεν ρβ χρόνους, οὓς ἀφέξει τοῦ μεσημβρινοῦ καὶ ἡ ἀρχὴ τῶν Δι-δύμων, ὅταν δύνῃ. ἀπεῖχε δὲ καὶ κατὰ τὴν πρώτην θέσιν ἐπὶ τὰ αὐτὰ χρόνους λβ. ἐν τοῖς τῆς ὑπεροχῆς ἄρα χρόνοις ο ἐπὶ τὸ δῦνον ἠνέχθη, ἐν οἷς καὶ καταφέρεται μὲν ὅ τε*
785 *Κριὸς καὶ ὁ Ταῦρος, ἀναφέρεται δὲ τὰ διαμετροῦντα δω-δεκατημόρια τό τε τῶν Χηλῶν καὶ τὸ τοῦ Σκορπίου.*

ὑποκείσθω τοίνυν ἐπὶ μηδενὸς μὲν οὖσα τῶν κέντρων ἡ 27 *ἀρχὴ τοῦ Κριοῦ, ἀπέχουσα δὲ λόγου ἕνεκεν εἰς τὰ προ-ηγούμενα τῆς μεσημβρίας καιρικὰς ὥρας τρεῖς, ἵνα μεσου-*
790 *ρανῇ μὲν ἡ τοῦ Ταύρου μοῖρα ὀκτωκαιδεκάτη, ἀπέχῃ δὲ κατὰ τὴν πρώτην θέσιν ἡ τῶν Διδύμων ἀρχὴ τοῦ ὑπὲρ γῆν*

775 *δὲ* **VY** *δὲ πάλιν* **Σβγ** | *τοῦ Κριοῦ ... ἡ ἀρχὴ* om. **V** || **778** *χρόνους ἰσημερινοὺς* **Vαβ** *μοίρας* **γ** | *λβ*] *λη* **G** *λβ ις'* **Σγc** *λβ ιβ'* **m** | *ἐπειδὴ* **VDγ** *ἐπεὶ* **αMS** | *ἓξ ὥρας καιρικὰς* **Σβ** *καὶ ὥρας καιρικὰς* **V** *καιρικὰς ὥρας ἓξ* **Y** *ἓξ καιρικὰς ὥρας* **γ** || **779** *ἀπέχῃ* **V** || **780** *ἑπτακαίδεκα* **Y** | *ἑπτακαιδεκάκις ταύτας ποιήσωμεν*] *πολλαπλασιάσωμεν ταύτας ἐπὶ τοὺς ἀνωτέρω εἰρημένους ιζ η' ὡριαίους χρόνους* **γ** | *ρβ χρόνους* **Vβ** *ρβ μη' χρόνους* **Σc** *χρόνους ρβ* **Y** *χρόνους ἰσημερινοὺς ρβ μη'* **γ** || **783** *λβ*] *λβ ις'* **Σγc** *λβ ιβ'* **m** | *τοῖς τῆς ὑπεροχῆς ἄρα χρόνοις ἑβδομήκοντα* **V** (cf. Procl.) *τοῖς τῆς ἄρα ὑπεροχῆς ο χρόνοις* **Y** *ταύτης ἄρα ὑποχῆς ὁ χρόνος* **G** *τοῖς ὑπὲρ γῆν ἄρα χρόνοις ο* **Σγc** *τοῖς τῆς ὑπὲρ γῆς ἄρα χρόνοις ἑβδομήκοντα* **MS** *τοῖς τῆς ὑπὲρ γῆν* [vix *γῆς*] *ἄρα χρόνοις ἑβδομήκοντα* **D** || **787** *ἐπὶ* **VYS** *ὑπὸ* **ΣDMγc** *ἐν* Procl., cf. 1,81 | *μηδενὸς* **VYβ** *μηδὲν* **Σγc** | *μὲν οὖσα*] *μένουσα* **V**, cf. 2,225 | *ἡ ἀρχὴ* **VYγ** *ἤγουν ἡ ἀρχὴ* **Σβ** || **790** *μοίρας* **VY**

μεσουρανήματος εἰς τὰ ἑπόμενα χρόνους ἰσημερινοὺς ιγ· ἐὰν οὖν πάλιν τοὺς ιζ χρόνους ἐπὶ τὰς γ ὥρας πολλαπλασιάσωμεν, ἀφέξει μὲν καὶ κατὰ τὴν δευτέραν θέσιν ἡ τῶν Διδύμων ἀρχὴ τῆς μεσημβρίας εἰς τὰ προηγούμενα χρό- 795
28 *νους να, τοὺς δὲ πάντας ποιήσει χρόνους ξδ. ἐποίει δὲ διὰ* m 139 *τῆς αὐτῆς ἀγωγῆς, ὅτε μὲν ἀνέτελλεν ὁ ἀφετικὸς τόπος, χρόνους μς, ὅτε δὲ ἐμεσουράνει, χρόνους νη, ὅτε δὲ ἔδυνε, χρόνους ο. διήνεγκεν μὲν ἄρα καὶ ὁ κατὰ τὴν μεταξὺ θέσιν τῆς τε μεσουρανήσεως καὶ τῆς δύσεως τῶν χρόνων* 800 *ἀριθμὸς ἑκάστου τῶν ἄλλων· γέγονε γὰρ χρόνων ξδ· διήνεγκε δὲ κατὰ τὸ ἀνάλογον τῆς τῶν γ ὡρῶν ὑπεροχῆς, ἐπειδήπερ αὕτη ἐπὶ μὲν τῶν ἄλλων κατὰ τὰ κέντρα τεταρτημορίων ιβ χρόνων ἦν, ἐπὶ δὲ τῆς τῶν τριῶν ὡρῶν ἀποστάσεως ἓξ χρόνων.* 805

29 *ἐπεὶ δὲ καὶ ἐπὶ πάντων ἡ αὐτὴ σχεδὸν ἀναλογία συντηρεῖται, δυνατὸν ἔσται κατὰ τοῦτον τὸν τρόπον ἁπλούστερον τῇ μεθόδῳ χρῆσθαι. πάλιν γὰρ ἀνατελλούσης μὲν τῆς προηγουμένης μοίρας ταῖς μέχρι τῆς ἑπομένης ἀναφοραῖς*

T 806–835 (§ 29–31 in.) Heph. II 11,115–118

793 *οὖν* om. **β** | *ιζ*] *ιζ η′* **Σγc** | *πολλαπλασιάσωμεν* **VΣγ** (cf. l. 758 necnon Synt. II 9 p. 143,9. al. Paul. Alex. 22 p. 45,14. al.) *πολυπλασιάσωμεν* **Yβ** (cf. l. 741), variat etiam apud Pr. Kan. 2 p. 162,4.9. 3 p. 164,1.9, praeterea apud Val. (var. l. App. IX 15). Porph. 42 p. 214,19. Heph., v. indices || **794** *ἀφέξει* **αβγ** *ἀφίσταται* **V** || **796** *να*] *να κδ′* **Σγc** | *ξδ*] *ξδ κδ′* **Σγm** *ξδ κζ′* **c** || **798** *ἐμεσουράνῃ* **V** | *νη*] *νζ μδ′* **γ** | *ἔδυνε* **Σβγ** *ἔδεινε* **V** *δύνῃ* **Y** || **799** *ο*] *ο λβ′* **Σγc** *ο λς′* **m** || **800** *μεσουρανήσεως* **αDMγ** *μεσουρανούσης* **VS** || **801** *ξδ ἔγγιστα* **γ** || **803** *αὕτη* **Vγ** *αὐτὴ* **Y** *αὐτὸς* **Σβc** | *ἄλλων* **VYDγ** Procl. *ὅλων* **ΣMS** || **804** *ἦν ἔγγιστα* **γ** || **807** *κατὰ* **Σβγ** *καὶ* **V** *καὶ κατὰ* **Y** (quem secutus est Robbins)

810 *συγχρησόμεθα, μεσουρανούσης δὲ ταῖς ἐπ' ὀρθῆς τῆς σφαίρας, δυνούσης δὲ ταῖς καταφοραῖς. ὅταν δὲ μεταξὺ τούτων ᾖ, ὡς λόγου ἕνεκεν ἐπὶ τῆς ἐκκειμένης διαστάσεως τοῦ Κριοῦ, ληψόμεθα πρῶτον τοὺς ἐπιβάλλοντας χρόνους ἑκατέρῳ τῶν περιεχόντων κέντρων, εὑρήσομεν δέ (ἐπειδὴ*
815 *μετὰ τὸ μεσουράνημα τὸ ὑπὲρ γῆν ὑπέκειτο ἡ ἀρχὴ τοῦ Κριοῦ μεταξὺ τοῦ μεσουρανοῦντος κέντρου καὶ τοῦ δύνοντος) τοὺς ἐπιβάλλοντας χρόνους μέχρι τῆς ἀρχῆς τῶν Διδύ-*
m 140 *μων, τῶν μὲν συμμεσουρανήσεων νη̄, τῶν δὲ συγκαταδύσεων ο̄. ἔπειτα μαθόντες (ὡς πρόκειται), πόσας καιρικὰς* **30**
820 *ὥρας ἀπέχει τὸ προηγούμενον τμῆμα ὁποτέρου τῶν κέντρων, ὅσον ἂν ὦσι μέρος αὗται τῶν τοῦ τεταρτημορίου καιρικῶν ὡρῶν ἕξ, τοσοῦτον μέρος τῆς ἀμφοτέρων τῶν συναγωγῶν ὑπεροχῆς προσθήσομεν ἢ ἀφελοῦμεν τῶν συγ-*
c 36ᵛ *κρινομένων κέντρων· οἷον ἐπεὶ τῶν προκειμένων ο̄ καὶ νη̄*
825 *ἡ ὑπεροχή ἐστι χρόνων ιβ̄ (ὑπέκειτο δὲ τὰς ἴσας καιρικὰς ὥρας τρεῖς ὁ προηγούμενος τόπος ἑκατέρου τῶν κέντρων*

810 *συγχρησόμεθα* **VYDγ** *χρησόμεθα* **ΣMS** | *μεσουρανοῦσα* **V** ‖ **812** *ᾖ*] *ἦν* **V** | *ὡς* **VY** *οἷον* **Σβγ** | *ἐπὶ*] *ὡς ἐπὶ* **γ** ‖ **814** *ἑκατέρῳ* **VDMγ** *ἑκατέρων* **αSc** | *περιεχόντων* **VGS** *περιεχώντων* **Y** *περιεχομένων* **ΣDMγc** ‖ **815** *τὸ* (prius) om. **V** ‖ **817** *χρόνους* **VYβ** Procl. *χρόνους ξδ̄ ἔγγιστα* **Σγc** | *τῆς ἀρχῆς* **Y** om. **VΣβγ** ‖ **818** *μὲν* **YS** *μὲν μ̊* **V** *δὲ* **ΣDMγ** | *συμμεσουρανήσεων* **VΣβBC** *μεσουρανήσεων* **YA** Heph. fort. recte | *συγκαταδύσεων* **αβγ** Heph. *καταδύσεων* **V** ‖ **819** *μαθόντες* **VYβγ** Heph. Procl. *μάθωμεν* **Σc** | *ὅσας* **Y** ‖ **820** *ἀπέχει* **ΣSγ** Heph. *ἀπέχῃ* **VYDM** | *ὁποτέρου* **VαSγ** Heph. *ὁποτέρας* **DM** | *κέντρων* om. **V** ‖ **821** *ὅσον ἂν*] **ὅσων ἂν* **c** *ὅσον δ' ἂν* **m** propter l. 819 *μάθωμεν* ‖ **823** *ἢ προσθήσομεν* **γ** | *τῶν συγκρινομένων κέντρων* **VG** Procl. *τῷ συγκρινομένῳ κέντρῳ* **YΣβγc** Heph. ‖ **824** *προυποκειμένων* **V** | *ο̄ καὶ νη̄* **VY** Procl. *ὡρῶν* **Σβγ** om. Heph. ‖ **825** *ἡ* **αβγ** Heph. *ἐτῶν* **V**

ἀπέχων, αἵ εἰσι τῶν ἓξ ὡρῶν ἥμισυ μέρος), λαβόντες καὶ τῶν ιβ̄ χρόνων τὸ ἥμισυ ἤτοι τοῖς νη̄ προσθέντες ἢ τῶν ο̄
31 *ἀφελόντες εὑρήσομεν τὴν ἐπιβολὴν χρόνων ξδ̄. εἰ δέ γε δύο καιρικὰς ὥρας ἀπεῖχεν ὁποτέρου τῶν κέντρων, αἵ εἰσι* 830
τῶν ϛ̄ ὡρῶν τὸ τρίτον μέρος, τὸ τρίτον πάλιν τῶν τῆς ὑπεροχῆς ιβ̄ χρόνων (τουτέστι τοὺς δ̄), εἰ μὲν ἡ τῶν δύο ὡρῶν ἀποχὴ ἀπὸ τοῦ μεσουρανήματος ὑπέκειτο, προσεθήκαμεν ἂν τοῖς νη̄ χρόνοις, εἰ δὲ ἀπὸ τοῦ δύνοντος, ἀφείλομεν ἂν ἀπὸ τῶν ο̄. 835

ὁ μὲν οὖν τρόπος τῆς τῶν χρονικῶν διαστάσεων ποσότητος οὕτως ἡμῖν κατὰ τὸ ἀκόλουθον ὀφείλει λαμβάνεσθαι.
32 *διακρινοῦμεν δὲ λοιπὸν ἐφ' ἑκάστης τῶν προειρημένων ὑπαντήσεων ἢ καὶ καταδύσεων κατὰ τὴν ἀπὸ τῶν ὀλιγοχρονιωτέρων τάξιν τάς τε ἀναιρετικὰς καὶ τὰς κλιμακτηρι-* 840
κὰς καὶ τὰς ἄλλως παροδικάς, διά τε τοῦ ἢ κεκακῶσθαι m 141

T 838–859 (§ 32–34) Heph. II 11,120–121

S 840–841 *κλιμακτηρικὰς* Val. III 6 (= VIII 9: ex Critodemo). 8.12. V 2 (~ Lib. Herm. 5–7 = Val. App. XX p. 434–437). 8. Paul. Alex. 34 (quo spectat Olymp. 38)

827 *ὡρῶν* om. **αMS** (sim. Heph.) | *λαβόντες* **VYDSγ** *λαβόντες δὲ* **ΣMc** ‖ **828** *χρόνων* **Σγ** *δύο* **V** om. **Yβ** (cf. Heph.) | *ἤτοι* **VYDγ** *καὶ ἤτοι* **ΣMS** (quos secutus est Robbins) ‖ **829** *ξδ̄* **VYSγ** Heph. *ξᾱ* **ΣDM** **ξᾱ* **c** ‖ **831** post *ὡρῶν*: *τὸ* om. **M** | *μέρος* om. **c** ‖ **832** *ἡ ... ἀποχὴ ... ὑπέκειτο* **VY** Heph. Procl. *αἱ ... ἀποχαὶ ... ὑπέκειντο* **Σβγc** ‖ **833** *μεσουρανήματος* **Σβ** Heph. *μεσουράνημα τῆς* **Y** *μεσουρανοῦντος* **Vγ** ‖ **834** *ἂν* **Vαγ** Heph. (Ep. IV 25,148, om. cod. **P**) *αὖ* sequente lacuna trium fere litterarum **S** *αὐτοῖς* **DM** ‖ **836** *διαστάσεων* **Yγ** *διαστάσεως* **VΣβγ** ‖ **838** *εἰρημένων* **Y** ‖ **839** *ὀλιγοχρονιωτέρων* **YS** Procl. *λιγοχρονιωτέρων* **V** *ὀλιγοχρονιωτάτων* **ΣDMγ** ‖ **840** *καὶ τὰς ... παροδικάς* om. **Y**

τὴν ὑπάντησιν ἢ βοηθεῖσθαι κατὰ τὸν προειρημένον ἡμῖν τρόπον καὶ διὰ τῶν καθ' ἕκαστον τῶν διασημαινομένων ἐκ τῆς ὑπαντήσεως χρονικῶν ἐπεμβάσεων· κεκακωμένων γὰρ 33
845 *ἅμα τῶν τόπων καὶ τῆς πρὸς τὴν ἐπέμβασιν τῶν ἐτῶν παρόδου τῶν ἀστέρων κακοποιούσης τοὺς κυριωτάτους τόπους, ἄντικρυς θανάτους ὑπονοητέον, τοῦ δὲ ἑτέρου τούτων φιλανθρωποῦντος κλιμακτῆρας μεγάλους καὶ ἐπισφαλεῖς, ἀμφοτέρων δὲ νωθρίας μόνον ἢ βλάβας καὶ καθαιρέ-*
850 *σεις παροδικάς, τῆς καὶ ἐν τούτοις ἰδιότητος λαμβανομένης ἀπὸ τῆς τῶν ὑπαντικῶν τόπων πρὸς τὰ τῆς γενέσεως πράγματα συνοικειώσεως. οὐδὲν δὲ ἐνίοτε κωλύει, δισταζο-* 34 *μένων τῶν τὴν ἀναιρετικὴν κυρίαν λαμβάνειν ὀφειλόντων, τὰς καθ' ἕκαστον αὐτῶν ὑπαντήσεις ἐπιλογιζομένους ἤτοι*
855 *ταῖς μάλιστα πρὸς τὰ ἐκβάντα ἤδη τῶν συμπτωμάτων συμφωνούσαις καὶ πρὸς τὰ μέλλοντα κατακολουθεῖν, ἢ πρὸς ἁπάσας ὡς κατ' ἰσότητα τῆς δυνάμεως ἰσχυούσας παρατηρητικῶς ἔχειν τὸ μᾶλλον καὶ ἧττον αὐτῶν κατὰ τὸν αὐτὸν τρόπον ἐπισκεπτομένους.*

S 844 *ἐπεμβάσεων* Ap. IV 7,3.10. 8,6. al. Dor. G p. 379,3 = Dor. A IV 1 tit. Maneth. V(VI) 80. Val. IV 2,2. VI 5. al. Ps.Val. CCAG VIII 1 (1929) p. 163–171. Orph. et Anub. CCAG II (1900) p. 198–202

842 *βοηθεῖσθαι* om. **M** lacuna indicata | *προειρημένον* **αMS** Procl. *εἰρημένον* **VDγ** || 844 *γὰρ ἅμα* om. **Y** || 845 *τῆς* **VαDγ** *τῶν* **MS** | *ἐπέμβασιν* **V** Procl. *ἔμβασιν* **Y** *ἔκβασιν* **Σβγ** | *τῶν ἐτῶν* **VDγ** *τῶν ἐτῶν τῆς* **ΣMS** *τῶν αὐτῶν τὸν κατὰ τὸν περίπατον θεορουμένων χρόνων ἐν οἷς κόλλισις* [i. *κόλλησις*] *γίνεται* **Y** || 849 *δὲ* om. **Sm** || 850 *τῆς*] *τοῖς* **V** || 851 *ἀπὸ*] *ὑπὸ* **Y**, cf. 2,734 | *ὑπαντικῶν* **VYDγ** *ὑπαντητικῶν* **ΣMSc** | *τόπων* om. **Y** || 852 *διασταζόμενον* **V** || 855 *πρὸς τὰ* om. **V** | *ἤδη* **VΣβ** *ἴδη* **Y** *εἴδη* **γ** || 857 *ἁπάσας*] *ἃς πάσας* **V** || 858 *παρατηρητικῶς* **αSBC** *παρατηρικῶς* **VDMA** || 859 *ἐπισκεπτόμενα* **V**

ιβ΄. Περὶ μορφῆς καὶ κράσεως σωματικῆς 860

1 *Ἐφωδευμένης δὲ καὶ τῆς τοῦ περὶ χρόνων ζωῆς λόγου πραγματείας, λέγομεν (ἀρχὴν τῶν κατὰ μέρος λαβόντες* m 142 *κατὰ τὴν οἰκείαν τάξιν) περί τε τῆς μορφῆς καὶ τῆς σωματικῆς διατυπώσεως, ἐπειδὴ καὶ τὰ τοῦ σώματος τῶν τῆς ψυχῆς προτυποῦται κατὰ φύσιν· τοῦ μὲν σώματος διὰ τὸ* 865 c 37 *ὑλικώτερον συγγεννωμένας ἔχοντος σχεδὸν τὰς τῶν ἰδιοσυγκρισιῶν φαντασίας, τῆς δὲ ψυχῆς μετὰ ταῦτα καὶ κατὰ μικρὸν τὰς ἀπὸ τῆς πρώτης αἰτίας ἐπιτηδειότητας*

T 864–969 (§ 1 fin.–14) Heph. II 12,2–6 (sed excidit in codice unico p. 143,1 *σχεδὸν* – p. 145,23 *πάλιν*)

S 861–1566 (c. 12–15) Manil. IV 122–293.502–584 (cf. V 32–709 ~ Firm. math. VIII 5–17). Val. I 2 passim. Sext. Emp. V 95–102. Hippol. ref. haer. IV 15,4–26,2. Apom. Rev. nat. (adde App. II passim) || **861–969** (c. 12) Cod. Angelicus gr. 29 (CCAG V 1 [1904] p. 44: nobis A) fol. 176ʳ || **864–865** *τῶν τῆς ψυχῆς προτυποῦται* Hermipp. II 162–164, e contrario Plat. Leg. X p. 892ᴬ

860 *ἐπίσκεψις περὶ τῆς μορφώσεως καὶ διατυπώσεως τῶν σωμάτων* S² in margine || **861** *λόγου* **VYDγ** *τόπου* **ΣMS**, cf. 3,205 || **862** *τῶν* **VDγ** *τὴν* **αMS**, cf. 1,168 | *λαβόντες* **VY** Procl. *λαμβάνοντες* **Σβγ** || **863** *μορφῆς* **VYC** *μορφώσεως* **ΣβAB** | *σωματικῶς* **S** || **864** *τῶν τῆς ψυχῆς* **VY** *τὸν τῆς ψυχῆς* **G** Heph. (cod. **P**) *πρὸς τὴν ψυχὴν* **Σβγc** Procl., cf. *προτίθησι γὰρ ταύτην* [sc. *τὴν σωματικὴν ἰδιότητα*] *τῆς ψυχῆς* Co p. 134,27 || **865** *προτυποῦται*] *προτιμοῦνται* falsa forma Heph. (cod. **P**) || **866** *συγγενωμένας* **Vβγ** *συγγενομένας* **α** *συγγενόμενος* Heph. (cod. **P**) | *ἔχοντος* **αMSγ** Heph. *ἔχοντες* **VD** | *ἰδιοσυγκρισίων* **V** *ἰδίων συγκρήσεων* **Y** *ἰδιοσυγκρασιῶν* **Σβγ** Procl. *ἰδιοσυγκράσεων* Robbins tacite

ἀναδεικνυούσης, τῶν δ' ἐκτὸς ἔτι μᾶλλον ὕστερον κατὰ
870 *τὸν ἐφεξῆς χρόνον ἐπισυμπιπτόντων.*

παρατηρητέον οὖν καθόλου μὲν τὸν ἀνατολικὸν ὁρίζοντα 2
καὶ τοὺς ἐπόντας ἢ τοὺς τὴν οἰκοδεσποτείαν αὐτοῦ λαμ-
βάνοντας τῶν πλανωμένων, καθ' ὃν εἰρήκαμεν [III 3,3]
τρόπον, ἐπὶ μέρους δὲ καὶ τὴν σελήνην ὡσαύτως· διὰ γὰρ
875 *τῆς τῶν τόπων τούτων ἀμφοτέρων καὶ τῆς τῶν οἰκοδεσπο-*
τησάντων διαμορφωτικῆς φύσεως καὶ τῆς καθ' ἑκάτερον
εἶδος συγκράσεως καὶ ἔτι τῆς τῶν συνανατελλόντων αὐ-
τοῖς ἀπλανῶν ἀστέρων σχηματογραφίας τὰ περὶ τὰς διατυ-
πώσεις τῶν σωμάτων θεωρεῖται, πρωτευόντων μὲν τῇ δυνά-
880 *μει τῶν τὴν οἰκοδεσποτείαν ἐχόντων ἀστέρων, ἐπισυνεργού-*
σης δὲ καὶ τῆς τῶν τόπων αὐτῶν ἰδιοτροπίας.

τὸ μέντοι καθ' ἕκαστον καὶ ὡς ἄν τις ἁπλῶς οὕτως
ἀποδοίη, τοῦτον ἔχει τὸν τρόπον. πρῶτον γὰρ ἐπὶ τῶν 3
m 143 *ἀστέρων ὁ μὲν τοῦ Κρόνου ἀνατολικὸς ὢν τῇ μὲν μορφῇ*

S 882–920 (§ 3–7) Ps.Aristot. Physiognom. 67–68 (I 72–78 Foerster). Anon. De physiognomonia liber 79–80. Firm. math. I 2,1

869 *ἀναδεικνυούσης* **VY** *ἐπιδεικνυούσης* **Σβγ** | *ὕστερον* **VG** Procl. *εἴστερον* **Y** *καὶ* **βγ** om. **Σc** ‖ **870** *ἐπισυμπτώτων* **Y** ‖ **871** *οὖν*] *συν-* **Y** | ad *ἀνατολικὸν*: *ἤγουν τὸν ὡροσκόπον* adscripsit **γ** ‖ **872** *ἐπόντας* **Σβγ** *ἔποντας* **VY** | *τοὺς τὴν* **MS** *τοὺς* **VDγ** *τὴν* **α** | *λαβόντας* **Y** ‖ **874** *τὴν*] *τῶν τὴν* **V**, cf. 1,168 ‖ **876** *διαμορτικῆς* **V** | *ἑκάτερον* **VΣβBC** *ἕκαστον* **Y** *ἕτερον* **A** Co le p. 135,–15 ‖ **882** *τὸ*] *πρῶτον* **Σ** ‖ **883** *ἔχῃ* **V** | *γὰρ* **VΣS** *μὲν γὰρ* **YDMγ** ‖ **884** post *ἀστέρων*: *τὸ τὸν ὡροσκόπον* add. **Y** | *Κρόνου*] ♄ *οἰκοδεσποτήσας τοὺς προκειμένους τόπους* **Y** | *ὢν*] *τῶν* **V** | *τῇ μὲν μορφῇ* **V** (cf. l. 893. al.) *τὴν μὲν μορφὴν* **αβγ**

μελίχροας ποιεῖ καὶ εὐεκτικοὺς καὶ μελανότριχας καὶ οὐλοκεφάλους καὶ δασυστέρνους καὶ μεσοφθάλμους καὶ συμμέτρους τοῖς μεγέθεσι, τῇ δὲ κράσει τὸ μᾶλλον ἔχοντας ἐν τῷ ὑγρῷ καὶ ψυχρῷ· δυτικὸς δὲ ὑπάρχων τῇ μὲν μορφῇ μέλανας καὶ σπινώδεις καὶ μικροὺς καὶ ἁπλότριχας καὶ ὑποψίλους καὶ ὑπορρύθμους καὶ μελανοφθάλμους, τῇ δὲ κράσει τὸ μᾶλλον ἔχοντας ἐν τῷ ξηρῷ καὶ ψυχρῷ. 885 890

4 *ὁ δὲ τοῦ Διὸς οἰκοδεσποτήσας τοὺς προκειμένους τόπους ἀνατολικὸς τῇ μὲν μορφῇ ποιεῖ λευκοὺς ἐπὶ τὸ εὔχρουν καὶ μεσότριχας καὶ μεγαλοφθάλμους καὶ εὐμεγέθεις καὶ ἀξιωματικούς, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ θερμῷ καὶ ὑγρῷ· δυτικὸς δὲ ὑπάρχων τῇ μὲν χρόᾳ λευκοὺς μέν, οὐκ ἐπὶ τὸ εὔχρουν δέ· ὁμοίως δὲ τετανότριχάς* 895

T 893–894 Abram. p. 207

S 885 *μελίχροας* Dor. A V 35,87. Lucan. I 652. Iulian. Caes. 2 p. 307[C]. Firm. math. I 2,1. Sent. fund. p. 132,28 ‖ **893–896** Horosc. Const. 5,1 ‖ **897** *τετανότριχας* Ap. III 12,7.11. IV 10,3. Sext. Emp. V 95.102

885 *μελιχρόας* **V** (hoc accentu, cf. l. 913.942) *μελίχρους* **Y** (cf. *μελιχρόους* Procl. necnon Achmetem CCAG II (1900) p. 156,18.28) *μελάγχρους* **Σβγ** (cf. 4,701 necnon Steph. philos. p. 26 [= p. 280,12] Usener) | *εὐεκτικοὺς* **Σβγ** *εὐεκτίας* **VY** ‖ **886** *δασυστέρνους καὶ μεσοφθάλμους* **V** *(-οὺς)* **Y** *μεγαλοφθάλμους* **Σβγc** ‖ **889** *σπινώδης* **VY** ‖ **890** *ὑποψίλους* **αβγ** (cf. l. 905.946) *ψιλοὺς* **V** | *ὑπορίθμους* **VY** ‖ **891** *τὸ* om. **ΣMSc** ‖ **892** *ὁ δὲ* ♃ **Y** ‖ **894** *μεσότριχας*] *μεσότειχον* **V** | *μεγαλοφθάλμους* **VGS** Procl. *μεγαλοφθάλμας* **Y** *μελανοφθάλμους* **ΣDMγ** ‖ **896** *χρόᾳ* **V** Procl. *χρώᾳ* **Y** *χροίᾳ* **Σβγ** an *χροιᾷ* coll. 2,850 ‖ **897** *δέ· ὁμοίως δὲ* **VαMSγc** *ὁμοίως δὲ* **D** *δὲ ὁμοίως* edd. recc. postea interpungentes | *τετανόποιχας* **V**

τε καὶ ἀναφαλαντιαίους καὶ μεσοφαλάκρους καὶ μετρίους τοῖς μεγέθεσι, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ ὑγρῷ.

900 *ὁ δὲ τοῦ Ἄρεως ὁμοίως ἀνατολικὸς τῇ μὲν μορφῇ* 5 *ποιεῖ λευκερύθρους καὶ εὐμεγέθεις καὶ εὐέκτας καὶ γλαυκοφθάλμους καὶ δασεῖς καὶ μεσότριχας, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ θερμῷ καὶ ξηρῷ· δυτικὸς δὲ ὑπάρχων τῇ μὲν μορφῇ ἐρυθροὺς ἁπλῶς καὶ μετρίους τοῖς με-* m 144 905 *γέθεσι καὶ μικροφθάλμους καὶ ὑποψίλους καὶ ξανθότριχας καὶ τετανούς, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ ξηρῷ.*

ὁ δὲ τῆς Ἀφροδίτης τὰ παραπλήσια ποιεῖ τῷ τοῦ 6 *Διός, ἐπὶ μέντοι τὸ εὐμορφώτερον καὶ ἐπιχαριτώτερον καὶ* 910 *γυναικοπρεπωδέστερον καὶ θηλυμορφώτερον καὶ εὐχυμότε-* c 37v *ρον καὶ τρυφερώτερον. ἰδίως δὲ τοὺς ὀφθαλμοὺς ποιεῖ μετὰ τοῦ εὐπρεποῦς ὑποχαροπούς.*

T 910–912 Abram. p. 207 sq.

S 898 *ἀναφαλαντιαίους* Maneth. IV 284. Ant. CCAG VII (1908) p. 112,5–8 (plenius Rhet. C p. 191,7–13). Val. II 37,16.33. Firm. math. VII 21,1. Abū M. introd. VI 19 (~ Apom. Myst. III 31: ineditum) ‖ **909** *εὐμορφώτερον καὶ ἐπιχαριτώτερον* Horosc. Const. 5,1 ‖ **911** *τρυφερώτερον* Ap. II 3,20 (ubi plura)

898 *τε καὶ*] *ἢ καὶ* **Y** *τε ἢ καὶ* **MS** | *ἀναφαλαντιαίους* **V** *ἀναφανταλιαίους* **Y** *ἀναφαλάνδους* **Σβγc** *ἀναφαλάκρους* Procl. *ἀνωφαλάκρους* **m** | *μεσοφαλάκρους* **VY** Procl. *μεσοφαλάνδους* **Σβγ** ‖ **900** *ὁμοίως* **VYDγ** om. **ΣMSc** Procl. ‖ **901** *λευκερύθους* **V** ‖ **903** *τῷ ξηρῷ* **γ** ‖ **905** *μικροφθάλμους* **VYS** Procl. *μικροκεφάλους* **ΣDMγc** ‖ **908** *τὰ* om. **ΣMS** ‖ **910** *γυναικοπρεποδέστερον* **VC** | *θηλυμορφώτερο⟨ν⟩* **V** *θηλυμορφότερον* **Y** Procl. *εὐσχημονέστερον* **Σβγc** ‖ **911** *τρυφώτερον* **V** | *δὲ* **αβγ** *καὶ* **V** ‖ **912** *ὑποχαροπούς* **Vα** *ὑποχαροποίους* **βγ**

7 *ὁ δὲ τοῦ Ἑρμοῦ ἀνατολικὸς τῇ μὲν μορφῇ ποιεῖ μελίχροας καὶ συμμέτρους τοῖς μεγέθεσι καὶ εὐρύθμους καὶ μικροφθάλμους καὶ μεσότριχας, τῇ δὲ κράσει τὸ πλεῖον* 915 *ἔχοντας ἐν τῷ θερμῷ· δυτικὸς δὲ ὑπάρχων τῇ μὲν μορφῇ λευκοὺς μέν, οὐκ ἐπὶ τὸ εὔχρουν δὲ ὁμοίως, τετανότριχας, μελαγχλώρους καὶ σπινοὺς καὶ ἰσχνοὺς καὶ λοξοφθάλμους τε καὶ αἰγωποὺς καὶ ὑπερύθρους, τῇ δὲ κράσει τὸ πλεῖον ἔχοντας ἐν τῷ ξηρῷ.* 920

8 *συνεργοῦσι δὲ ἑκάστῳ τούτων συσχηματισθέντες ὁ μὲν ἥλιος ἐπὶ τὸ μεγαλοπρεπέστερον καὶ εὐεκτικώτερον, ἡ δὲ σελήνη (καὶ μάλισθ', ὅταν τὴν ἀπόρροιαν αὐτῆς ἐπέχωσι) καθόλου μὲν ἐπὶ τὸ συμμετρώτερον καὶ ἰσχνώτερον καὶ τῇ κράσει ὑγρότερον, κατὰ μέρος δὲ ἀναλόγως τῇ τῶν φωτισ-* 925 *μῶν ἰδιότητι κατὰ τὴν ἐν ἀρχῇ τῆς συντάξεως* [I 4,8] *ἐκτεθειμένην κρᾶσιν.*

S 917 *τετανότριχας* Ap. III 12,4 (ubi plura) ‖ **921–925** *ὑγρότερον* (§ 8 in.) Horosc. Const. 5,1

913 *ὁ δὲ τοῦ Ἑρμοῦ*] *ὁ* ☿ **Y** | *τελίχροας* **V** ‖ **917** *λευκοὺς ... τετανότριχας* **VY** Procl. om. **Σβγc** ‖ **918** *μελαγχλώρους* **V** *μελανοχλώρους* **Y** Procl. (recepit Robbins) *μελάγχρους* **C** *μελίχροας* **ΣβABc**, cf. l. 945 | *σπινοὺς* **YS** Procl. *σπίρους* **V** *σπανοὺς* **ΣDMγc** | *λοξοφθάλμους τε* **Y** Procl. *ληξοφθάλμους τε* **V** *ξηροφθάλμους τε* **Γ** *κοινοφθάλμους* **Σ** (inde **κυνοφθάλμους* **c**) *κοιλοφθάλμους* **βγm** (asterisco notatum) ‖ **919** *αἰγωποὺς* Boer in adnotatione coll. Aristot. GA $779^{b}1$. al. *αἰγόπλους* **V** *αἰγώπους* **Y** *αἰγόποδας* **Σβγc** *αἰγίλοπας* **m** *αἰγόπους* Procl. (mutato accentu *αἰγοποὺς* recepit Robbins) ‖ **921** *σχηματισθέντες* **VΣγ** ‖ **922** *μεγαλοπρεπέστατον* **Y** ‖ **923** *τὴν ἀπόρροιαν αὐτῆς*] *αὐτῆς τὴν ἀπόρροιαν* **ΣM** *αὐτοὶ τὴν ἀπόρροιαν* **S** | *ἐπέχωσι* **V** *ἐπέχουσι* **Y** *ἐπίσχωσι* (hoc accentu) **Σβγ** ‖ **926** *κατὰ τὴν ... ἐκτεθειμένην κρᾶσιν* **VY** *καθάπερ ... ἐξεθέμεθα* **ΣDMγc** *καθάπερ ... ἐθέμεθα* **S** *καθ' ὡς περὶ κράσεως ... ἔφαμεν* Procl.

πάλιν δὲ καθόλου ἑῷοι μὲν ὄντες καὶ φάσεις ποιησά- 9
μενοι μεγαλοποιοῦσι τὰ σώματα, στηρίζοντες δὲ τὸ πρῶτον
930 *ἰσχυρὰ καὶ εὔτονα, προηγούμενοι δὲ ἀσύμμετρα, τὸ δὲ*
m 145 *δεύτερον στηρίζοντες ἀσθενέστερα, δύνοντες δὲ ἄδοξα μὲν*
παντελῶς, οἰστικὰ δὲ κακουχιῶν καὶ συνοχῶν.

καὶ τῶν τόπων δὲ αὐτῶν πρὸς τοὺς σχηματισμοὺς μάλιστα 10
τῶν διατυπώσεων καὶ τὰς κράσεις, ὡς ἔφαμεν [I 10], *συνερ-*
935 *γούντων, καθόλου πάλιν τὸ μὲν ἀπὸ ἐαρινῆς ἰσημερίας ἐπὶ*
θερινὴν τροπὴν τεταρτημόριον ποιεῖ εὔχροας, εὐμεγέθεις,
εὐέκτας, εὐοφθάλμους, τὸ πλεῖον ἔχοντας ἐν τῷ ὑγρῷ καὶ
θερμῷ· τὸ δ' ἀπὸ τῆς θερινῆς τροπῆς μέχρι μετοπωρινῆς
ἰσημερίας μεσόχροας, συμμέτρους τοῖς μεγέθεσιν, εὐέκτας,
940 *μεγαλοφθάλμους, δασεῖς, οὐλότριχας, τὸ πλεῖον ἔχοντας ἐν*
τῷ θερμῷ καὶ ξηρῷ· τὸ δ' ἀπὸ τῆς μετοπωρινῆς ἰσημερίας 11
μέχρι τῆς χειμερινῆς τροπῆς μελίχροας, ἰσχνούς, σπινώδεις,
παθεινούς, μεσότριχας, εὐοφθάλμους, τὸ πλεῖον ἔχοντας ἐν

S **928–932** (§ 9) Ap. I 6,2

928 *φάσεις* **VDγ** *φάσιν* **αMS** ‖ **933** *σχηματισχηματισμοὺς* **V** ‖ **934** *συνεργούντων* **VY** Procl. *συνοικειούντων* **ΣMSc** *συνοικειούντων καὶ συνεργούντων* **Dγ** ‖ **935** in margine *ὁμοίως τῷ τοῦ* ♃ **γ** (cf. *τὰ αὐτὰ τῷ τοῦ Διὸς ἀστέρι* Heph.) ‖ **937** *τὸ* **VY** *τὸ δὲ* **Σβγ** | *ὁμοίως τῷ τοῦ* ♂ **γ** in margine sicut Heph. ‖ **938** *τὸ*] *τὰ* **V** | *τῆς* **VDγ** om. **αMS** ut l. 941. al. | *μεθοπορινῆς* **V** (et saepius) **Y** ‖ **940** *μεγαλοφθάλμους* **DVγ** Procl. *μελανοφθάλμους* **ΣMSc** *εὐοφθάλμους* **Y** *εὐθάλμους* **G** | *οὐλέτριχας* **V** ‖ **941** *τῆς* **VDγ** om. **αMS** ut l. 938. al. | in margine *ὁμοίως τῇ* ♀ **γ** (at *παραπλήσια ποιεῖ τοῦ Ἑρμοῦ* Heph., cf. 1,556) | *μετοπωρινῆς*] *θερινῆσωρινῆς* **M** ‖ **943** *παθεινούς* scripsi (coll. Procl. *νοσερούς*) *παθηνούς* **V** (recepit Robbins, *παθήνους* Boer) *παθινούς* **Y** *σπανούς* **Σγc** *σπανθινούς* **MS** om. **D** | *εὐοφθάλμους* om. **γ**

τῷ ξηρῷ καὶ ψυχρῷ· τὸ δ' ἀπὸ τῆς χειμερινῆς τροπῆς ἕως ἐαρινῆς ἰσημερίας μελανόχροας, συμμέτρους τοῖς μεγέθεσι, 945 *τετανότριχας, ὑποψίλους, ὑπορρύθμους, τὸ πλεῖον ἔχοντας ἐν τῷ ὑγρῷ καὶ ψυχρῷ.*

12 *κατὰ μέρος δὲ τὰ μὲν ἀνθρωποειδῆ τῶν ζῳδίων τῶν τε ἐν τῷ ζῳδιακῷ καὶ τῶν ἐκτὸς εὔρυθμα καὶ σύμμετρα τοῖς σχήμασι τὰ σώματα κατασκευάζει, τὰ δὲ ἑτερόμορφα με-* 950 *τασχηματίζει πρὸς τὸ τῆς ἰδίας μορφώσεως οἰκεῖον τὰς τοῦ σώματος συμμετρίας καὶ κατά τινα λόγον ἀφομοιοῖ τὰ* m 146 *οἰκεῖα μέρη τοῖς ἑαυτῶν ἤτοι ἐπὶ τὸ μεῖζον καὶ ἔλαττον ἢ ἐπὶ τὸ ἰσχυρότερον καὶ ἀσθενέστερον ἢ ἐπὶ τὸ εὐρυθμότε-* **13** *ρον καὶ ἀρρυθμότερον· ἐπὶ τὸ μεῖζον μέν, ὡς λόγου ἕνεκεν* 955 *ὁ Λέων καὶ ἡ Παρθένος καὶ ὁ Τοξότης, ἐπὶ τὸ ἔλαττον δὲ*

S 946 *τετανότριχας* Ap. III 12,4 (ubi plura) || **948** *ἀνθρωποειδῆ* Ap. II 8,6 (ubi plura) || **950** *ἑτερόμορφα* Manil. II 529 || **953–957** (§ 12 fin.–13 in.) Hipp. II 1,8. Schol. Arat. 544 p. 322,9–14 Martin. Iulian. Laodic. CCAG VIII 4 (1921) p. 250,15–16 || **956** *Λέων* Cic. Arat. frg. 21,3. 33,263. Manil. II 504. IV 176. V 697. Germ. frg. 4,94.124. Avien. Arat. 894–895. al., cf. Maneth. IV 96 | *Παρθένος* Gem. 1,5. Avien. Arat. 895. Heph. II 2,33. Anon. t l. 33 | *Τοξότης* Cic. Arat. frg. 33,181–182. Germ. Arat. 414–415. Heph. III 45,9 p. 314,27 (cf. Dor. A V 35,104)

944 *ξηρῷ καὶ ψυχρῷ* **VDγ** *ψυχρῷ καὶ ξηρῷ* **αMS** | *τῆς* **VDγ** om. **αMS** ut l. 938. al. | *ὁμοίως τῷ* ♄ **γ** in margine (cf. *τῷ τοῦ Κρόνου* Heph.) || **945** *μελανόχροας* **VY** *μελίχροας* **Σβγ**, cf. l. 918 || **946** *ὑπορ(ρ)ύθμους* **VΣβγ** *ὑποερύθμους* **Y** *εὐαρμόστους* Procl. om. **c** || **951** *μορφώσεως*] *φύσεως* **V** || **954** *ἢ ἐπὶ τὸ* (alterum) **VY** *καὶ* **Σβγc** | *εὐρυθμότερον καὶ ἀρρυθμότερον* Boer tacite *καὶ εὐρυθμότερον καὶ ἀρρυθμότερον* **S** *ἀρυθμώτερον* (*ἀριθ-* **G**) *καὶ εὐρυθμώτερον* **YG** *εὐρυθμότερον* **VΣMγc** *ἀρρυθμότερον* **D** || **956** *ὁ Λέων*] Taurum praemittit Heph.

ὡς οἱ Ἰχθύες καὶ ὁ Καρκίνος καὶ ὁ Αἰγόκερως· καὶ πάλιν ὡς τοῦ Κριοῦ καὶ τοῦ Ταύρου καὶ τοῦ Λέοντος τὰ μὲν ἄνω καὶ ἐμπρόσθια ἐπὶ τὸ εὐεκτικώτερον, τὰ δὲ κάτω καὶ
c 38 960 *ὀπίσθια ἐπὶ τὸ ἀσθενέστερον, τὸ δὲ ἐναντίον ὡς τοῦ Τοξότου καὶ τοῦ Σκορπίου καὶ τῶν Διδύμων τὰ μὲν ἐμπρόσθια ἐπὶ τὸ ἰσχνότερον, τὰ δὲ ὀπίσθια ἐπὶ τὸ εὐεκτικώτερον, ὁμοίως δὲ ὡς ἡ μὲν Παρθένος καὶ αἱ Χηλαὶ καὶ ὁ Τοξότης* **14** *ἐπὶ τὸ σύμμετρον καὶ εὔρυθμον, ὁ δὲ Σκορπίος καὶ οἱ Ἰχ-*
965 *θύες καὶ ὁ Ταῦρος ἐπὶ τὸ ἄρρυθμον καὶ ἀσύμμετρον καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἅπερ ἅπαντα συνεφορῶντας καὶ συνεπικίρναντας προσήκει τὴν ἐκ τῆς κράσεως συναγομένην ἰδιοτροπίαν περί τε τὰς μορφώσεις καὶ τὰς κράσεις τῶν σωμάτων καταστοχάζεσθαι.*

S 957 *Καρκίνος* Vitruv. IX 3,1 (aliter § 3 de Capricorno). Gem. 1,5. "Pal." CCAG XII (1936) p. 193,21 | *Αἰγόκερως* Manil. I 271. II 252.445. IV 717. Heph. II 2,37 || **958** *Ταύρου … Λέοντος* Anon. C p. 166,22–23

958 *ὡς* **VY** Heph. *ὡς ἐπὶ* **Σβγc** || **960** *ὡς τοῦ* **VYDγ** *ὡς τὸ τοῦ* **ΣMS** *ἐπὶ τοῦ* Heph. || **962** *ἰσχνότερον* **VYDγ** *ἰσχυρότερον* **Γ** Heph. (cod. **P**) *τῶν ἰσχνοτέρων* **G** *ἀσθενέστερον* **ΣMSc** Procl. | *ἐπὶ τὸ* om. **Y** || **963** *ὡς* **VYDSγ** *καὶ* **ΣM** || **967** *συνεπικίρναντας* **V** (cf. Procl.) *συνεπικρίναντας* Heph. (cod. **P**) *συνεπικρίνοντας* **αβγc** | *ἐκ* **VYDSγ** Heph. *ἐπὶ* **ΣM**

ιγ'. Περὶ σινῶν καὶ παθῶν σωματικῶν 970

1 *Ἑπομένου δὲ τούτοις τοῦ περὶ τὰ σωματικὰ σίνη τε καὶ πάθη λόγου, συνάψομεν αὐτοῖς κατὰ τὸ ἑξῆς τὴν κατὰ τοῦτο τὸ εἶδος συνισταμένην ἐπίσκεψιν ἔχουσαν οὕτως· καὶ ἐνταῦθα γὰρ πρὸς μὲν τὴν καθόλου διάληψιν ἀποβλέπειν δεῖ πρὸς τὰ τοῦ ὁρίζοντος δύο κέντρα (τουτέστι τό τε* 975 *ἀνατέλλον καὶ τὸ δῦνον), μάλιστα δὲ πρός τε τὸ δῦνον* m 147 *αὐτὸ καὶ πρὸς τὸ προδῦνον, ὅ ἐστιν ἀσύνδετον τῷ ἀνατολικῷ κέντρῳ, καὶ παρατηρεῖν τοὺς κακωτικοὺς τῶν ἀστέρων, πῶς ἐσχηματισμένοι πρὸς αὐτὰ τυγχάνουσιν·* 2 *ἐὰν γὰρ πρὸς τὰς ἐπαναφερομένας μοίρας τῶν εἰρημένων τόπων* 980

T 970–973 (§ 1 in.) cf. Heph. II 13,1 ‖ **974–1134** (§ 1 fin.–18) Heph. II 13,3–23

S 971–1144 (c. 13) Dor. A IV 1,65–142. Maneth. VI(III) 548–629. Val. I 1 passim. II 37. Herm. Iatr. 2,5–3,60. Decub. passim. Firm. math. VI 32,40–44. Rhet. C p. 186,1–191,6. Cod. Angelicus gr. 29 (CCAG V 1 [1904] p. 44: nobis A) fol. 176r ‖ **977** *προδῦνον* Dor. A IV 1,66. Maneth. I(V) 134–138. Val. II 11,2 p. 64,8–9. Firm. math. III 2,12–13. al. (cf. Rhet. C p. 154,17–157,29). Paul. Alex. 24 p. 57,16. Rhet. C p. 186,9–10

970 *ἐπίσκεψις περὶ σωματικῶν παθῶν* S[2] in margine ‖ **972** *αὐτοῖς κατὰ τὸ* **VYDSγ** *αὐτοῖς καὶ τὸ* **G** om. **ΣMc** ‖ **974** *ἐνθαῦτα γὰρ*] *ἐν* **M** (in fine versus) *ἐνθαῦτα* **Σc** ‖ **976** *ἀνατέλλον* **VYDγ** *ἀνατέλον* Heph. (cod. **P**) *ἀνατολικὸν* **ΣMS** | *δῦνον* (prius) **VYDBC** Heph. (de accentu cf. 4,583) *δυτικὸν* **ΣMSA** | *δῦνον* (alterum)] *δυτικὸν* **S** ‖ **977** *καὶ … προδῦνον* om. **S** | *προδῦνον* **Y** (cf. *τὸ πρὸ δύσεως* Procl. necnon *καὶ τὸ προδύνον* Co le p. 137,–9; accentum recepit Boer) *δύνον* **VM** *ἡγούμενον* **Σγc** *ἑπόμενον* **D** om. **GS** ‖ **979** *αὐτὰ* **VYDSγ** Heph. *αὐτὸ* **Σ** *αὐτὰς* **M** ‖ **980** *ἐπαναφερομένας* **αDMγ** edd. *ἀναφερομένας* **VS** Heph. Co le p. 137,–5 fort. recte

ὦσιν ἑστῶτες (ἤτοι σωματικῶς ἢ τετραγωνικῶς ἢ καὶ κατὰ διάμετρον ἤτοι ὁπότερος αὐτῶν ἢ καὶ ἀμφότεροι), σίνη καὶ πάθη σωματικὰ περὶ τοὺς γεννωμένους ὑπονοητέον, μάλιστα δ' ἂν καὶ τῶν φώτων ἤτοι τὸ ἕτερον ἢ ἀμφότερα
985 *κεκεντρωμένα, καθ' ὃν εἰρήκαμεν τρόπον, τυγχάνῃ ἢ ἅμα ἢ κατὰ διάμετρον. τότε γὰρ οὐ μόνον ἐὰν ἐπαναφέρηταί* 3 *τις τῶν κακοποιῶν, ἀλλὰ κἂν προαναφέρηται τῶν φώτων αὐτὸς κεκεντρωμένος, ἱκανός ἐστι διαθεῖναί τι τῶν ἐκκειμένων, ὁποῖον ἂν οἵ τε τοῦ ὁρίζοντος τόποι καὶ οἱ τῶν ζῳ-*
990 *δίων ὑποφαίνωσι σίνος ἢ πάθος καὶ αἱ τῶν ἀστέρων φύσεις τῶν τε κακούντων καὶ τῶν κακουμένων καὶ ἔτι τῶν συσχηματιζομένων αὐτοῖς.*

τά τε γὰρ μέρη τῶν ζῳδίων ἑκάστου τὰ περιέχοντα τὸ 4 *ἀδικούμενον μέρος τοῦ ὁρίζοντος δηλώσει τὸ μέρος τοῦ*
995 *σώματος, περὶ ὃ ἔσται τὸ αἴτιον, καὶ πότερον σίνος ἢ πάθος ἢ καὶ ἀμφότερα τὸ δηλούμενον μέρος ἐπιδείξασθαι δύναται, αἵ τε τῶν ἀστέρων φύσεις τὰ εἴδη καὶ τὰς αἰτίας τῶν συμπτωμάτων ποιοῦσιν, ἐπειδὴ τῶν κυριωτάτων τοῦ* 5

S 998–1009 (§ 5) Herm. Iatr. 1,5. Decub. p. 430,6–11. Mich. Pap. III 149 col. IV 18–V 45. Ant. CCAG VIII 3 (1912) p. 113,10–13. Val. I 1 passim (adde App. I). II 37,2–5. 41,28–39. Porph. 45 p. 217,7–16. Procl. in Tim. 44[CD] p. 348[AB]. Pap. Ryl. 63,3–12. Rhet. CCAG VII (1908) p. 214–224 passim. Anon. apud Pingree, ed. Apom. Rev. nat. App. 4,8–11. Kam. 2017–2027, cf. Rhet. C p. 186,15–21

983 post *γεννωμένους*: *ἕξειν* add. Y (recepit Boer) ‖ **984** *ἂν*] *ἐὰν* Heph. ‖ **985** *ἢ ἅμα ἢ* VY Procl. *ἅμα ἢ καὶ* **Σβγ** ‖ **988** *διαθεῖναι* edd. *διαθῆναι* VY *διατιθέναι* **Σβγ** ‖ **990** *αἱ … φύσεις* **VYDγ** *ἡ … φύσις* **ΣMS** ‖ **991** *κακουμένων* **αβγ** *κακούντων* iteravit V ‖ **996** *ἐπιδείξασθαι* V *δέξασθαι* Y *ἐπιδέξασθαι* **βγ** ‖ **997** *δυνατόν* Robbins tacite nescio unde | *αἵ τε*] *ἔτι* Y ut 1,198 ‖ **998** *ποιοῦσιν* **VYDγ** Procl. om. **ΣMSc**

ἀνθρώπου μερῶν ὁ μὲν τοῦ Κρόνου κύριός ἐστιν ἀκοῶν τε δεξιῶν καὶ σπληνὸς καὶ κύστεως καὶ φλέγματος καὶ ὀστέων, ὁ δὲ τοῦ Διὸς ἁφῆς τε καὶ πνεύμονος καὶ ἀρτηριῶν καὶ σπέρματος, ὁ δὲ τοῦ Ἄρεως ἀκοῶν εὐωνύμων καὶ νεφρῶν καὶ φλεβῶν καὶ μορίων, ὁ δὲ ἥλιος ὁράσεως καὶ ἐγκεφάλου καὶ καρδίας καὶ νεύρων καὶ τῶν δεξιῶν πάντων, ὁ δὲ τῆς Ἀφροδίτης ὀσφρήσεώς τε καὶ ἥπατος καὶ σαρκῶν, ὁ δὲ τοῦ Ἑρμοῦ λόγου καὶ διανοίας καὶ γλώσσης καὶ χολῆς καὶ ἕδρας, ἡ δὲ σελήνη γεύσεώς τε καὶ καταπόσεως καὶ στομάχου καὶ κοιλίας καὶ μήτρας καὶ τῶν εὐωνύμων πάντων.

m 148 1000 c 38v 1005

T 999–1001 Val. App. I 7 (CCAG II [1900] p. 161,16–17) || **1001–1002** Val. App. I 108 (CCAG II [1900] p. 169,25–26) || **1002–1003** Val. App. I 155 (CCAG II [1900] p. 173,25–26) || **1003–1005** Val. App. I 185 (CCAG II [1900] p. 176,9–10) || **1005–1006** Val. App. I 195 (CCAG II [1900] p. 177,17–18) || **1006–1007** Val. App. I 206 (CCAG II [1900] p. 178,15–16) || **1007–1009** Val. App. I 222 (CCAG II [1900] p. 179,28–30)

S 1000 *φλέγματος* Ant. CCAG VIII 3 (1912) p. 113,11 || **1002–1003** *ἀκοῶν εὐωνύμων … φλεβῶν* Horosc. Const. 6,1 || **1004** *καρδίας* Ap. II 3,25 (ubi plura) || **1004–1009** *δεξιῶν … εὐωνύμων* Firm. math. VI 31,27. VII 8,5 || **1005** *ὀσφρήσεως* Ap. IV 4,4. Manil. V 264–266 (~ Firm. math. VIII 11,1). Val. II 37,8. Firm. math. III 13,5. Herm. Iatr. p. 387,10 (~ Decub. p. 430,10). Steph. philos. CCAG II (1900) p. 191, 8. Apom. Myst. III 62 CCAG XI 1 (1932) p. 93 (ineditum). Kam. 2025, cf. 2,768 app. | *ἥπατος* Ap. IV 9,6, aliter Rhet. C p. 186,21 || **1006** *λόγου καὶ διανοίας* Ap. II 3,19 (ubi plura) || **1008–1009** *εὐωνύμων* Lib. Herm. 26,38.47.50.53 sq.

1000 *κύστεως καὶ σπληνὸς* **ΣΜ** | *φλέγματος* **VYDγ** Heph. *φλεγμάτων* **ΣΜS** || **1003** *φλεβιῶν* **V** || **1005** *ὕπατος* **Y** || **1008** *καὶ κοιλίας* **VαDγ** Heph. *κοιλίας τε* **MS** | *εὐωνύμων πάντων* **ΣΜS** Heph. Procl. *εὐωνυμωτάτων* **VDγ**

1010 *ἔστι δὲ τῶν καθόλου καὶ τὰ σίνη μὲν ὡς ἐπὶ τὸ πολὺ* 6
συμπίπτειν ἀνατολικῶν ὄντων τῶν τὸ αἴτιον ποιούντων κα-
κοποιῶν, πάθη δὲ τοὐναντίον δυτικῶν αὐτῶν ὑπαρχόντων,
ἐπειδήπερ καὶ διώρισται τούτων ἑκάτερον τῷ τὸ μὲν σίνος
ἅπαξ διατιθέναι καὶ μὴ διατείνουσαν ἔχειν τὴν ἀλγηδόνα,
1015 *τὸ δὲ πάθος ἤτοι συνεχῶς ἢ ἐπιληπτικῶς τοῖς πάσχουσιν*
ἐπισκήπτειν.

πρὸς δὲ τὴν κατὰ μέρος ἐπιβολὴν ἤδη τινὰ παρατηρή- 7
σεως ἔτυχεν ἐξαιρέτου σινωτικά τε καὶ παθητικὰ σχήματα
διὰ τῶν ὡς ἐπίπαν κατὰ τὰς ὁμοιοσχήμονας θέσεις παρ-
1020 *ακολουθούντων συμπτωμάτων· πηρώσεις γὰρ ὄψεως ἀπο-*
τελοῦνται κατὰ μὲν τὸν ἕτερον τῶν ὀφθαλμῶν, ὅταν τε ἡ

T **1013–1016** (§ 6 fin.) Heph. II 13,2

S **1010–1013** *σίνη ... πάθη* Rhet. C p. 186,7 || **1015** *ἐπιληπτικῶς* Ap. III 13,17 (ubi plura) || **1020–1029** (§ 7 fin.–8 in.) *πηρώσεις ... ὄψεως* Manil. IV 530–534 (cf. II 259–260). Dor. G p. 376,20–28 (~ Dor. A IV 1,108–111). Ant. CCAG VII (1908) p. 111,17–112,4 (cf. VIII 3 [1912] p. 105,27). Val. II 37,7–19. Firm. math. VI 31,88. VII 8,1–7. Anon. a. 379 p. 208,16–209,2 (ex antiquis). Rhet. A p. 147,15–20. Rhet. C p. 187,20–26. 190,19–191,6 (= CCAG V 1 [1904] p. 226,11–21). Rhet. CCAG V 3 (1910) p. 129,18–130,10. Anon. De stellis fixis II 2,1. 4,2.7. 5,8. 8,5. 9,1.4. 10,25. 11,4. Lib. Herm. 26,65. Abū M. introd. VI 20 (~ Myst. III 32 CCAG V 1 [1904] p. 169,26–170,15). Anon. L p. 109,13–14. al.

1010 *τῶν*] *τὸ* V || **1016** *ἐπισκήπτειν* **ΣDMγ** *ἐπισκεπτέον* V *ἐπισκήπτῃ* **YS** || **1017** *ἐπιβουλὴν* **Φ** || **1018** *ἐξαιρέτως* **Y** || **1020** *πληρώσεις* V *πυρώσεις* Heph. (cod. **P**, cf. l. 1037) | *ὄψεως*] *ὁράσεως* **Y** ⟨...⟩*εως* Heph. (cod. **P**) || **1021** *τε* om. **Σ**

σελήνη καθ' αὐτὴν ἐπὶ τῶν προειρημένων οὖσα κέντρων
8 *ἢ συνοδεύουσα ἢ πανσεληνιάζουσα τύχῃ, καὶ ὅταν ἐφ' ἑτέ-* m 149
ρου μὲν ᾖ τῶν πρὸς τὸν ἥλιον σχήματος λόγον ἐχόντων,
συνάπτῃ δέ τινι τῶν νεφελοειδῶν ἐν τῷ ζῳδιακῷ συ- 1025
στροφῶν (ὡς τῷ νεφελίῳ τοῦ Καρκίνου καὶ τῇ Πλειάδι τοῦ
Ταύρου καὶ τῇ ἀκίδι τοῦ Τοξότου καὶ τῷ κέντρῳ τοῦ
Σκορπίου καὶ τοῖς περὶ τὸν πλόκαμον μέρεσι τοῦ Λέοντος
ἢ τῇ κάλπιδι τοῦ Ὑδροχόου) καὶ ὅταν ὁ τοῦ Ἄρεως ἢ καὶ
ὁ τοῦ Κρόνου ἐπικέντρῳ οὔσῃ αὐτῇ καὶ ἀποκρουστικῇ 1030
ἀνατολικοὶ αὐτοὶ ὄντες ἐπιφέρωνται ἢ πάλιν τοῦ ἡλίου
9 *ἐπικέντρου ὄντος προαναφέρωνται. ἐὰν δὲ ἀμφοτέροις ἅμα*
τοῖς φωσὶν ἤτοι κατὰ τὸ αὐτὸ ζῴδιον ἢ καὶ κατὰ διάμε-

S **1027** *τῇ ἀκίδι* Val. II 37,33. Rhet. A p. 147,17. Anon. CCAG VII (1908) p. 207,23 | *Τοξότου* Petron. 39,11. Dor. A IV 1,97–98. Firm. math. VIII 27,1.4.11. Anon. CCAG VII (1908) p. 141,20. 206,35. X (1924) p. 115,18. 173,3 ‖ **1028** *Σκορπίου* Heph. I 1,139 ‖ **1029–1040** (§ 8 fin.–9) Pap. It. 158,9–12

1022 *καθ' αὐτὴν* vel *καθ' ἑαυτὴν* **VYDS** Procl. *καθ' ἑαυτοὺς* **G** *κατ' αὐτὴν* **ΣMc** *κατ' αὐτὴν ἐκτροπὴν* **m**, cf. 1,744 ‖ **1024** *ἑτέρου* **VY** (recepit Robbins) *ἑκατέρου* **Σβγc** (maluit Boer) | *μὲν ᾖ τῶν* scripsi *μὲν ᾗ* **V** *μὲν ἢ* **Γ** *μὲν* **Y** *τῶν* **ΣDMγc** *μὲν τῶν* **S** (quem secutus est Boer) | *λόγον* **Σγc** (quos secutus est Boer) *τῶν λόγων* **VS** *τὸν λόγον* **Y** Co le p. 139,2 *τῶν λόγον* **DM** (recepit Robbins) ‖ **1025** *συνάπτῃ δέ* **Y** (-*τῃ* ut **β**) Procl. *συνάπτει δέ* **VG** *καὶ ὅταν συνάπτῃ* **Σ** *συνάπτηται* **γ** ‖ **1026** *τῷ νεφελίῳ*] *τωνεφελίων* **Y** *τῶν νεφελίων* **G** om. **c** | *τοῦ ταύρου* **Dγ** om. **αMSc** Heph. ‖ **1029** *κάλπιδι* **Dγ** Heph. *καλπίδη* **VY** *κάλπῃ* **ΣMS** ‖ **1031** *ἀνατολικοὶ αὐτοὶ* **VDγ** *αὐτοί τε ἀνατολικοὶ* **Y** *αὐτοὶ ἀνατολικοὶ* **ΣMS** | post *ἡλίου*: *αὐτοὶ* **ω**, del. Boer coll. Procl. ‖ **1032** *ἐπικέντρου ὄντος* **VY** Procl. *ἐπίκεντροι ὄντες* **Σβγ**

τρον, ὡς εἴπομεν, συσχηματισθῶσιν, ἑῷοι μὲν τῷ ἡλίῳ, τῇ
1035 *δὲ σελήνῃ ἑσπέριοι, περὶ ἀμφοτέρους τοὺς ὀφθαλμοὺς τὸ αἴτιον ποιήσουσιν· ὁ μὲν γὰρ τοῦ Ἄρεως ἀπὸ πληγῆς ἢ κρούσματος ἢ σιδήρου ἢ κατακαύματος ποιεῖ τὰς πηρώσεις, μετὰ δὲ Ἑρμοῦ συσχηματισθεὶς ἐν παλαίστραις ἢ γυμνασίοις ἢ κακούργων ἐφόδοις, ὁ δὲ τοῦ Κρόνου δι'*
1040 *ὑποχύσεων ἢ ψύξεων ἢ ἀπογλαυκώσεων καὶ τῶν τοιούτων.*

πάλιν ἐπὰν ὁ τῆς Ἀφροδίτης ἐπί τινος ᾖ τῶν προειρημένων κέντρων, μάλιστα δὲ ἐπὶ τοῦ δύνοντος τῷ μὲν τοῦ Κρόνου συνὼν ἢ συσχηματιζόμενος ἢ ἐνηλλαχὼς τοὺς τόπους, ὑπὸ δὲ τοῦ Ἄρεως καθυπερτερούμενος ἢ διαμετρού- **10**
1045 *μενος, οἱ μὲν ἄνδρες ἄγονοι γίνονται, αἱ δὲ γυναῖκες ἐκτρωσμοῖς ἢ ὠμοτοκίαις ἢ καὶ ἐμβρυοτομίαις περικυλίονται,*

S **1035** *ἀμφοτέρους τοὺς ὀφθαλμοὺς* Dor. A II 16,19. Maneth. VI(III) 549 ‖ **1036–1040** (§ 9 fin.) Rhet. C p. 187,27–29 ‖ **1045** *ἄγονοι* Serap. CCAG V 3 (1910) p. 97,18. Dor. A II 31,1. Maneth. II(I) 185. al. Firm. math. III 2,9. 9,1 (~ Rhet. C p. 133,13). Rhet. B p. 208,15. 209,26. Anon. L p. 108,23. Anon. S l. 30.46.50 ‖ **1045–1046** *ἐκτρωσμοῖς ἢ ὠμοτοκίαις ἢ … ἐμβρυοτομίαις* Ap. III 5,9. 13,15. IV 9,5. Manil. II 239. Dor. A IV 1,125. Maneth. I(V) 188–191. II(I) 288–289. III(II) 150. VI (III) 41–42.245.288. Val. I 1,21.

1034 *ὡς εἴπομεν* om. **γ** | *συσχηματισθῶσιν* **VYDSγ** (cf. Heph.) *σχηματισθῶσιν* **ΣΜ** | *τῷ ἡλίῳ* **Σβγ** Heph. *τῷ ἡλίῳ ὄντες* **VY** (receperunt edd.) ‖ **1036** *γὰρ* **V** *οὖν* **Y** Procl. om. **Σβγc** ‖ **1037** *κατακαύματος* **Σβγ** *κατὰ καύματος* **V** *ἀπὸ καύματος* **Y** | *πηρώσεις* **VΣβBC** *πωρρώσεις* **Y** *πορρώσεις* **Φ** *πυρώσεις* **A** Heph. (cod. **P**), cf. l. 1020 ‖ **1040** *ἀποχύσεων* **Φ** | *ἀπογλαυκώσεων* **VαDγ** *ἀπὸ γλαυκώσεων* **MS** *γλαυκώσεων* Heph. ‖ **1041** *ἐπὰν*] *ἐὰν* **V** ‖ **1046** *ἢ καὶ ἐμβρυοτομίαις* om. **Y** *ἐμβρυοτοκίαις* **m** (cf. l. 1099) | *περικυλίονται* **VΣβACc** *περικηλύονται* **Y** *παρακηλύονται* **G** *ἐπικυλίονται* **B** *κηλοῦνται* **m**

μάλιστα δὲ ἐν Καρκίνῳ καὶ Παρθένῳ καὶ Αἰγοκέρωτι. κἂν m 150
ἡ σελήνη ἀπὸ ἀνατολῆς τῷ τοῦ Ἄρεως συνάπτῃ, ἐὰν δὲ
καὶ τῷ τοῦ Ἑρμοῦ κατὰ τὸ αὐτὸ συσχηματισθῇ σὺν τῷ
τοῦ Κρόνου (τοῦ τοῦ Ἄρεως πάλιν καθυπερτεροῦντος ἢ 1050 c 39
διαμετροῦντος), εὐνοῦχοι ἢ ἑρμαφρόδιτοι ἢ ἄτρωγλοι καὶ
11 *ἄτρητοι γίγνονται. τούτων δὲ οὕτως ἐχόντων, ἐπὰν καὶ ὁ*
ἥλιος συσχηματισθῇ (τῶν μὲν φώτων καὶ τοῦ τῆς Ἀφροδί-
της ἠρρενωμένων, ἀποκρουστικῆς δὲ τῆς σελήνης οὔσης

(S) 22,11. II 34,33. 41,33. IV 22,7 (adde App. II 15). Max. 186–187. al. Firm. math. III 6,12 (~ Rhet. C p. 157,14). VI 31,75. VII 21,9. Heph. II 32,19. Herm. Myst. p. 175,2–4. Apom. Myst. III 52 CCAG XI 1 (1932) p. 181,18. Lib. Herm. 26,48. 32,42. 36,32. Anon. CCAG VIII 1 (1929) p. 183,12

S **1047** *Παρθένῳ καὶ Αἰγοκέρωτι* v. ad l. 1059 *στεῖραι* || **1051** *εὐνοῦχοι* Ap. IV 5,14. Maneth. I(V) 135. III(II) 286. VI (III) 271. V(VI) 212. Val. II 17,68. Mich. Pap. III 149 col. V 32. Firm. math. III 9,1 (~ Rhet. C p. 134,9). IV 13,5 (~ Lib. Herm. 27,10). VII 25,1–2.17. Apom. Myst. III 50 CCAG XI 1 (1932) p. 179,21. Anon. De stellis fixis II 4,11. Lib. Herm. 26,46. Anon. L p. 111,5 | *ἑρμαφρόδιτοι* Ap. III 9,4 (ubi plura), item iuxta *εὐνοῦχοι* Firm. math. III 6,22. IV 13,15. VI 30,5. VII 25,1 || **1052** *ἄτρητοι* Ap. IV 5,14

1047 *αἰγοκέρῳ* S | postea add. *καὶ τοῖς νεφελοειδέσι συνάπτουσα ὀφθαλμὸν πηροῖ ἡ σελήνη* **VD** *καὶ τοῖς νεφελοειδέσι συνάπτουσα ἡ* ☾ *ὀφθαλμὸν πηροῖ* **Σγc** ("haec redundant in hoc loco" **m**) | post *Αἰγοκέρωτι* fortius interpunxit Robbins (cf. Heph.), post 1048 *συνάπτῃ* Boer || **1048** *ἀπὸ* **VYDSγ** *ἐπ'* **ΣMc** *ἀπ'* Robbins tacite | *συνάπτει* **V** || **1049** *αὐτὸ* om. **V** | *συσχηματισθῇ* **VYDSγ** *σχηματισθῇ* **ΣM** || **1051** *ἄτρωγλοι καὶ ἄτρητοι* **Vγ** *ἄτρωγλοι καὶ ἀτροιτη* (sine accentu) **Y** *ἄτρογλοι καὶ ἀτρώτοι* **G** (cf. *μὴ ἔχοντες τρυπήματα μηδὲ διέξοδον* Procl.) *ἄτρητοι* **ΣMS** Heph.

1055 *καὶ τῶν κακοποιῶν ταῖς ἐπαναφερομέναις μοίραις ἐπιφερομένων), οἱ μὲν ἄνδρες ἀπόκοποι ἢ τὰ μόρια σεσινωμένοι γίνονται (καὶ μάλιστα ἐν Κριῷ καὶ Λέοντι καὶ Σκορπίῳ καὶ Αἰγοκέρωτι καὶ Ὑδροχόῳ), αἱ δὲ γυναῖκες ἄτοκοι καὶ στεῖραι.*

S **1056** *ἀπόκοποι* Ap. IV 5,14. Dor. A IV 1,131. Maneth. I (V) 120. IV 220. V(VI) 179–180. Val. II 37,12.18.57–58. Mich. Pap. III 149 col. V 32–33. Firm. math. VII 25,4.10.13.16 | *τὰ μόρια σεσινωμένοι* Ap. IV 9,12. Serap. CCAG V 3 (1910) p. 97,20–21. Manil. II 257–260. Dor. apud Hübner, Eigenschaften 409. Val. I 2,8.78. Heph. I 1,41.119.139.158. Rhet. B p. 194,19. 196,18. 201,7. 208,17. 211,5. Abū M. introd. VI 17 (excidit in Myst.). Anon. C p. 166,9–10. Anon. L p. 109,3–4. Anon. S l. 20.35.47 || **1059** *στεῖραι* Ap. IV 5,14. 6,2–3. Serap. CCAG V 3 (1910) p. 97,19. Manil. II 238–239. Dor. A I 19,3. II 10,12. Maneth. II(I) 181. III(II) 150.278.284. Val. I 2,49.57. II 38,10.75 (adde App. I 29). Firm. math. VII 25,4–5. Paul. Alex. 25 p. 73,19–75,1 (adde Schol. 73. Olymp. 24). Heph. I 1,81.100.158.178. Rhet. B p. 196,19. 201,7. 202,18 (cf. p. 208, 15. 209,26). Abū M. introd. VI 16 (= Myst. III 29: ineditum). Anon. C p. 166,5. Anon. L p. 108,23–24. 111,6. Anon. M l. 17–18. Anon. R passim. Anon. S l. 11 (cf. l. 30.46.50), cf. ad Ap. IV 6,2

1055 *ταῖς ἐπαναφερομέναις μοίραις* **VYDγ** *τοῖς ἐπαναφερομένοις μοίραις* **G** *κατὰ τὰς ἐπαναφερομένας μοίρας* **ΣMSc** *ἐν ταῖς μοίραις ταῖς ἐπαναφερομέναις* (inde *ἐν ταῖς ἐπαναφερομέναις μοίραις* Robbins) | *ἐπιφερομένων* **ΣMS** (cf. Heph.) *ἐπαναφερομένων* **VYDγ** (praetulit Boer), cf. l. 1070 || **1057** *καὶ λέοντι … αἰγοκέρωτι* **VY** Heph. Procl. om. **Σβγc**

12 *ἐνίοτε δὲ οὐδὲ ἀσινεῖς ταῖς ὄψεσιν οἱ τοιοῦτοι διαμένουσιν, ἐμποδίζονται δὲ τὴν γλῶτταν καὶ γίνονται τραυλοὶ ἢ μογγιλάλοι, ὅσοι τὸν τοῦ Κρόνου καὶ τὸν τοῦ Ἑρμοῦ συνόντας ἐπὶ τῶν εἰρημένων κέντρων ἔχουσι τῷ ἡλίῳ, μάλιστα δὲ ἂν καὶ δυτικὸς ᾖ ὁ τοῦ Ἑρμοῦ καὶ συσχηματίζωνται ἀμφότεροι τῇ σελήνῃ. τούτοις δ' ὁ τοῦ Ἄρεως παρατυχὼν λύειν εἴωθεν ὡς ἐπὶ τὸ πολὺ τὸ τῆς γλώττης ἐμπόδιον, ἀφ' οὗ ἂν ἡ σελήνη τὴν πρὸς αὐτὸν συνάντησιν ποιήσηται.* 1060 1065

13 *πάλιν ἐὰν ἤτοι τὰ φῶτα ἐπικέντροις τοῖς κακοποιοῖς ἐπιφέρηται ἅμα ἢ κατὰ διάμετρον, ἢ ἐὰν τοῖς φωσὶν οἱ* 1070

S 1061 *ἐμποδίζονται δὲ τὴν γλῶτταν* Dor. G p. 357,24 (~ Dor. A II 28,4). Dor. A IV 1,128. Maneth. II(I) 193. III(II) 287–288. Rhet. C p. 161,12. 186,18–19. Lib. Herm. 32,13 | *τραυλοὶ* Dor. G p. 348,9 (~ Dor. A II 15,10, inde Firm. math. VI 9,14). p. 352,1 (~ Dor. A II 16,12, inde Firm. math. VI 15,16). p. 354,26 (~ Dor. A II 18,8, inde Firm. math. VI 22,15). p. 359,10 (~ Dor. A II 32,1). Maneth. V(VI) 263. Ant. CCAG VII (1908) p. 118,13. Val. App. I 76. Rhet. C p. 186,18 || **1062** *μογγιλάλοι* Val. II 17,45. App. I 76 || **1065–1066** *ὁ τοῦ Ἄρεως … λύειν* Dor. G p. 352,4 (~ Dor. A II 16,13). Maneth. III(II) 288–289. Val. II 17,46 || **1067** *συνάντησιν* Val. III 7,26. al. Paul. Alex. 34 p. 90,3. al. (quo spectant Schol. Paul. Alex. 93. Olymp. 38 p. 127,27–128,2, adde CCAG VII [1908] p. 101,29–31)

1061 *γλῶσσαν* **YMS** || **1062** *μογγιλάλοι* **VYGβγ** ut Val. II 17,45 (*μογι-* Kroll, probavit Pingree, item Anub. CCAG II [1900] p. 167,2 = Val. App. I 76) et Ostanes apud Bidez-Cumont, Les Mages II 334,8 (*μογι-* edd.) *μογιλάλοι* **Σ** || **1063** *ἔχωσι* **γ** || **1064** *ἂν* **VY** (cf. *ἐὰν* Heph.) *ὅταν* **Σβγ** (praetulit Boll) || **1067** *ἀφ'* **VY** *ἐφ'* **Σβγ** | *συνάντησιν* **VYDγ** Procl. *ἀπάντησιν* **ΣMS**, cf. 3,652 || **1070** *ἐπιφέρηται* **VY** Heph. *ἐπαναφέρηται* **Σβγc**, cf. 3,1055 | *ἢ ἐὰν* **VY** *ἢ* **γ** Heph. *ὦσι* **Σβ**

κακοποιοί (καὶ μάλιστα τῆς σελήνης ἐπὶ συνδέσμων ἢ ἐπὶ
m 151 *καμπίων οὔσης ἢ ἐπὶ τῶν ἐπαιτίων ζῳδίων, οἷον Κριοῦ, Ταύρου, Καρκίνου, Σκορπίου, Αἰγοκέρωτος), γίνονται λωβήσεις τοῦ σώματος κυρτώσεων ἢ κυλλώσεων ἢ χωλώσεων*
1075 *ἢ παραλύσεων· ἐὰν μὲν σὺν τοῖς φωσὶν ὦσιν οἱ κακοποιοί, ἀπὸ τῆς γενέσεως αὐτῆς, ἐὰν δὲ ἐν τοῖς μεσουρανήμασι καθυπερτεροῦντες τὰ φῶτα ἢ διαμηκίζοντες ἀλλήλους*

S **1071** *ἐπὶ συνδέσμων* Maneth. II(I) 498. VI(III) 601. V(VI) 127. Paul. Alex. 35. Anon. CCAG IX 1 (1951) p. 173,19 ‖ **1071–1072** *ἐπὶ καμπίων* Dor. App. IIID p. 436,12–14 (= Co p. 140), cf. Anon. CCAG IX 1 (1951) p. 173,20 (v. app. cr. necnon Anon. L p. 109,18) ‖ **1072–1074** *ἐπαιτίων ζῳδίων* etc. Ant. CCAG VII (1908) p. 111,19–112,4 ‖ **1073–1074** *λωβήσεις* Val. II 38,62. 41,8. Rhet. C p. 189,12 ‖ **1074** *κυρτώσεων* Serap. CCAG V 3 (1910) p. 97,8. Val. I 2,57.78. II 37,8. Heph. I 1,61.139. Iul. Laodic. CCAG IV (1903) p. 152,14–15. Rhet. B p. 197,22. 200,17. Kam. 1045.1326. Anon. C p. 166,9. Anon. L p. 108,16. Anon. S 1. 34.55. al. | *κυλλώσεων* Rhet. C p. 156,10. 189,7 | *χωλώσεων* Maneth. I(V) 136–138. IV 118. Ant. CCAG VII (1908) p. 114,36. Val. II 37,14. Firm. math. III 5,30. VI 31, 36. VII 8,8. Rhet. C p. 156,10. 189,7. Anon. L p. 109,11. Lib. Herm. 36,46

1071 *ἐπὶ καμπίων* **αM** Heph. (cf. *ἐπὶ *καμπίων* c necnon 3,1436) *ἐπικαμπίων* **VDS** (cf. Co p. 139,–7 = Dor. IIID p. 436 Pingree: *ἐπικάμπια* [*ἐπικάμπτια* Co] *δὲ λέγει τὰ τετράγωνα τῶν ἐκλειπτικῶν συνδεσμῶν* eqs.) *ἐπὶ καμπτίων* **γΣ** (in margine) ‖ **1072** *ἐπαιτίων* **VYγ** Heph. *ὑπαιτίων* **Σβ** ‖ **1074** *κυρτώσεων … παραλύσεων*] *κυρτώσεως … παραλύσεως* et sic deinceps semper singulariter **S** ‖ **1075** *ἢ παραλύσεων* om. **V** (cf. Heph.) ‖ **1076** *ἀπὸ* **VYDγ** *τῶν ἀπὸ* **ΣMS** | *αὐτῆς* om. **V** ‖ **1077** post *καθυπερτεροῦντες*: *μὲν* add. **Σβγ** | *ἢ* om. **Σβγ**

ὦσιν, ἀπὸ κινδύνων μεγάλων ὡς τῶν ἀποκρημνισμῶν ἢ συμπτώσεων ἢ ληστηρίων ἢ τετραπόδων· Ἄρεως μὲν γὰρ ἐπικρατοῦντος τῶν διὰ πυρὸς ἢ τραυμάτων ἢ χολικῶν ἢ 1080 *ληστηρίων, Κρόνου δὲ τῶν διὰ συμπτώσεων ἢ ναυαγίων ἢ*
14 *σπασμῶν. ὡς ἐπὶ τὸ πολὺ δὲ γίνεται σίνη καὶ περὶ τὰ τροπικὰ καὶ ἰσημερινὰ σημεῖα τῆς σελήνης οὔσης, μάλιστα δὲ περὶ μὲν τὸ ἐαρινὸν τὰ δι' ἀλφῶν, περὶ δὲ τὸ θερινὸν*

S 1078 *ἀποκρημνισμῶν* Ap. IV 8,5. 9,11. Dor. G p. 416,11 apud Heph. III 47,19. Dor. A IV 1,86.149. Maneth. IV 618. Critod. apud Rhet. C p. 200,1.9. Val. I 1,23. 20,6. II 17,59. 37,9.12.16. 41,28.33.34.37. Horosc. L 118 apud Val. App. XIX 54. Firm. math. III 4,20. VIII 12,4. 13,4. 15,5. Lib. Herm. 26,58. 36,3.37.47.48 ‖ **1079** *συμπτώσεων* Ap. IV 9,11.13. Dor. G p. 416,11 (~ Dor. A V 36,34). Maneth. III(II) 130. IV 617. V(VI) 199–201 (cf. VI [III] 612). Val. II 17,59. 34,16. 41,33. Firm. math. VIII 16,3. Ps.Ptol. Karp. 76. Lib. Herm. 36,48 | *ληστηρίων* Ap. II 9,11 (ubi plura) ‖ **1081** *ναυαγίων* Ap. II 9,7 (ubi plura) ‖ **1082** *σπασμῶν* Ap. IV 9,4.12. Dor. G p. 419,23 apud Heph. III 32,2. Maneth. II(I) 499. III(II) 55. Serap. CCAG V 3 (1910) p. 97,26. Firm. math. III 6,16 (~ Rhet. C p. 163,7). Anon. C p. 166,19. Anon. L p. 109,10. Anon. S l. 16. Lib. Herm. 36,29 ‖ **1083** *τροπικὰ καὶ ἰσημερινὰ* Ap. I 12,2 (ubi plura). IV 4,9 ‖ **1084** *ἀλφῶν* Maneth. V(VI) 251. Ant. CCAG VIII 3 (1912) p. 105,25. Val. I 2,1. 78. II 37,10. Rhet. A p. 147,6. Rhet. B p. 205,16. 211,6. Anon. L p. 108,17. Anon. S l. 44. Lib. Herm. 29,1, cf. Firm. math. III 5,30. 13,5

1078 *ὦσιν* om. **Σβγ** | *ὡς τῶν* om. **MS** *τῶν* om. **Σ** | *ἀποκρημνισμῶν* **Vβγ** *ἀπὸ κρημνισμῶν* **α** *ἀποκριμνῶς* Heph. (cod. **P**, inde *ἀπὸ κρημνῶν* Pingree) ‖ **1079** *μὲν γὰρ* **VYDγ** *μὲν* **ΣMS** ‖ **1080** *χολικῶν* **VGDγ** Procl. *χωλοικῶν* **Y** *ὀχλικῶν* **ΣMSc** (recepit Boer) ‖ **1081** *συμπτώσεων* **ΣDMγ** *τῶν συμπτώσεων* **VY** *συμπτωμάτων* **S** ‖ **1082** *γίνεται* **Yβγ** *γίνονται* **VΣ**

1085 *τὰ διὰ λειχήνων, περὶ δὲ τὸ μετοπωρινὸν τὰ διὰ λεπρῶν, περὶ δὲ τὸ χειμερινὸν τὰ διὰ φακῶν καὶ τῶν ὁμοίων. πάθη δὲ συμβαίνειν εἴωθεν, ὅταν ἐπὶ τῶν προκειμένων στάσεων οἱ κακοποιοὶ συσχηματισθῶσι, κατὰ τὸ ἐναντίον μέντοι (τουτέστιν ἑσπέριοι μὲν τῷ ἡλίῳ, τῇ δὲ σελήνῃ ἑῷοι). καθόλου* 15
1090 *γὰρ ὁ μὲν τοῦ Κρόνου ψυχροκοιλίους ποιεῖ καὶ πολυφλεγμάτους καὶ ῥευματώδεις, κατίσχνους τε καὶ ἀσθενικοὺς καὶ ἰκτερικοὺς καὶ δυσεντερικοὺς καὶ βηχικοὺς καὶ ἀνα-*

T **1091–1092** Apom. CCAG VIII 1 (1929) p. 182,19–20

S **1085** *λειχήνων* Ap. III 13,16.17. IV 9,6. Maneth. V(VI) 251. Ant. CCAG VIII 3 (1912) p. 105,25. Val. I 2,1.78. II 37,7. 10.19. Firm. math. III 5,30. Heph. II 32,4. Rhet. A p. 147,6. Rhet. B p. 209,26. Rhet. C p. 188,2. 189,26. Anon. L p. 109,17. Anon. S l. 14.47. Lib. Herm. 29,1 | *λεπρῶν* Dor. A II 15,7. IV 1,136–137. Maneth. V(VI) 248 (*λεπρῶν* legendum). 251. Maneth. Pap. It. 157,37. Ant. CCAG VII (1908) p. 111,23. 114,35. Val. II 37,10.19 (adde CCAG IV [1903] p. 181,9). Firm. math. III 5,30. Iul. Laodic. CCAG IV (1903) p. 152,17. Rhet. A p. 147,6. Rhet. B p. 205,16. 211,6. Rhet. C p. 188,2. 189,26. Anon. C p. 166,18. Anon. L p. 109,12. Anon. S l. 33.44. Lib. Herm. 29,1. Anon. De stellis fixis II 5,9 || **1090–1091** *πολυφλεγμάτους* Lib. Herm. 33,2, cf. Firm. math. IV 19,8 || **1091** *ῥευματώδεις* Ap. II 9,5 (ubi plura) || **1092** *δυσεντερικοὺς* Ap. IV 9,6. Val. II 41,38. Firm. math. III 2,13. VII 23,23 (~ Lib. Herm. 36,36). Lib. Herm. 33,2

1087 *συμβαίνειν*] *συμβαίνοντα* **V** | *συστάσεων* Heph. || **1088** *ἐναντιούμενον* **γ** || **1090** *πολυφλεγμάτους* **αβγ** *πολυφλεγματώδεις* **V** *φλεγματώδεις* Heph. || **1091** *καὶ ῥευματώδεις* om. **VDγ** Heph.

φορικοὺς καὶ κωλικοὺς καὶ ἐλεφαντιῶντας, τὰς δὲ γυναῖκας ἔτι καὶ ὑστερικάς· ὁ δὲ τοῦ Ἄρεως αἱμοπτυϊκούς, m 152
μελαγχολικούς, πνευμονικούς, ψωριῶντας, ἔτι δὲ τοὺς διὰ 1095
τομῶν ἢ καύσεων κρυπτῶν τόπων συνεχῶς ἐνοχλουμένους συρίγγων ἕνεκεν ἢ αἱμορροίδων ἢ κονδυλωμάτων ἢ καὶ τῶν πυρωδῶν ἑλκώσεων ἢ νομῶν, τὰς δὲ γυναῖκας ἔτι καὶ ἐκτρωσμοῖς ἢ ἐμβρυοτομίαις ἢ ἀναβρώσεσιν εἴωθε περικυ- c 39ᵛ
λίειν. 1100

S **1093** *ἐλεφαντιῶντας* Ap. III 13,17. Teucr. III p. 184,3. Val. II 37,18. 41,31.38. Firm. math. III 5,30. IV 9,6. VIII 21,7. al. Rhet. B p. 210,20. Rhet. C p. 188,3. 189,12. Anon. De stellis fixis II 5,9. Lib. Herm. 29,1. 36,3 || **1094** *αἱμοπτυϊκούς* Dor. G p. 377,5 apud Heph. II 13,25. Val. II 41,36 || **1095** *ψωριῶντας* Heph. II 32,4. Rhet. A p. 147,6 || **1096** *τομῶν ἢ καύσεων* Ap. III 5,7 (ubi plura) | *τομῶν* Val. II 34,16. 41,35. IV 17,5. al. (cf. App. II) || **1097** *συρίγγων* Ap. III 13,17. IV 9,6. Val. II 37,15. Firm. math. III 2,15. Rhet. C p. 188,3. 189,10. Anon. L p. 109,8–9 || **1098** *νομῶν* Ap. III 13,17. IV 9,6. Val. App. I 195 || **1099** *ἐκτρωσμοῖς* Ap. III 5,9 (ubi plura) | *ἐμβρυοτομίαις* Ap. III 13,10 (ubi plura)

1093 *κολικοὺς* **V** *κοιλικοὺς* Heph. (cod. **P**, *κοι-* suprascriptum) | *ἐλεφαντιῶν* **V** || **1094** *αἱμοπτυϊκούς* **MS** Heph. *αἱμοπτοικούς* **VαDγ** || **1095** *πνευματικούς* **V** | ante *ἔτι* interpunxit Robbins, non ita Boer postea legens *τε* | *δὲ* **ΣMSAc** Heph. *τε* **VYDBC** (quos sequitur Boer, cf. 1,288) || **1096** *κρυπτῶν τόπων* **V** Heph. (cf. *εἰς κρυπτοὺς τόπους* Procl.) *ἢ κρυπτῶν τόπων* **αβγc** || **1097** *κονδυλωμάτων* **VGS** Procl. (cf. *κονδηλωμάτων* Heph. cod. **P**) *κονδυλομάτων* **Y** *ἢ καὶ πυρωμάτων* **ΣDMγc** *ἢ καὶ τῶν ἐμπυρωδῶν* Heph. | *καὶ* om. **VDγ** || **1099** *ἐμβρυοτοκίαις* **Σc**, cf. 3,1046 | *ἀναβρώσεσιν* **VαMS** *ἀμβλώσεων* **Dγ** om. Heph.

ἰδίως δὲ καὶ παρὰ τὰς προειρημένας [III 13,5] *τῶν* **16**
*συσχηματιζομένων ἀστέρων φύσεις πρὸς τὰ μέρη τοῦ σώ-
ματος τὰ ἰδιώματα ποιοῦσι τῶν παθῶν, συνεργεῖ δὲ αὐτοῖς
μάλιστα πρὸς τὰς ἐπιτάσεις τῶν φαύλων ὁ τοῦ Ἑρμοῦ*
1105 *ἀστὴρ τῷ μὲν τοῦ Κρόνου πρὸς τὸ ψυχρὸν συνοικειούμενος
καὶ μᾶλλον ἐν κινήσει συνεχεῖ ποιῶν τοὺς ῥευματισμοὺς
καὶ τὰς τῶν ὑγρῶν ὀχλήσεις, ἐξαιρέτως δὲ τῶν περὶ θώ-
ρακα καὶ φάρυγγα καὶ στόμαχον, τῷ δὲ τοῦ Ἄρεως πρὸς
τὸ ξηραντικώτερον συνεπισχύων ὡς ἐπί τε τῶν ἑλκωδῶν*
1110 *πτιλώσεων καὶ ἐσχαρῶν καὶ ἀποστημάτων καὶ ἐρυσιπελά-
των καὶ λειχήνων ἀγρίων καὶ μελαίνης χολῆς ἢ μανίας ἢ
νόσου ἱερᾶς ἢ τῶν τοιούτων.*

καὶ παρὰ τὰς τῶν ζῳδίων δὲ ἐναλλαγὰς τῶν τοὺς προ- **17**
ειρημένους ἐπὶ τῶν δύο κέντρων συσχηματισμοὺς περιεχόν-
1115 *των γίνονταί τινες ποιότητες παθῶν. ἰδίως γὰρ ὁ μὲν Καρ-*

T 1115–1120 Rhet. C p. 187,29–188,5

S 1106 *ῥευματισμοὺς* Ap. II 9,5 (ubi plura) || **1111** *λειχήνων* Ap. III 13,14 (ubi plura) || **1115–1119** *Καρκίνος … τοιούτων* Maneth. V(VI) 246–251. Ant. CCAG VIII 3 (1912) p. 105,25. Iul. Laodic. CCAG IV (1903) p. 152,17. Rhet. A p. 147,4–10. Anon. C p. 166,15–19

1101 *παρὰ* **VY** *περὶ* **Σβγc**, cf. 1,540 | *προειρημένας* **VY** *εἰρημένας* **Σβγ** || **1104** *μάλιστα* om. **ΣMS** Heph. | *ἐπιτάσεις* **αMS** Heph. *ἐπιστάσεις* **VDγ** || **1106** *ῥευματικοὺς* **M** || **1107** *ὀχλήσεως* **V** | *τῶν* **αβγ** Heph. *τὸν* **V** || **1108** *φάρυγγα καὶ στόμαχον* **VDγ** Heph. (recepit Robbins) *στόμαχον καὶ φάρυγγα* **αMS** (praetulit Boer) || **1110** *πτιλώσεων* Robbins confirmatus ab Heph. *πτηλώσεων* **Y** *πιλλώσεων* **V** *ψιλώσεων* **Σβγc** | *ἐρυσιπελάτων* **VαS** Heph. *ἐρυσιπελείων* **DMγ** || **1111** *ἢ μανίας* om. **Σc** || **1114** *συσχηματισμοὺς* **VYDγ** *σχεματισμοὺς* **ΣMS** || **1115** *γὰρ ὁ μὲν* **VY** *μὲν γὰρ ὁ* **ΣMS** *μὲν γὰρ ὁ μὲν* **γ** *μὲν γὰρ ὁ μὲν γὰρ* **D**

κίνος καὶ ὁ Αἰγόκερως καὶ οἱ Ἰχθύες καὶ ὅλως τὰ χερσαῖα καὶ τὰ ἰχθυακὰ ζῴδια τὰ διὰ τῶν νομῶν πάθη ποιεῖ καὶ m 153 *λειχήνων ἢ λεπίδων ἢ χοιράδων ἢ συρίγγων ἢ ἐλεφαντιάσεων καὶ τῶν τοιούτων, ὁ δὲ Τοξότης καὶ οἱ Δίδυμοι τὰ διὰ πτωματισμῶν ἢ ἐπιλήψεων. καὶ ἐν ταῖς ἐσχάταις δὲ* 1120

S 1116 *χερσαῖα* Ap. IV 4,9. Serap. CCAG V 3 (1910) p. 97,22–23. Manil. II 226–229. Maneth. VI(III) 419. Val. I 2,1. IX 3,20. Firm. math. III 3,11. 6,3 (~ Rhet. C p. 137,5). Heph. I 1,3.23.81.139.158. al. Anon. L p. 106,6–7. Anon. S l. 5.25.29.38 || **1117** *ἰχθυϊκὰ* Rhet. C p. 160,10. 169,10 (aliter Firm. math. III 6,14.22). Anon. C p. 166,15 | *νομῶν* Ap. III 13,15 (ubi plura) || **1118** *λειχήνων* Ap. III 13,14 (ubi plura) | *λεπίδων* Maneth. V(VI) 248. Firm. math. II 10,5. Rhet. B p. 209,27. 211,6. Anon. C p. 166,18. Anon. L p. 109,7. Anon. S l. 47 | *χοιράδων* Ant. CCAG VII (1908) p. 111,23. Val. II 37,8. Rhet. C p. 188,2 | *συρίγγων* Ap. III 13,15 (ubi plura) || **1118–1119** *ἐλεφαντιάσεων* Ap. III 13,15 (ubi plura) || **1119–1120** *Τοξότης ... ἐπιλήψεων* Rhet. C p. 188,3–5 (cf. p. 193,23). Lib. Herm. 26,20 || **1120** *πτωματισμῶν* Maneth. I(V) 234. Val. II 37,8.43 (adde App. I 213). Firm. math. III 5,30 (paulo aliter Rhet. C p. 162,6). IV 8,3. al. Paul. Alex. 24 p. 56,16. Lib. Herm. 26,53.58 | *ἐπιλήψεων* Ap. III 13,6. 15,3–6. IV 9,7 (cf. Val. App. I 213). Maneth. II(I) 498–499. VI(III) 609. Ant. CCAG VII (1908) p. 111,24. Val. App. I 213. Firm. math. IV 14,3. VI 29,16. VII 23,17 (~ Lib. Herm. 36,23–24). al. Rhet. C p. 193,9–10. Lib. Herm. 26,38.58.64. 27,20. 29,5.

1117 *ἰχθυακὰ* **VDγ** (cf. CCAG I [1898] p. 166,15) *ἰχθυκὰ* **Y** (cf. *ἰχθικὰ* Heph. cod. **P**) *ἰχθυϊκὰ* **ΣMS** Procl. edd. (cf. Rhet. C p. 160,19. 169,10) | *διὰ* om. **ΣMS** Heph. (cod. **P**) || **1118** *ἢ λεπίδων* **VYDγ** Heph. *ὁ δὲ πίδων* **G** *ἢ λεπρῶν* **ΣMS** om. **c** || **1120** *πτωματισμῶν* **VYβB** Heph. *πτωσματισμῶν* **ΣC** *πτωσματικῶν* **A** | *ἐπιλήψεων* **VΣSγ** Heph. *ἐπιλείψεων* **DM** *λήψεων* **Y**

μοίραις παρατυγχάνοντες οἱ ἀστέρες τῶν δωδεκατημορίων περὶ τὰ ἄκρα μάλιστα τὰ πάθη καὶ τὰ σίνη ποιοῦσι διὰ λωβήσεων ἢ ῥευματισμῶν, ἀφ' ὧν ἐλεφαντιάσεις τε καὶ ὡς ἐπίπαν χειράγραι καὶ ποδάγραι συμβαίνουσι.

1125 *τούτων δὲ οὕτως ἐχόντων, ἐὰν μὲν μηδεὶς τῶν ἀγαθο-* **18** *ποιῶν συσχηματίζηται τοῖς τὰ αἴτια ποιοῦσι κακοποιοῖς ἢ τοῖς κεκεντρωμένοις φωσίν, ἀνίατα καὶ ἐπαχθῆ τά τε σίνη καὶ τὰ πάθη γενήσεται· ὡσαύτως δέ, κἂν συσχηματίζωνται μέν, καθυπερτερῶνται δὲ ὑπὸ τῶν κακοποιῶν ἐν δυνά-*
1130 *μει ὄντων· ἐὰν δὲ καὶ αὐτοὶ κατὰ κυρίων ὄντες σχημάτων καθυπερτερῶσι τοὺς τὸ αἴτιον ἐμποιοῦντας κακοποιούς, τότε τὰ σίνη εὐσχήμονα καὶ οὐκ ἐπονείδιστα γίνεται καὶ τὰ πάθη μέτρια καὶ εὐπαρηγόρητα, ἔσθ' ὅτε δὲ καὶ εὐαπάλλακτα ἀνατολικῶν ὄντων τῶν ἀγαθοποιῶν. ὁ μὲν γὰρ* **19**
1135 *τοῦ Διὸς βοηθείαις ἀνθρωπίναις διὰ πλούτων ἢ ἀξιωμάτων*

(**S**) 36,24.47. Hermipp. I 90. II 73 || **1120–1121** *ἐσχάταις δὲ μοίραις* Dor. A V 5,8 apud Heph. III 1,7. Ant. CCAG VII (1908) p. 113,15–17. 114,35. Firm. math. VII 25,3.7. Lib. Herm. 29,2

S **1123** *ῥευματισμῶν* Ap. II 9,5 (ubi plura) || **1124** *ποδάγραι* Teucr. II apud Anon. De stellis fixis I 3,11. Maneth. IV 501. Val. II 37,16. Firm. math. VII 20,12. Rhet. C p. 155,24. 191,14–192,7 || **1134–1144** (§ 19) Ap. III 15,4 || **1135** *Διὸς* Maneth. VI(III) 626–627. Rhet. C p. 193,24 | *πλούτων* Ap. II 3,34 (ubi plura)

1122 *περὶ*] *παρὰ* V, cf. 1,540 | *ἄκρα* **VY** Heph. *ἄγρια* **Σβγc** postea *καὶ* add. **Σc** | *τὰ πάθη* **VY** Heph. *πάθη* **Σβγc** || **1123** *ὧν* **Σβγ** *ὧν καὶ* **VY** | *ἐλαφαντιώσεις* **Y** | *τε* om. **Y** || **1124** *χειράγραι καὶ ποδάγραι* **VDγ** *ποδάγραι καὶ χειράγραι* **ΣMS** *ποδάγραι τε καὶ χειράγραι* **Y** || **1127** *σίνη* om. **Σ** || **1129** *κακοποιῶν* **ΣMS** *κακούντων* **VYDγ** || **1131** *κακοποιοῦσι* **V** || **1133** *εὐαπάλλακτα* **Σβγ** (cf. *εὐαπάλακτα* Heph. cod. **P**) *εὐεπάλλακτα* **VY** || **1134** *γὰρ* om. **Y**

τά τε σίνη κρύπτειν εἴωθε καὶ τὰ πάθη παρηγορεῖν (σὺν δὲ τῷ τοῦ Ἑρμοῦ καὶ φαρμακείαις ἢ ἰατρῶν ἀγαθῶν ἐπικουρίαις), ὁ δὲ τῆς Ἀφροδίτης διὰ προφάσεως θεῶν καὶ χρησμῶν τὰ μὲν σίνη τρόπον τινὰ εὔμορφα καὶ ἐπιχάριτα m 154
κατασκευάζει, τὰ δὲ πάθη ταῖς ἀπὸ θεῶν ἰατρείαις εὐπαρηγόρητα· τοῦ μέντοι τοῦ Κρόνου προσόντος μετὰ παραδειγματισμῶν καὶ ἐξαγοριῶν καὶ τῶν τοιούτων, τοῦ δὲ τοῦ Ἑρμοῦ μετ' ἐπικουρίας καὶ πορισμοῦ τινος ἢ δι' αὐτῶν τῶν σινῶν ἢ καὶ παθῶν τοῖς ἔχουσι περιγενομένου. 1140

ιδ'. Περὶ ποιότητος ψυχῆς 1145 c 40

1 *Περὶ μὲν οὖν τῶν σωματικῶν συμπτωμάτων ὁ τύπος τῆς ἐπισκέψεως τοιοῦτος ἄν τις εἴη· τῶν δὲ ψυχικῶν ποιοτή-*

S **1137** *φαρμακείαις* Ap. III 15,4. Maneth. I(V) 184, aliter Ap. III 14,15 (q. v.) ‖ **1137–1138** *ἰατρῶν ... ἐπικουρίαις* Ap. III 15,4. Val. II 37,38. Firm. math. VIII 17,3.7. Anon. a. 379 p. 209,24–25. Rhet. C p. 193,24–194,1, aliter Ap. IV 4,7 ‖ **1139** *χρησμῶν* Ap. III 15,4. IV 7,8 ‖ **1146–1453** (c. 14) Anon. a. 379 p. 198,12–203,31

1139 *ἐπιχάριτα* **V** *ἐπιχάρος* **Y** *ἐπιχαρῆ* **Σβγ** ‖ **1141** *προσόντος* **VαDγ** *προσιόντος* **MS** ‖ **1142** *ἐξαγοριῶν* **VD** *ἐξαγορειῶν* **γ** Co le p. 142,30 *ἐξαγωριῶν* **Y** *ἐξαγωνίων* **G** *ἐξαγορεύσεων* **ΣMSc** (cf. *ἐξαγορεύειν* Procl.) ‖ **1143** *μετ'* **VYS** *κατ'* **ΣDMγ** | *πορισμοῦ* **VYDSγ** *μερισμοῦ* **ΣM** | *ἢ δι' αὐτῶν* **ΣβAB** *ἢ καὶ δι' αὐτῶν* **C** *διὰ τῶν* **VY** *δι' αὐτῶν* Robbins tacite ‖ **1144** *περιγενομένου* **MS** *περιγινομένου* **Σ** *περιγιγνομένων* **VDγ** *περιγενομένων* **Y** ‖ **1145** *περὶ ποιότητος ψυχῆς* **VΣDMγ** Heph. *περὶ ψυχῆς ποιότητος* **Y** *ἐπίσκεψις περὶ τῶν ψυχικῶν ποιοτήτων* **S**[2] in margine ‖ **1146** *συμπτωμάτων* om. **Σ** | *τύπος*] *τρόπος* **Y**

των αἱ μὲν περὶ τὸ λογικὸν καὶ νοερὸν μέρος καταλαμβάνονται διὰ τῆς κατὰ τὸν τοῦ Ἑρμοῦ ἀστέρα θεωρουμένης
1150 *ἑκάστοτε περιστάσεως, αἱ δὲ περὶ τὸ αἰσθητικὸν καὶ ἄλογον ἀπὸ τοῦ σωματωδεστέρου τῶν φώτων (τουτέστι τῆς σελήνης) καὶ τῶν πρὸς τὰς ἀπορροίας ἢ καὶ τὰς συναφὰς αὐτῆς συνεσχηματισμένων ἀστέρων. πολυτροπωτάτου δ'* 2 *ὄντος τοῦ κατὰ τὰς ψυχικὰς ὁρμὰς εἴδους εἰκότως ἂν καὶ*
1155 *τὴν τοιαύτην ἐπίσκεψιν οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχε ποιοίμεθα, διὰ πλειόνων δὲ καὶ ποικίλων παρατηρήσεων. καὶ γὰρ αἱ τῶν ζῳδίων τῶν περιεχόντων τόν τε τοῦ Ἑρμοῦ καὶ τὴν σελήνην ἢ τοὺς τὴν ἐπικράτησιν αὐτῶν εἰληφότας ἀστέρας διαφοραὶ πολὺ δύνανται συμβάλλεσθαι πρὸς τὰ*
1160 *τῶν ψυχῶν ἰδιώματα, καὶ οἱ τῶν λόγον ἐχόντων πρὸς τὸ*
m 155 *προκείμενον εἶδος ἀστέρων σχηματισμοὶ πρὸς ἥλιόν τε καὶ*

T 1148–1355 *θυμικούς* (§ 1 fin.–28 in.) Heph. II 15,3–17

S 1148 *λογικὸν καὶ νοερὸν μέρος* Horosc. Const. 7,1 || **1149** *Ἑρμοῦ* Ap. II 3,19 (ubi plura) || **1151** *σωματωδεστέρου* Diod. II 31,5 || **1156** *ποικίλων* Ap. III 14,2 (ubi plura)

1148 *λογικὸν καὶ νοερὸν* **VYDγ** *νοερὸν καὶ λογικὸν* **ΣMS** *νοερώτερον καὶ λογικὸν* Heph. || **1149** *τῆς* **αγ** Heph. *τὸν τῆς* **V** *τῆς τῶν* **β** || **1150** *αἰσθητικὸν* **VDγ** (cf. *αἴσθησιν* Procl.) *αἰσθητὸν* **Y** *ἠθικὸν* **ΣMSA**[2] (in margine sicut **B**; *ἴσως ἠθικὸν* **C**[2] supra lineam) **c** Heph. || **1151** *τοῦ σωματωδεστέρου τῶν* **Yγ** *τοῦ σωματοδευτέρου τῶν* **V** *τῶν σωματοδεστέρων* **ΣMc** *τῶν σωματοδεστέρων τῶν* **S** || **1153** *αὐτῆς* **αγ** *αὐτῶν* **VD** *αὐτοῦ* **MS** *καὶ τῶν αὐτῆς* Heph. (cod. **P**) || **1154** *κατὰ* **VYDγ** *περὶ* **ΣMS** | *ἂν* **Vα** *οὖν* **β** *δὴ* **γ** || **1155** *ποιοίμεθα* **Σ** (quem secutus est Robbins) *ποιούμεθα* **VYγ** (servavit Boer) *ποιούμεθ' ἂν* **β** || **1156** *δὲ* om. **VM** || **1159** *διαφοραῖς* **V** || **1160** *ψυχῶν* **ΣDMγc** *ψυχικῶν* **VGS** *ψυχηκῶν* **Y** || **1161** *τῶν ἀστέρων* **Σβ** | *ἥλιον* **VYβ** Heph. *τὸν ἥλιον* **Σγ** (recepit Boer)

τὰ κέντρα καὶ ἔτι τὸ κατ' αὐτὴν τὴν ἑκάστου τῶν ἀστέρων φύσιν πρὸς τὰς ψυχικὰς κινήσεις ἰδιότροπον.

3 *τῶν μὲν οὖν ζῳδίων καθόλου τὰ μὲν τροπικὰ δημοτικωτέρας ποιεῖ τὰς ψυχάς, ὀχλικῶν τε καὶ πολιτικῶν πραγμάτων* 1165 *ἐπιθυμητικάς, ἔτι δὲ καὶ φιλοδόξους καὶ θεοπροσπλόκους, εὐφυεῖς τε καὶ εὐκινήτους, ζητητικάς τε καὶ εὑρετικάς, εὐεικάστους καὶ ἀστρολογικὰς καὶ μαντικάς, τὰ δὲ δίσωμα ποικίλας, εὐμεταβόλους, δυσκαταλήπτους, κούφας, εὐμεταθέτους, διπλάς, ἐρωτικάς, πολυτρόπους, φιλο-* 1170 *μούσους, ῥᾳθύμους, εὐπορίστους, μεταμελητικάς, τὰ δὲ στερεὰ δικαίας, ἀκολακεύτους, ἐπιμόνους, βεβαίας, συνετάς, ὑπομονητικάς, φιλοπόνους, σκληράς, ἐγκρατεῖς, μνησικάκους, ἐκβιβαστικάς, ἐριστικάς, φιλοτίμους, στασιώδεις, πλεονεκτικάς, ἀποκρότους, ἀμεταθέτους.* 1175

T **1171** Abram. (*δίσωμα*) p. 208 ‖ **1171–1174** (*στερεά*) Abram. p. 208

S **1164–1175** (§ 3) Anon. L p. 110,13–18 ‖ **1164–1165** *δημοτικωτέρας … πολιτικῶν* Ap. II 8,11 (ubi plura) ‖ **1168** *ἀστρολογικὰς* Ap. III 14,5 (ubi plura) | *μαντικάς* Ap. IV 4,3 (ubi plura) ‖ **1169–1172** *δίσωμα … στερεὰ* Horosc. Const. 7,1–2 ‖ **1170–1171** *φιλομούσους* Val. I 2,19 (aliter I 2,16. Rhet. C p. 218,4–5). al. ‖ **1174** *φιλοτίμους* Ap. III 14,22.24 (cf. IV 10,9). Schol. Paul. 9 p. 105,3

1164 *τροπικὰ καὶ ἰσημερινὰ* **γ** ‖ **1165** *ποιεῖται* **V** ‖ **1166** *ἔτι δὲ καὶ*] *εἰ δὲ* **Y** | *θεοπροσπόλους* **Σc**, cf. 2,433 ‖ **1168** *ἀστρολογικὰς* **Yβγ** *ἀστρολογίας* **V** *ἀπολογιτικὰς* **Σ** (inde *ἀπολογητικὰς* **c**) ‖ **1170** *διπλάς* **Vα** Heph. (*διπλᾶς* Robbins, cf. 3,1177 *ἁπλᾶς*) *διπλοῦς* **MS** *ῥᾳθύμους* **Dγ** | *πολυτρόμους* **Y** | *φιλομούσους* om. **Dγ** ‖ **1171** *ῥᾳθύμους* l. 1170 anticipatum hic om. **Dγ** ‖ **1173** *σκληράς* om. **Y** ‖ **1174** *ἐκβιβαστικάς* **VΣβγc** Procl. *ἐκβιβαστηκάς* **Y** *ἐκβαβαστικάς* **G** *ἐκβιαστικάς* **m** om. Heph. ‖ **1175** *ἀποκρότας* **V** om. Heph.

τῶν δὲ σχηματισμῶν αἱ μὲν ἀνατολικαὶ ὡροσκοπίαι καὶ 4
μάλιστα αἱ ἰδιοπροσωπίαι ἐλευθερίους καὶ ἁπλᾶς καὶ αὐθ-
άδεις καὶ ἰσχυρὰς καὶ εὐφυεῖς καὶ ὀξείας καὶ ἀπαρακα-
λύπτους τὰς ψυχὰς ἀπεργάζονται, οἱ δὲ ἑῷοι στηριγμοὶ
1180 *καὶ αἱ μεσουρανήσεις ἐπιλογιστικάς, ἐπιμόνους, μνημονι-*
κάς, βεβαίας, συνετάς, μεγαλόφρονας, ἀποτελεστικὰς ὧν
βούλονται, ἀτρέπτους, ῥωμαλέας, ἀνεξαπατήτους, κριτι-
c 40ᵛ *κάς, ἐμπράκτους, κολαστικάς, ἐπιστημονικάς, αἱ δὲ προ-*
m 156 *ηγήσεις καὶ αἱ δύσεις εὐμεταθέτους καὶ ἀβεβαίους, ἀσθε-*
1185 *νεῖς, ἀφερεπόνους, ἐμπαθεῖς, ταπεινάς, δειλάς, ἀμφιβό-*
λους, θρασυδειλους, ἀμβλείας, βλακώδεις, δυσκινήτους, οἱ 5
δὲ ἑσπέριοι στηριγμοὶ καὶ αἱ ὑπὸ γῆν μεσουρανήσεις (ἔτι
δὲ ἐφ' Ἑρμοῦ καὶ Ἀφροδίτης ἡμέρας μὲν αἱ ἑσπέριοι δύ-
σεις, νυκτὸς δὲ αἱ ἑῷοι) εὐφυεῖς μὲν καὶ φρενήρεις, οὐκ
1190 *ἄγαν δὲ μνημονικὰς οὐδ' ἐπιμόχθους ἢ φιλοπόνους, διε-*

T 1189–1194 (*Ἀφροδίτης ... δύσεις*) Abram. p. 208

S 1177 *ἰδιοπροσωπίαι* Ap. I 23,1

1180 *ἐπιμόνους ... συνετάς* om. **V** | *μνημονικάς* **YS** Heph. *μνημονευτκάς* **ΣDMγ** (voci *μεγαλόφρονας* anteposuit **D**, postposuerunt **Σγ**), cf. l. 1190 ‖ **1181** *βεβαίας* verbis *ὧν βούλονται* anteposuit **D**, postposuit **γ** | *ἀποτελεστικὰς ... ἀτρέπτους* om. **YM** (cf. Heph.), usque ad *βούλονται* **S** ‖ **1184** *εὐμεταθέτους καὶ ἀβεβαίους* **VDγ** *ἀβεβαίους, εὐμεταθέτους* **Σ** Heph. *ἀβεβαίας* **YMS** | *ἀθενεῖς* **V** ‖ **1185** *ἀφερεπόνους* **αβγ** *ἀφεροπόνους* **V** Heph. (cod. **P**) | *ἐφεβόλους* **Φ** ‖ **1186** *ἀμβλύας* **V** ‖ **1188** *ἐφ'* **Σβγ** Heph. *ἀφ'* **Y** *καὶ ἐπὶ* **V** | *αἱ* **αMS** Heph. om. **VDγ** | *ἑσπέριοι* **Vβγ** Heph. *ἑσπέριαι* **α** ‖ **1189** *αἱ* **ΣMS** Heph. om. **VYDγ** | *φρενήρεις* **VYβAB** Heph. *φρονίμους* **ΣCc** Procl. ‖ **1190** *μνημονικὰς* **VGS** Heph. *μνημονηκὰς* **Y** *μνημονευτικὰς* **ΣDMγc**, cf. l. 1180

ρευνητικὰς δὲ τῶν ἀποκρύφων καὶ ζητητικὰς τῶν ἀθεωρήτων, οἷον μαγικάς, μυστηριακάς, μετεωρολογικάς, ὀργανικάς, μηχανικάς, θαυματοποιούς, ἀστρολογικάς, φιλοσόφους, οἰωνοσκοπικάς, ὀνειροκριτικὰς καὶ τὰς ὁμοίας.

S **1192** *μαγικάς* Ap. II 3,34 (ubi plura) | *μυστηριακάς* Ap. II 3,49. III 14,18. Maneth. II(I) 197–199.204–205. Val. I 3,29. 19,4. II 14,7. Iulian. Laodic. CCAG IV (1903) p. 152,5. Paul. Alex. 24 p. 64,1.7 (adde Olymp. p. 70,25). Rhet. C p. 147,13 || **1192–1193** *ὀργανικάς* Maneth. IV 439. Firm. math. IV 14,17 (~ Lib. Herm. 27,27). VIII 30,9 || **1193** *μηχανικάς* Teucr. II apud Anon. De stellis fixis I 1,2. Maneth. IV 439. VI(III) 401 (~ Lib. Herm. 26,62). Critod. Ap. 6,1. Rhet. C p. 217,3. Lib. Herm. 26,44 | *θαυματοποιούς* Apom. Myst. III 56 CCAG XI 1 (1932) p. 183,34 | *ἀστρολογικάς* Ap. III 14,3. IV 4,3.10. Teucr. II apud Anon. De stellis fixis I 8,2. Manil. IV 158–159. Maneth. I(V) 293. II(I) 206. IV 142.211. V(VI) 265. VI(III) 473. Critod. Ap. 6,1. Ant. CCAG VII (1908) p. 117,19. Val. II 17,57. Firm. math. III 7,6 (~ Rhet. C p. 148,15). 7,9.19 (~ Rhet. C p. 166,5, adde p. 163,20). 8,3. 12,16. IV 19,25. V 2,15. VIII 25, 10. 27,3. Paul. Alex. 24 p. 64,6 (adde Olymp. 23 p. 70,24). Rhet. C p. 215,1. Steph. philos. CCAG II (1900) p. 191,23. Apom. Myst. III 55 CCAG XI 1 (1932) p. 183,7. Anon. CCAG VII (1908) p. 99,1. Anon. De stellis fixis II 11,3. Lib. Herm. 32,60 || **1193–1194** *φιλοσόφους* Ap. IV 7,8. Val. I 1,39. 3,43. al. Paul. Alex. 24 p. 64,1. Apom. Myst. III 55 CCAG XI 1 (1932) p. 183,6, cf. ad Ap. III 14,12 || **1194** *οἰωνοσκοπικάς* Maneth. II (I) 208. Val. I 1,39. Paul. Alex. 24 p. 64,6 (adde Olymp. 23 p. 70,24) | *ὀνειροκριτικὰς* Ap. IV 4,3.10. Teucr. II apud Anon. De stellis fixis I 3,10. Maneth. I(V) 238. II(I) 206. III(II) 93–94. VI(III) 473. Val. I 1,39. Firm. math. III 2,18 (~ Rhet.

1191 *τῶν ἀθεωρήτων* om. V spatio relicto *τῶν δυσθεωρήτων* Abram. p. 208 || **1192** *μετρολογικὰς* Y | post *ὀργανικάς*: *τε καὶ* add. V || **1193** *φιλοσόφους, οἰωνοσκοπικάς* om. V || **1194** *καὶ τὰ ὅμοια τούτοις* Y

1195 *πρὸς τούτοις δὲ ἐν ἰδίοις μὲν ἢ καὶ οἰκείοις ὄντες τόποις* 6
καὶ αἱρέσεσιν οἱ τὴν κυρίαν ἔχοντες τῶν ψυχικῶν, καθ' ὃν
ἐν ἀρχῇ διωρισάμεθα τρόπον, προφανῆ καὶ ἀπαραπόδιστα
καὶ αὐθέκαστα καὶ ἐπιτευκτικὰ ποιοῦσι τὰ ἰδιώματα, καὶ
μάλισθ' ὅταν οἱ αὐτοὶ τῶν δύο τόπων ἐπικρατήσωσιν
1200 *ἅμα (τουτέστι τῷ μὲν τοῦ Ἑρμοῦ τυγχάνωσιν ὁπωσδήποτε*
συνεσχηματισμένοι, τὴν δὲ τῆς σελήνης ἀπόρροιαν ἢ καὶ
συναφὴν ἐπέχοντες), μὴ οὕτως δὲ διακείμενοι, ἀλλ' ἐν ἀνοι- 7
κείοις ὄντες τόποις, τὰ μὲν τῆς ἑαυτῶν φύσεως οἰκεῖα
πρὸς τὴν ψυχικὴν ἐνέργειαν ἀνεπίφαντα καὶ ἀμαυρὰ καὶ
157 1205 *ἀτελείωτα καὶ ἀπρόκοπα καθιστᾶσι, τὰ δὲ τῆς τῶν κρα-*
τησάντων ἢ καθυπερτερησάντων ἰσχυρά τε καὶ ἐπιβλαβῆ
τῶν ὑποκειμένων· ὡς ὅταν οἵ τε διὰ τὴν τῶν κακοποιῶν

(S) C p. 165,3). 6,17 (~ Rhet. C p. 165,17). 8,3. V 1,16. 2,16. Paul. Alex. 24 p. 64,6 (adde Schol. Paul. Alex. 65 p. 122,26. Olymp. 23 p. 70,25). Rhet. C p. 145,17. 164,18. Apom. Myst. III 51 CCAG XI 1 (1932) p. 179,30. Lib. Herm. 34,29

1195 *πρὸς τούτοις δὲ* **Y** (abbr. *τούτ*) **Dγ** Heph. *πρὸ τούτοις δὲ* **V** *πρὸς τούτοις* **G** *ὅτε δ'* **Σ** (cf. *ὅτε δὲ* **c**) *ὅτι δ'* **M** *ὅτι δὲ* **S** *ἔτι δὲ* Procl. | *μὲν* om. **ΣM** | *καὶ* **VYDγ** *ἐν* **ΣMS** | *ὄντες τύχοιεν* **Σc** || **1196** *καὶ* **VD** Heph. *τε καὶ* **αMS** *ἢ* **γ** | *τῶν ψυχικῶν* **VYDγ** *τὴν ψυχικήν* **ΣMS** Heph. || **1198** *αὐθέκαστα*] *αὐθεντικὰ* **Y** | *ἐπιτευκτικὰ* **VΣβγ** *ἐντευκτικὰ* **Y** *εὐεπίτεκτα* Heph. || **1199** *τόπων* **VDBC** Heph. *τρόπων* **αMSA** | *ἐπικρατήσουσιν* **VD** || **1202** *ἐπέχοντες* **ΣMS** (cf. Procl.) *ἀπέχοντες* **VYDγ** || **1203** *ὄντες τόποις* **αMS** Heph. *τόποις ὄντες* **VDγ** || **1205** *κρατησάντων* **VYS** Heph. *ἐπικρατησάντων* **ΣDMγ** || **1206** *καθυπερτερησάντων* **VYDγ** *ὑπερτερησάντων* **ΣMS** Heph. || **1207** *ὑποκειμένων* **VYS** (recepit Robbins) *προκειμένων* **ΣDMγc** *ἐπικειμένων* Heph. | *ὅταν* om. Heph. fort. recte, v. infra | *τὴν* **Σ** om. **VYβγ** Heph. | *τῶν* **α** om. **Vβγ** Heph.

οἰκείωσιν ἄδικοι καὶ πονηροὶ κρατούντων μὲν αὐτῶν εὐπροχώρητον καὶ ἀνεμπόδιστον καὶ ἀκίνδυνον καὶ ἐπίδοξον ἔχωσι τὴν πρὸς τὸ κακῶς ἄλλους ποιεῖν ὁρμήν, κρατουμένων δὲ ὑπὸ τῶν τῆς ἐναντίας αἱρέσεως κατάφοροι καὶ 1210
8 *ἀνεπίτευκτοι καὶ ἀτιμώρητοι γίνωνται, οἱ δ' αὖ πάλιν διὰ τὴν τῶν ἀγαθοποιούντων πρὸς τοὺς εἰρημένους ὅρους συνοικείωσιν ἀγαθοὶ καὶ δίκαιοι ἀκαθυπερτερήτων μὲν ὄντων αὐτοί τε χαίρωσι καὶ εὐφημῶνται ἐπὶ ταῖς τῶν ἄλλων* 1215 *εὐποιίαις καὶ ὑπὸ μηδενὸς ἀδικούμενοι ἀλλ' ὀνησιφόρον ἔχοντες τὴν δικαιοσύνην διατελῶσι, κρατουμένων δὲ ὑπὸ τῶν ἐναντίων ἀνάπαλιν καὶ δι' αὐτό τε τὸ πρᾷον καὶ φιλάνθρωπον καὶ ἐλεητικὸν εὐκαταφρόνητοί τε καὶ ἐπίμεμπτοι ἢ ὑπὸ τῶν πλείστων εὐαδίκητοι τυγχάνωσιν.* 1220
9 *ὁ μὲν οὖν καθόλου τρόπος τῆς ἠθικῆς ἐπισκέψεως τοιοῦτός τις ἂν εἴη, τὰς δὲ κατὰ μέρος ἀπ' αὐτῆς τῆς τῶν*

1209 *ἢ καὶ ἀκίνδυνον* **V** | *ἐπίδοξον* **Σβγ** *ἑτερόδοξον* **VY** || **1210** *ἔχωσι* **VYγ** *ἔχουσι* **Σβ** Heph. (qui antea om. *ὅταν*) | *κακῶς* **VYγ** Heph. *καλῶς* **Σβ** | *ἄλλους* **Σβγ** Heph. *ἀλλήλους* **VY** | *κρατουμένων*] *κρατοῦσι* **V** || **1211** *τῶν* **ΣMS** om. **VYDγ** Heph. || **1212** *ἀτιμώρητοι* **V** *εὐτιμώρητοι* **αβγ** (quos sequitur Robbins) | *γίνωνται* **γ** *γίνονται* **αβ** Heph. (v. supra) om. **V** lacuna indicata || **1213** *εἰρημένους* **VYDSγ** Heph. *προκειμένους* **ΣM** || **1214** *καθυπερτερήτων* **Y** || **1215** *χαίρωσι* **γ** *χαίρουσι* **Vαβ** Heph. (v. supra) | *εὐφημῶνται* **DMγ** *εὐφημοῦνται* **VαS** Heph. (v. supra) || **1216** *ἀλλ' ὀνησιφόρον*] *ἀλλὰ συμφαίρον* **Y** || **1217** *διατελῶσι* **VDMγ** *διατελοῦσι* **αS** Heph. (v. supra) || **1218** *τε τὸ* **Y** *τοῦτο* vel *τοῦ το* **V** *τοῦτο τὸ* **βγ** *τὸ* **Σ** Heph. edd. || **1219** *ἐλεητικὸν* **VGβB** Heph. *ἐλαιητικόν* **Y** *ἐλεγκτικὸν* **Σc** *ἐλεκτικὸν* **γ** | *εὐκαταφρόνητον* **M** || **1220** *τυγχάνωσιν* **Vγ** *τυγχάνουσιν* **αβ** Heph. (v. supra) || **1221** *ὁ μὲν οὖν* om. **V** | *καθόλου* **VYβγ** Heph. *καθολικὸς* **Σ** | *ἠθικῆς* **VΣβγ** Heph. *ἠθηκῆς* **Y** *ἰδικῆς* **G** *εἰδικῆς* **c** || **1222** *τις* om. **Σ** | *δὲ* om. **V** || **1222–1292** *μέρος … ἀνευφράντους* **deficit Σ**

*ἀστέρων φύσεως κατὰ τὴν κυρίαν ἀποτελουμένας ἰδιο-
τροπίας ἑξῆς κατὰ τὸ κεφαλαιῶδες ἐπεξελευσόμεθα μέχρι*
1225 *τῆς καθ᾽ ὁλοσχέρειαν θεωρουμένης συγκράσεως. ὁ μὲν οὖν* **10**
τοῦ Κρόνου ἀστὴρ μόνος τὴν οἰκοδεσποτείαν τῆς ψυχῆς
c 41 *λαβὼν καὶ αὐθεντήσας τοῦ τε Ἑρμοῦ καὶ τῆς σελήνης,*
m 158 *ἐὰν μὲν ἐνδόξως ἔχῃ πρός τε τὸ κοσμικὸν καὶ τὰ κέντρα,
ποιεῖ φιλοσωμάτους, ἰσχυρογνώμονας, βαθύφρονας, αὐστη-*
1230 *ρούς, μονογνώμονας, ἐπιμόχθους, ἐπιτακτικούς, κολαστι-
κούς, περιουσιαστικούς, φιλοχρημάτους, βιαίους, θησαυ-
ριστικούς, φθονερούς· ἐναντίως δὲ καὶ ἀδόξως κείμενος* **11**
*ῥυπαρούς, μικρολόγους, μικροψύχους, ἀδιαφόρους, κακο-
γνώμονας, βασκάνους, δειλούς, ἀνακεχωρηκότας, κακο-*
1235 *λόγους, φιλερήμους, φιλοθρήνους, ἀναιδεῖς, δεισιδαίμονας,
φιλομόχθους, ἀστόργους, ἐπιβουλευτικοὺς τῶν οἰκείων,
ἀνευφράντους, μισοσωμάτους. τῷ δὲ τοῦ Διὸς κατὰ τὸν ἐκ-* **12**
κείμενον τρόπον συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων πάλιν δια-

S **1225–1434** (§ 10–36) Dor. A II 14–33. Maneth. passim. Val. I 1,7–43. I 19. Val. App. I (= Anon. De planetis CCAG II [1900] p. 159–180; ~ Firm. math. VI 3–27). Firm. math. III 9–12 ‖ **1229–1230** *αὐστηρούς* Ap. III 14,13. IV 5,3. Firm. math. VIII 15,4 ‖ **1233** *μικρολόγους* Val. App. I 1 ‖ **1234** *βασκάνους* Val. I 2,67. al. (adde App. I 1) ‖ **1236** *ἐπιβουλευτικοὺς* Ap. II 3,31 (ubi plura). 9,11. Val. I 2,58. al. Firm. math. III 6,25. al.

1223 *κυρίαν* **VDγ** *τοιαύτην κυρίαν* **YMS** (quos secutus est Robbins) ‖ **1224** *ἐπεξελευσόμεθα* **Yβ** *ἐπελευσόμεθα* **Vγ** ‖ **1226** *Κρόνου*] ♄ add. **S** in margine | *ἀστὴρ* om. **Y** ‖ **1227** *τῆς σελήνης* (☾) **VYDSγ** Heph. *τοῦ τῆς σελήνης* **ΨMc** ‖ **1231** *περιθυσιαστικούς* **V** ‖ **1233** *σμικρολόγους* **MSc** | *μικροψύχους* **VYDγ** *σμικροψύχους* **S** om. **Mc** | *ἀδιαφόρους* **Yβγ** *διαφόρους* **V** | *κακογνώμονας* **VY** Procl. *μονογνώμονας* **βγ** Heph. ‖ **1235** *ἀναιδεῖς*] *ἀηδεῖς* Heph.

θέσεων ποιεῖ ἀγαθούς, τιμητικοὺς τῶν πρεσβυτέρων, καθ-εστῶτας, καλογνώμονας, ἐπικούρους, κριτικούς, φιλοκτήμο- 1240 *νας, μεγαλοψύχους, μεταδοτικούς, εὐπροαιρέτους, φιλοικεί-*
13 *ους, πρᾴους, συνετούς, ἀνεκτικούς, ἐμφιλοσόφους· ἐπὶ δὲ τῶν ἐναντίων ἀπειροκάλους, μανιώδεις, ψοφοδεεῖς, δεισι-δαίμονας, ἱεροφοιτοῦντας, ἐξαγορευτάς, ὑπόπτους, μισοτέκ-νους, ἀφίλους, ἐνδομύχους, ἀκρίτους, ἀπίστους, μωροκά-* 1245 *κους, ἰώδεις, ὑποκριτικούς, ἀδρανεῖς, ἀφιλοτίμους, μεταμε-λητικούς, αὐστηρούς, δυσεντεύκτους, δυσπροσίτους, εὐλα-*
14 *βητικούς, εὐήθεις δὲ ὁμοίως καὶ ἀνεξικάκους. τῷ δὲ τοῦ Ἄρεως συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ* m 159 *ἀδιαφόρους, ἐπιπόνους, παρρησιαστικούς, ὀχληρούς, θρα-* 1250 *συδείλους, αὐστηροπράκτους, ἀνελεήμονας, καταφρονητι-κούς, τραχεῖς, πολεμικούς, ῥιψοκινδύνους, φιλοθορύβους, δολίους, ἐνεδρευτάς, δυσμήνιδας, ἀδήκτους, ὀχλοκόπους, τυραννικούς, πλεονέκτας, μισοπολίτας, φιλέριδας, μνησι-*

S **1241** *μεγαλοψύχους* Ap. II 3,13 (ubi plura) ‖ **1242** *ἐμφιλο-σόφους* Ap. III 14,16.26.34. Critod. Ap. 11,1, cf. ad Ap. III 14,5 ‖ **1247** *αὐστηρούς* Ap. III 14,10 (ubi plura) ‖ **1248** *ἀνεξικά-κους* Val. I 19,9 (adde App. I 27). Rhet. A p. 161,18 ‖ **1253** *ἐν-εδρευτάς* Ap. III 14,19.30.31. Val. App. I 208.218

1239 *τῶν* om. **V** ‖ **1240** *κριτικούς* **VY** Procl. *ἀπίκρους κρι-τικούς* **MS** *κριτικούς, ἀπίκρους* **Dγ** ‖ **1243** *ψοφοειδεῖς* **V** ‖ **1244** *μισοτέχνους* **Y**, cf. 3,1324 necnon Critod. Ap. 7,2 app. ‖ **1245** *ἐνδομοίχους* **Y** | *ἀκριτικούς* **Y** | *μωροκάκους* **VDSγ** *ἀμω-ροκάκους* **Y** *μωροκάλους* **Mc** ‖ **1246** *ἀφιλοτίμους* **VYDγ** *φιλοτίμους* **MSc** ‖ **1247** *αὐστηρούς ... εὐλαβητικούς* **VDSγ** Procl. om. **YMc** | *δυσπροσίτους* **VDγ** *δυσπροαιρέτους* **S** | *εὐλαβητικούς* **VDγ** *εὐλαβητικούς, μελητικούς* **S** ‖ **1249** *Ἄρεως*] ♂ add. **S** in margine ‖ **1250** *ἀδιαφόρους*] *διαφώρους* **Y** ‖ **1251** *καταφρονητικούς* **VYS** *καταφρονητάς* **DMγ** ‖ **1253** *δυσ-μήνιδας* **VY** Heph. *δυσμηνίτας* **βγ** | *ἀδήκτους*] *ἀδεήτους* **m**, dubitanter probat Robbins

1255 *κάκους, βαθυπονήρους, δράστας, ἀνυποίστους, σοβαρούς, φορτικούς, καυχηματίας, κακώτας, ἀδίκους, ἀκαταφρονήτους, μισανθρώπους, ἀτρέπτους, ἀμεταθέτους, πολυπράγμονας, εὐαναστρόφους μέντοι καὶ πρακτικοὺς καὶ ἀκαταγωνίστους καὶ ὅλως ἐπιτευκτικούς· ἐπὶ δὲ τῶν ἐναντίων* 15
1260 *ἅρπαγας, ληστάς, νοθευτάς, κακοπαθεῖς, αἰσχροκερδεῖς, ἀθέους, ἀστόργους, ὑβριστάς, ἐπιβουλευτικούς, κλέπτας, ἐπιόρκους, μιαιφόνους, ἀθεμιτοφάγους, κακούργους, ἀν-*

S 1260 *ἅρπαγας, ληστάς* Ap. II 3,38. III 14,28. IV 4,7. Dor. G p. 350,1 (~ Dor. A II 15,28). Dor. (?) apud Horosc. L 440 CCAG VIII 4 (1921) p. 223,16. Maneth. I(V) 309. II(I) 302. IV 196.482. VI(III) 500. Critod. Ap. 2,5. 12,4. Ant. CCAG VII (1908) p. 117,28. Val. II 14,5. 41,28 (adde App. I 150. II 15). Firm. math. III 5,10. VI 31,6.66.83. Paul. Alex. 24 p. 67,18. Herm. Myst. p. 176,15.20. Rhet. C p. 183,15. Lib. Herm. 36,40 ‖ **1261** *ἀθέους* Ap. II 3,31 (ubi plura) | *ἐπιβουλευτικούς* Ap. II 3,31 (ubi plura) | *κλέπτας* Ap. II 9,16 (ubi plura). Maneth. I(V) 311. II(I) 302. IV 484. VI(III) 500. Val. I 1,21.37. II 11,2. 17,57 (adde App. I 150.208. II 15). Firm. math. III 5,10. 7,12 (~ Rhet. C p. 155,19). Paul. Alex. 24 p. 62,20. 72,12 ‖ **1262** *ἐπιόρκους* Ap. III 14,30.32.35. Maneth. II(I) 303. Val. I 1,22. II 17,57. al. (adde App. II 15). Firm. math. III 5,16. al. Rhet. C p. 193,3. 218,2. Anon. De stellis fixis II 5,2.3. 10,23.26 | *ἀθεμιτοφάγους* Maneth. IV 564. Val. IV 15,4 p. 174,24. Rhet. C p. 134,10. 196,5 | *κακούργους* Ap. IV 4,7.

1255 *ἀνυποίστους* **βBC** *ἀνυπίστους* **V** *ἀνοιπίστους* **YA** ‖ **1256** *φορτικούς* **VYDγ** *φοβερούς, φορτικούς* **MS**, cf. infra | *καυχηματίας* **VβAB** *καυχηματικούς* **Y** *καυμαχητίας* **C** | post *ἀδίκους*: *φοβερούς* add. **D** (post *ἀκαταφορήτους* add. **γ**, cf. supra) ‖ **1257** *ἀμεταθέτους* **Vβγ** *ἀκαταθέκτους* **Y** | *πολυπράγμονας* **VYDγ** *ἀπολυπράγμονας* **SM** ‖ **1261** *ἀθέους* **VYγ** Procl. *ἀθέτους* **βc** *ἀθέσμους* **m** ‖ **1262** *ἐπιόρκους μιαιφόνους* **VYMSAB** *μιαιφόνους* **D** *ἐπιμιαιφόνους* **C**

δροφόνους, φαρμακευτάς, ἱεροσύλους, ἀσεβεῖς, τυμβωρύ-
16 *χους καὶ ὅλως παγκάκους. τῷ δὲ τῆς Ἀφροδίτης συνοι-*
κειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ μισογυναίους, 1265
φιλαρχαίους, φιλερήμους, ἀηδεῖς πρὸς τὰς ἐντεύξεις,
ἀφιλοτίμους, μισοκάλους, φθονερούς, αὐστηροὺς πρὸς συν-
ουσίας, ἀσυμπεριφόρους, μονογνώμονας, φοιβαστικούς,
θρησκευτάς, μυστηρίων καὶ τελετῶν ἐπιθυμητάς, ἱεροποι-

(S) Dor. (?) apud Horosc. L 440 CCAG VIII 4 (1921) p. 223,15 (correctius ed. Pingree, Political Horoscopes 145). Maneth. II (I) 292–294. IV 233. Horosc. L 113,IV apud Heph. II 18,66. Val. I 2,54. II 11,2. 17,55. al. Firm. math. III 9,6. al. Paul. Alex. 24 p. 72,13 ‖ **1262–1263** *ἀνδροφόνους* Ap. III 14,32. IV 4,7. Maneth. II(I) 302. III(II) 215. IV 196. VI(III) 500. Critod. Ap. 12,4. Val. I 2,54. II 14,5. 41,28. al. Firm. math. I 2,10. III 13,6. IV 24,8. VI 31,6.66.83. VII 23,24.25 (~ Lib. Herm. 36,39.40). Paul. Alex. 24 p. 67,18. Herm. Myst. p. 176,15. Rhet. C p. 192,24–193,1. Anon. De stellis fixis II 10,26

S 1263 *φαρμακευτάς* Ap. III 14,19.32. IV 5,8. 7,8. 9,6.11. Teucr. II apud Anon. De stellis fixis I 8,3 (cf. I 3,2.10). Dor. G. p. 353,16 (excidit apud Dor. A). Maneth. II(I) 196. Val. I 2,54. al. (adde App. I 179 ~ Firm. math. VI 17,3). Firm. math. I 2,10. III 7,26. 9,6. IV 19,8. V 2,16. Paul. Alex. 24 p. 67,16–17. Lib. Herm. 27,24 (iuxta magos sim. ut 28,5. 32,44.60). 36,5, cf. Ap. III 13,19 | *ἱεροσύλους* Firm. math. III 13,6 ‖ **1263–1264** *τυμβωρύχους* Val. App. II 15. Rhet. C p. 192,22. 215,11 ‖ **1268** *φοιβαστικούς* Maneth. I(V) 237. IV 550. Val. II 37,13. Rhet. C p. 192,18. 193,17, cf. p. 137,1 ‖ **1269** *θρησκευτάς* Ap. IV 7,8. Val. II 33,9. Paul. Alex. 24

1263 *ἱεροσύλους, ἀσεβεῖς* **VDγ** *ἀσεβεῖς, ἱεροσύλους* **YMS** ‖ **1264** *ὅλως παγκάκους* **VY** Heph. *ὁλοπαγκάκους* **βγ** *παγκάκους* **c** | *Ἀφροδίτης*] ♀ **S** in margine ‖ **1266** *φιλαρχαίους* **VY** Procl. *φιλαρχίους* **S** *φιλάρχους* **DMγc** *φιλάνδρους* **m** ‖ **1267** *ἀστόργους* post *αὐστηροὺς* add. **MS**, post *συνουσίας* **Dγ** ‖ **1269** *ἐπιθυμητικάς* **M**

c 41ᵛ 1270 ούς, ἐνθεαστικούς, θεοπροσπλόκους, σεμνοὺς δὲ καὶ εὐεν-
m 160 τρέπτους, αἰδήμονας, ἐμφιλοσόφους, πιστοὺς πρὸς συμβιώ-
σεις, ἐγκρατεῖς, ἐπιλογιστικούς, εὐλαβεῖς, ἀγανακτητάς τε
καὶ πρὸς τὰς τῶν γυναικῶν ὑποψίας ζηλοτύπους· ἐπὶ δὲ **17**
τῶν ἐναντίων λάγνους, ἀσελγεῖς, αἰσχροποιούς, ἀδιαφόρους
1275 καὶ ἀκαθάρτους πρὸς τὰς συνουσίας, ἀνάγνους, ἐπιβουλευ-
τικοὺς θηλυκῶν προσώπων καὶ μάλιστα τῶν οἰκειοτάτων,
σαθρούς, παμψόγους, καταφερεῖς, μισοκάλους, μωμητι-
κούς, κακολόγους, μεθύσους, λατρευτικούς, ὑπονοθευτάς,

(**S**) p. 55,10 app. cr. 63,5 app. cr. Rhet. C p. 144,18 | *μυστηρίων* Ap. III 14,18.25.36. IV 7,7. Teucr. II apud Anon. De stellis fixis I 4,10. 10,8. Maneth. I(V) 59. II(I) 197–199. al. Val. I 19,20 (cf. Paul. Alex. 24 p. 64,7). 20,5. II 14,7. 17,38. al. Firm. math. III 7,7 (sim. Rhet. C p. 151,23/26). Anon. a. 379 p. 199,18. Rhet. C p. 145,16. 165,1. Anon. CCAG VIII 1 (1929) p. 183,32–33 || **1269–1270** *ἱεροποιούς* Rhet. C p. 215,2

S **1271** *ἐμφιλοσόφους* Ap. III 14,12 (ubi plura) || **1274** *λάγνους* Ap. III 14,25.30. 15,8.10. IV 5,16.19. Maneth. V(VI) 283. Val. I 3,48. II 38,47.63. Schol. Paul. 9 p. 105,7. Anon. L p. 110,7 | *ἀσελγεῖς* Rhet. C p. 215,22 || **1275–1276** *ἐπιβουλευτικοὺς* Ap. II 31,31 (ubi plura) || **1277** *καταφερεῖς* Ap. II 2,24 (ubi plura) || **1278** *μεθύσους* Ap. III 14,28. Maneth. IV 300. Ant. CCAG VII (1908) p. 117,27. Val. App. I 150

1270 *ἐνθεαστικάς* **M** | *θεοπροσπλόκους* **VYD** (cf. 2,433) *ἱεροπροσπλόκους* **MSγ** | *εὐτρέπτους* **Y** || **1271** *πρὸς συμβιώσεις* **YMS** (cf. l. 1275) *ἐνσυμβιώσεις* **VD** *ἐν συμβιώσεσιν* **γ** | postea *εὐσταθεῖς* add. **MSc** || **1273** *ἐπὶ*] *πρὸς* **MS**, cf. 2,672 || **1274** *αἰσχροποιούς* … *ἀνάγνους* post 1276 *οἰκειοτάτων* posuit **S** || **1275** post *πρὸς τὰς συνουσίας* interpunxit Robbins (cf. Heph.), antea Boer, cf. l. 1279 | *ἀνάγνους* **Yβγ** *ἀναγώους* **V** || **1277** *σαθρούς* **VY** Procl. *καθρούς* **G** *θρασεῖς* **βγ** Heph., cf. 3,1548 || **1278** post *κακολόγους*: *κακούργους* add. **Y**

ἀθεμίτους πρὸς τὰς συνελεύσεις, διατιθέντας καὶ διατιθεμένους οὐ μόνον πρὸς τὰ κατὰ φύσιν ἀλλὰ καὶ τὰ παρὰ 1280 *φύσιν, πρεσβυτέρων καὶ ἀτίμων καὶ παρανόμων καὶ θηριωδῶν μίξεων ἐπιθυμητάς, ἀσεβεῖς, θεῶν καταφρονητικούς, μυστηρίων καὶ ἱερῶν διασυρτικούς, πάμπαν ἀπίστους,*
18 *διαβολικούς, φαρμάκους, παντοποιούς. τῷ δὲ τοῦ Ἑρμοῦ συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ περιέρ-* 1285 *γους, φιλοπεύστας, νομίμων ζητητικούς, φιλιάτρους, μυστικούς, μετόχους ἀποκρύφων καὶ ἀπορρήτων, τερατουργούς, παραλογιστάς, ἐφημεροβίους, ἐντρεχεῖς, διοικητικοὺς πραγμάτων καὶ ἀγχίφρονας, περιπίκρους καὶ ἀκριβεῖς, νήπτας,*
19 *φιλόφρονας, φιλοπράκτους, ἐπιτευκτικούς· ἐπὶ δὲ τῶν* 1290

S **1280–1281** *κατὰ φύσιν ... παρὰ φύσιν* Ap. III 15,8 || **1282–1283** *ἀσεβεῖς, θεῶν καταφρονητικούς* Val. I 20,9. II 41,92. IV 15,4. Firm. math. III 7,18. 13,6. IV 12,3. V 6,9. Paul. Alex. 24 p. 67,15–16. Rhet. C p. 148,16. 164,7. 179,21. Lib. Herm. 36,43. Anon. De stellis fixis II 10,26 || **1284–1290** (§ 18) Horosc. Const. 7,3 || **1286–1287** *μυστικούς* Ap. III 14,5 (ubi plura) || **1287** *ἀποκρύφων καὶ ἀπορρήτων* Val. I 2,19.50. 19,4. II 20,36. 37,43. Rhet. C p. 131,13. 151,26. 176,16–17. Anon. CCAG VIII 1 (1929) p. 183,32–33

1279 *ἀθεμίτους* **VGDSγ** Heph. *ἀθεμήτους* **Y** *ἀθεμίτως* (ad *διατιθέντας* referendum) **Mc** om. Procl. | post *πρὸς τὰς συνελεύσεις* interpunxit Robbins (cf. Heph.), antea Boer, cf. l. 1275 || **1280** *τὰ κατὰ* **VY** *τὸ κατὰ* **βγ** | *τὰ παρὰ* **VY** *τὸ παρὰ* **β** *πρὸς τὸ παρὰ* **γ** || **1283** *πάμπαν ἀπίστους* **βγ** *καναπιστάς* **VY** || **1284** *φαρμάκους* scripsi cum **V** ut 4,143 *φαρμακούς* edd. | *παντοποιούς* **βγ** *καιοι*(?) *παντοποιούς* **Y** *παντοίους* **V** | *Ἑρμοῦ*] ☿ **S** in margine || **1286** *φιλοπεύστας* om. **V** | *ζητητικούς*] *ζηλωτικούς* **Y** || **1289** *καὶ* utrobique **VDγ** om. **YMS** | *καὶ* alterum solum om. **γ** || **1290** *φιλόφρονας* **Y** (recepit Robbins coll. *φιλοφρονητικούς* Procl.) *φιλοφρόνους* **V** (maluit Boer) *φιλοπόνους* **βγc** Heph. haud scio an recte

ἐναντίων ληρώδεις, μνησικάκους, νηλεεῖς ταῖς ψυχαῖς, ἐπι-
m 161 *μόχθους, μισοϊδίους, φιλοβασάνους, ἀνευφράντους, νυκτι-*
ρέμβους, ἐνεδρευτάς, προδότας, ἀσυμπαθεῖς, κλέπτας, μα-
γικούς, φαρμακευτάς, πλαστογράφους, ῥᾳδιουργούς, ἀπο-
1295 *τευκτικούς τε καὶ εὐεμπτώτους.*
ὁ δὲ τοῦ Διὸς ἀστὴρ μόνος τὴν οἰκοδεσποτείαν τῆς ψυ- **20**
χῆς λαβὼν ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ μεγαλοψύ-
χους, χαριστικούς, θεοσεβεῖς, τιμητικούς, ἀπολαυστικούς,

S 1292–1293 *νυκτιρέμβους* Val. I 3,29, cf. Dor. apud Heph. II 21,28 ‖ **1293** *ἐνεδρευτάς* Ap. III 14,14 (ubi plura) | *κλέπτας* Ap. III 14,15 (ubi plura) ‖ **1293–1294** *μαγικούς* Ap. II 3,34 (ubi plura) ‖ **1294** *φαρμακευτάς* Ap. III 14,15 (ubi plura) | *πλαστογράφους* Ap. III 14,32. IV 4,7. Dor. G p. 353,16 (excidit apud Dor. A). Maneth. II(I) 305. IV 75.233. V(VI) 239. Val. I 3,29. 19,22 (adde App. I 208). Firm. math. III 27,6 (~ Rhet. C p. 131,13). Paul. Alex. 24 p. 62,20. 67,17. Rhet. C p. 161,26. 179,22–23. 183,15. 193,3. 218,2. Apom. Myst. III 55 CCAG XI 1 (1932) p. 183,11, cf. Euseb. praep. evang. VI 10,30 | *ῥᾳδιουργούς* Ap. III 14,23. IV 4,7. Val. IV 22,14 ‖ **1297–1298** *μεγαλοψύχους* Ap. II 3,13 (ubi plura)

1291 *ληρώδεις*] *ἰώδεις* Heph. | *νηλεεῖς* **βγ** *μηλίους* **VY** | post *ταῖς ψυχαῖς* interpunxit Robbins, antea Boer ‖ **1292** *φιλοβασάνους* **VYDSγ** Procl. *φιλοβασκάνους* **Mc** *φιλοβαναύσους* Heph. | *νυκτιρέμβους* Heph. (cf. *νυκτιρρέμβους* **γ**) ut corr. Boer *νυκτερέμβους* **VYD** (cf. Val. I 3,29: corr. Kroll) *νυκτεριρέμβους* **ΣMSc** *νυκτοβίους* Procl. ‖ **1294** *ἀποικτικούς* **V** ‖ **1295** *εὐεμπτώτους* **αβAB** *εὐεπτώτους* **V** *εὐμεμπτώτους* **C** *εὐεκπτώτους* **c**, cf. 3,1376 ‖ **1296** *Διός*] ♃ **S** in margine | *τῆς ψυχῆς λαβὼν* **Yβγ** *τῆν* [sic] *ψυχῆς λαβὼν* **V** *λαβὼν τῆς ψυχῆς* **Σ** (cf. *λαβὼν … τῆς ψυχῆς* Heph.), cf. 3,1353 sq. ‖ **1297** *ἐνδόξων διαθέσεων* **VYDγ** Heph. *ἐνδόξου διαθέσεως* **ΣMS** Procl. (praetulit Boer), cf. 3,1354

φιλανθρώπους, μεγαλοπρεπεῖς, ἐλευθερίους, δικαίους, μεγαλόφρονας, σεμνούς, ἰδιοπράγμονας, ἐλεήμονας, φιλο- 1300
21 *λόγους, εὐεργετικούς, φιλοστόργους, ἡγεμονικούς. ἐπὶ δὲ τῆς ἐναντίας διαθέσεως τυγχάνων τὰς ὁμοίας μὲν φαντασίας περιποιεῖ ταῖς ψυχαῖς, ἐπὶ τὸ ταπεινότερον μέντοι καὶ ἀνεπιφαντότερον καὶ ἀκριτώτερον· οἷον ἀντὶ μὲν μεγαλοψυχίας ἀσωτίαν, ἀντὶ δὲ θεοσεβείας δεισιδαιμονίαν, ἀντὶ* 1305 *δὲ αἰδοῦς δειλίαν, ἀντὶ δὲ σεμνότητος οἴησιν, ἀντὶ δὲ φιλανθρωπίας εὐήθειαν, ἀντὶ δὲ φιλοκαλίας φιληδονίαν, ἀντὶ δὲ μεγαλοφροσύνης βλακείαν, ἀντὶ δὲ ἐλευθεριότητος*
22 *ἀδιαφορίαν, καὶ ὅσα τούτοις παραπλήσια. τῷ δε τοῦ Ἄρεως συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ* 1310 *τραχεῖς, μαχίμους, στρατηγικούς, διοικητικούς, κεκινημένους, ἀνυποτάκτους, θερμούς, παραβόλους, παρρησιαστάς,*

S **1300–1301** *φιλολόγους* Ap. III 14,26 (cf. IV 10,3). Val. I 2,19. 3,43. al. (cf. I 1,39). Maneth. I(V) 305. Ps.Ant. CCAG VII (1908) p. 117,17. Firm. math. III 7,25 (~ Rhet. C p. 131,9 et 157,25). Horosc. L 440 CCAG VIII 4 (1921) p. 221–223 (correctius Pingree, Political Horoscopes 144–145). Steph. philos. CCAG II (1900) p. 190,36 || **1301** *ἡγεμονικούς* Val. I 3,50. 19,25. al. Pap. Tebt. 276,14.36 || **1311** *στρατηγικούς* Ap. II 3,38 (ubi plura)

1299 *ἐλευθερίους* **Y** Procl. (cf. l. 1308) *ἐλευθέρους* **Σβ** om. **Vγ** | *δικαίους* **αMS** Procl. om. **V**, post l. 1300 *σεμνούς* posuerunt **Dγ** || **1300** *φιλολόγους* **ΣMS** Procl. *ἐμφιλολόγους* **VDγ** *φιλοσόφους* **Y** || **1301** *εὐεργετικούς* **VY** Procl. *εὑρετικούς* **Σβγc** || **1303** *περιποιεῖται* **ΓΣc** | *ταπεινὸν* **Y** || **1308** *μεγαλοφροσύνης* **αMS** Heph. Procl. *σοφροσύνης* **V** *σωφροσύνης* **Dγ** || **1310** *Ἄρεως*] ♂ **S** in margine || **1311** *κεκινημένους*] *κε* sequente lacuna **V** om. Procl. || **1312** *παρρησιαστὰς πρακτικούς* **VαD** *πρακτικοὺς παρρησιαστάς* **MS** *παρρησιαστικοὺς πρακτικούς* **γ**

m 162 *πρακτικούς, ἐλεγκτικούς, ἀνυστικούς, φιλονείκους, ἀρχικούς, εὐεπιβούλους, ἐπιεικεῖς, ἐπάνδρους, νικητικούς, με-*
c 42 1315 *γαλοψύχους δὲ καὶ φιλοτίμους καὶ θυμικοὺς καὶ κριτικοὺς καὶ ἐπιτευκτικούς· ἐπὶ δὲ τῶν ἐναντίων ὑβριστάς, ἀδια-* **23**
φόρους, ὠμούς, ἀνεξιλάστους, στασιαστάς, ἐριστικούς, μονοτόνους, διαβόλους, οἰηματίας, πλεονέκτας, ἅρπαγας, ταχυμεταβόλους, κούφους, μεταμελητικούς, ἀστάτους,
1320 *προπετεῖς, ἀπίστους, ἀκρίτους, ἀγνώμονας, ἐκστατικούς, ἐμπατάκτους, μεμψιμοίρους, ἀσώτους, ληρώδεις καὶ ὅλως ἀνωμάλους καὶ παρακεκινημένους. τῷ δὲ τῆς Ἀφροδίτης* **24**
συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ καθαρίους, ἀπολαυστικούς, φιλοκάλους, φιλοτέκνους, φιλοθεώρους,
1325 *φιλομούσους, ᾠδικούς, φιλοτρόφους, εὐήθεις, εὐεργετικούς,*

S 1314–1315 *μεγαλοψύχους* Ap. II 3,13 (ubi plura) ‖ **1315** *φιλοτίμους* Ap. III 14,3 (ubi plura) ‖ **1324** *φιλοτέκνους* Ap. III 14,29.33. IV 5,3. Val. I 3,37. Paul. Alex. 24 p. 67,6 (-τεχ- trad.) ‖ **1325** *φιλομούσους* Ap. II 3,19 (ubi plura)

1313 *ἐλεγκτικούς* **VDγ** *ἀλεγκτικούς* **S** *ἀλεκτικούς* **M** *ἐλεκτικούς* **Σ** om. **Y** | *ἀνυστικούς* **VYDγ** *ἀνυτικούς* **ΣMS** *ἀνοστικούς* Heph. (cod. P) ‖ **1314** *εὐεπιβούλους ... νικητικούς* om. **V** ‖ **1316** *καὶ ἐπιτευκτικούς* om. **Y** ‖ **1318** *μονοτόνους* **MS** Procl., cf. l. 1357 *μονοπόνους* **VYDγ** (recepit Boer) *μονοτρόπους* **Σc** om. Heph. ‖ **1319** *ἀστάτους προπετεῖς* **VDγ** Procl. *προπετεῖς ἀστάτους περιπετεῖς ἀστάτους* **Y** ‖ **1320** *ἐκστατικούς* **VY** Procl. *στασιαστικοὺς ἐκστατικούς* **Σβγ** ‖ **1321** *ἐμπατάκτους* **VY** (cf. l. 1389) *ἐπιτακτικοὺς εὐπατάκτους* **βγc** *ἐπιτευκτικοὺς εὐπατάκτους* **Σ** *ἐμπράκτους* Procl. (recepit Robbins) | *ὅλως*] *ἄλλως* **Σ** ‖ **1322** *Ἀφροδίτης*] ♀ **S** in margine ‖ **1323** *καθαρούς* **Σ** ‖ **1324** post *φιλοκάλους*: *φιλιδίους* (i. *φιληδίους*?) *καὶ* add. **Y** | *φιλοτέκνους* **VYγ** Heph. *φιλοτέχνους* **Σβ**, cf. l. 1244 | *φιλοθεώρους*] *φιλοθέους* **Y** (v. infra) ‖ **1325** *φιλοτρύφους* **m**, sed cf. l. 1332

ἐλεητικούς, ἀκάκους, φιλοθέους, ἀσκητάς, φιλαγωνιστάς, φρονίμους, φιλητικούς, ἐπαφροδίτους ἐν τῷ σεμνῷ, λαμπροψύχους, εὐγνώμονας, μεταδοτικούς, φιλογραμμάτους, κριτικούς, συμμέτρους καὶ εὐσχήμονας πρὸς τὰ ἀφροδίσια, φιλοικείους, εὐσεβεῖς, φιλοδικαίους, φιλοτίμους, φιλο- 1330
25 *δόξους καὶ ὅλως καλούς τε καὶ ἀγαθούς· ἐπὶ δὲ τῶν ἐναντίων τρυφητάς, ἡδυβίους, θηλυψύχους, ὀρχηστικούς, γυναικοθύμους, δαπάνους, καταγυναίους, ἐρωτικούς, λάγνους, καταφερεῖς, λοιδόρους, μοιχούς, φιλοκόσμους, ὑπο-*

S **1326** *ἐλεητικούς* Ap. III 14,13. Serv. Aen. I 314 || **1330** *φιλοτίμους* cf. Ap. III 14,3 (ubi plura) || **1332** *τρυφητάς* Ap. II 3,20 (ubi plura) | *θηλυψύχους* Manil. V 151 (~ Firm. math. VIII 7,2–3). Val. II 33,10 | *ὀρχηστικούς* Ap. II 3,24 (ubi plura) || **1333–1334** *λάγνους* Ap. III 14,17 (ubi plura) || **1334** *καταφερεῖς* Ap. II 3,24 (ubi plura) | *μοιχούς* Ap. III 14,30. 15,8. IV 4,7. 5,5.8. 7,8. Maneth. I(V) 23. III(II) 194–197.329–331. IV 304–305.349–350.495. V(VI) 283. Plut. aud. poet. 4 p. 19[E]. Ant. CCAG VII (1908) p. 117,28. Val. I 1,21. 3,27. 20,8. II 38,

1326 *ἐλεητικούς* **V** (cf. *ἐλεήμονας* Procl.) *ἐλεγκτικούς* **βγc** *ἐλεκτικούς* **Σ** om. **Y** | *φιλοθέους* hic om. **Y** (v. supra) | *φιλοθέους ... φιλητικούς* om. **A** || **1329** *εὐσχήμονας* **VYDSAB** (sed *αἰ-* suprascriptum) *αἰσχήμονας* **ΣMC** | *τὰ* **V** om. **αβγ** || **1330** *φιλοικείους* **S** *φιλικείους* **V** *φιλοικίους* **Y** *φιλικίους* **G** *φιλονείκους* **ΣMγc** *φιλονίκους* **D** | *φιλοτίμους* **αβγ** *φιλοκώμους* **V** || **1331** *καλούς τε καὶ ἀγαθούς* **VY** *καλοκαγάθους* **Σβγ** || **1332** *ἡδυβίους* om. **V** lacuna relicta | *θηλυψύχους* **αMS** Heph. *μεγαλοψύχους* **VDγ** || **1333** *δαπάνους*] *δαπανηρούς* **Y** Procl. | *καταγυναίους* **V** *κατὰ γυναίων* **Y** *καὶ γυναίων* **G** *καὶ γυναίους* **Σβγc** *κακογυναίους* Procl. (recepit Robbins) || **1334** *λοιδόρους, μοιχούς* Procl. (recepit Robbins) *λοιδόρους* **VDBC** *λοιδώρους* **A** *μοιχούς* **αMSc** (praetulit Boer) | *ὑπομαλάκους* **VGDSγ** *ὑπομαλλάκους* **Y** *φιλομαλάκους* **ΣMc**

163 1335 *μαλάκους, ῥαθύμους, ἀσώτους, ἐπιμώμους, ἐμπαθεῖς, καλλωπιστάς, γυναικονοήμονας, ἱερῶν ἐγκατόχους, προαγωγικούς, μυστηριακούς, πιστοὺς μέντοι καὶ ἀπονήρους καὶ ἐπιχαρίτους καὶ εὐπροσίτους καὶ εὐδιαγώγους καὶ πρὸς τὰς συμφορὰς ἐλευθεριωτέρους. τῷ δὲ τοῦ Ἑρμοῦ συνοι-* **26**
1340 *κειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ πολυγραμμάτους, φιλολόγους, γεωμέτρας, μαθηματικούς, ποιητικούς, δημηγορικούς, εὐφυεῖς, σωφρονικούς, ἀγαθόφρονας, καλο-*

(S) 32.35.39–41.47 (adde App. II 15). Pap. Tebt. 276,16. Plotin. Enn. II 3,6. Firm. math. I 2,10. Heph. II 21,33 (aliter Dor. A II 1,20). Rhet. A p. 149,1–3 (cf. Rhet. C p. 195,3/8. 215,21). Eustath. in Hom. Od. 8,367 p. 1597,60 | *φιλοκόσμους* Ap. II 3,24 (ubi plura)

S **1337** *μυστηριακούς* Ap. III 14,5 (ubi plura) || **1341** *φιλολόγους* Ap. III 14,20 (ubi plura) | *γεωμέτρας* Maneth. IV 210 (~ Lib. Herm. 34,29). Critod. Ap. 6,1. Val. I 1,37. II 17,37.55 (adde App. I 205. II 35). Euseb. praep. evang. VI 10,31. Firm. math. III 7,1.9.25 (~ Rhet. C p. 131,10). VIII 25,7. Apom. myst. III 55 CCAG XI 1 (1932) p. 183,7. III 56 ibid. p. 184,1. Anon. De stellis fixis VI 1,1 | *μαθηματικούς* Ap. II 3,28. III 14,36. Maneth. IV 210. Ant. CCAG VII (1908) p. 118,12. Rhet. C p. 215,3. 218,4

1335 *ἐπιμώμους* Y Procl. *ἐπιβώμους* V *φιλομώμους ὑπομώρους* **ΣMSc** *φιλομώρους* **Dγ** || **1337** post *μυστηριακούς*: *μοιχούς* iteravit **Y** || **1338** *εὐπροσίτους* **VΣDγ** *εὐπροαιρέτους* **Y** *εὐπροέτους* **MS** | postea *πιστοὺς* add. **ΣMc** | *εὐδιαγώγους* **VαDγ** *εὐδιαγώνους* **MS** || **1339** *συμφορὰς* V Procl. *περισυμφορὰς* **G** *περισυμφωρας* **Y** *ἐπιφορὰς* **ΣDMγc** *περιφορὰς* **S** | *Ἑρμοῦ*] ☿ **S** in margine || **1340** *πολυγραμμάτους* **VDγ** Procl. *φιλογραμμάτους* **αMSc** | postea *πολυπραγμάτους φιλοπράκτους* add. **Y** || **1341** *γεωμέτρας* **VY** Heph. Procl. *φιλογεωμέτρας* **Σβγc** || **1342** *σωφρονητικούς* **S**

συμβούλους, πολιτικούς, εὐεργετικούς, ἐπιτροπικούς, χρηστοήθεις, φιλοδώρους, φιλόχλους, εὐεπιβούλους, ἐπιτευκτικούς, ἡγεμονικούς, εὐσεβεῖς, φιλοθέους, εὐχρηματίστους, 1345 *φιλοστόργους, φιλοικείους, εὐπαιδεύτους, ἐμφιλοσόφους,*

27 *ἀξιωματικούς· ἐπὶ δὲ τῶν ἐναντίων εὐήθεις, ληρώδεις, σφαλλομένους, εὐκαταφρονήτους, ἐνθουσιαστικούς, θεοπροσπλόκους, φληνάφους, ὑποπίκρους, προσποιησισόφους, ἀνοήτους, ἀλαζονικούς, ἐπιτηδευτάς, μαγευτικούς, ὑποκεκι-* 1350 *νημένους, πολυίστορας δὲ καὶ μνημονικοὺς καὶ διδασκαλικοὺς καὶ καθαρίους ταῖς ἐπιθυμίαις.*

28 *ὁ δὲ τοῦ Ἄρεως ἀστὴρ μόνος τὴν οἰκοδεσποτείαν τῆς ψυχῆς λαβὼν ἐπὶ μὲν ἐνδόξου διαθέσεως ποιεῖ γενναίους,*

S 1346 *ἐμφιλοσόφους* Ap. III 14,12 (ubi plura) ‖ **1348** *ἐνθουσιαστικούς* cf. Ap. IV 4,8 ‖ **1350** *μαγευτικούς* Ap. II 3,34 (ubi plura) ‖ **1351–1352** *διδασκαλικοὺς* Ap. IV 4,3.6. 10,7. Maneth. II(I) 254–255.300. III(II) 98–99.325. IV 179. VI(III) 350–352.478. Val. I 1,40. Pap. It. 157,34. Firm. math. III 7,25 (~ Rhet. C p. 131,10). Schol. Paul. 76,2 p. 126,19

1343 *εὐεργετικούς ... χρηστοήθεις* om. **Y** ‖ **1344** *εὐεπιβούλους* **αDc** (cf. 2,104. 3,1408) *ἐπιβόλους* **V** *εὐεπηβόλους* **MS** (recepit Robbins) *εὐεπιβόλους* **γ** fort. recte, cf. Val. I 19,5 *εὐεπίβολοι* (at App. I 30 *εὐεπίβουλοι*) | *ἐπιτευκτικούς*] *εὐεπιτέκτους* **V**, cf. l. 1367 ‖ **1346** *εὐπαιδεύτους*] *εὐπεδεύτας* **V** ‖ **1347** post *ἐναντίων*: *διαθέσεων* add. **γ** | *συνήθεις* **V** ‖ **1348** *θεοπροσπλόκους* **βγ** Procl. *θεοπροσπλώκους* **Y** *θεοπλόκους* **V** (ut Rhet. C p. 166,6.11) *θεοπροσπόλους* **Σc**, cf. 2,433 ‖ **1349** *προσποιησισόφους* **MS** *προσποιήσεις σοφούς* **V** *πρὸς ποίησει σοφούς* **Y**[τ] *προσποιησόφους* **Σc** *προσποιήτους σοφούς* **D** *προσποιήτους σοφούς* **B** *προσποιητ(ους) σοφούς* **C** ‖ **1350** *ἀλαζόνας* **Σ** | *μαγευτικάς* **Σ** ‖ **1351** *καὶ διδασκαλικοὺς* om. **V** ‖ **1352** *καθαρείους* **S** ‖ **1353** *Ἄρεως*] ♂ **S** in margine ‖ **1354** *λαβὼν τῆς ψυχῆς* **γ**, cf. l. 1296 | *ἐνδόξου διαθέσεως* **VΣDMγ** *ἐνδόξων διαθέσεων* **YS**, cf. l. 1297. al.

1355 *ἀρχικούς, θυμικούς, φιλόπλους, πολυτρόπους, σθεναρούς, παραβόλους, ῥιψοκινδύνους, ἀνυποτάκτους, ἀδιαφόρους, μονοτόνους, ὀξεῖς, αὐθάδεις, καταφρονητικούς, τυραννικούς, δράστας, ὀργίλους, ἡγεμονικούς· ἐπὶ δὲ τῆς ἐναντίας*
m 164 *ὠμούς, ὑβριστάς, φιλαίμους, φιλοθορύβους, δαπάνους,*
1360 *κραυγαστάς, πλήκτας, προπετεῖς, μεθύσους, ἅρπαγας, ἀν-*
c 42ᵛ *ελεήμονας, κακούργους, τεταραγμένους, μανιώδεις, μισοικείους, ἀθέους. τῷ δὲ τῆς Ἀφροδίτης συνοικειωθεὶς ἐπὶ* 29 *μὲν ἐνδόξων διαθέσεων ποιεῖ ἐπιχάριτας, εὐδιαγώγους, φιλεταίρους, ἡδυβίους, εὐφροσύνους, παιγνιώδεις, ἀφελεῖς,*
1365 *εὐρύθμους, φιλορχηστάς, ἐρωτικούς, φιλοτέκνους, μιμητικούς, ἀπολαυστικούς, διασκευαστάς, ἐπάνδρους καὶ εὐκαταφόρους μὲν πρὸς τὰς ἀφροδισιακὰς ἁμαρτίας, ἐπιτευκ-*

S **1355** *φιλόπλους* Ap. II 3,13 (ubi plura) || **1356** *ῥιψοκινδύνους* Ap. II 3,44 (ubi plura) || **1360** *μεθύσους* Ap. III 14,17 (ubi plura) | *ἅρπαγας* Ap. III 14,15 (ubi plura) || **1362** *ἀθέους* Ap. II 3,31 (ubi plura) || **1365** *φιλοτέκνους* Ap. III 14,24 (ubi plura) || **1365–1366** *μιμητικούς* Manil. V 479–485. Val. I 3,46. Firm. math. VIII 8,1. Schol. Paul. 76,2 p. 126,26. Rhet. C p. 217,7. Anon. De stellis fixis II 10,3

1355 *φιλόπλους* **VYβγ** (cf. *φιλοπολέμους* Procl.) *φιλοπλούτους* **Σc** | *πολυτρόπους* **VG** Procl. *πολλυτρόπους* **Y** *πολυτρόφους* **Σβ** (**D** e correctura) **γc** || **1357** *ὀξεῖς δράστας* **M** || **1360** *κραυγαστάς* **Y** *κραυγάσους* **V** *κραυγάζους* **Σβc** *κραυγαστικούς* **γ** Procl. | *πλήκτας ... μεθύσους* om. **Y** | *ἀνελεήμονας, κακούργους* **VDγ** *κακούργους, ἀνελεήμονας* **αMS** || **1361** *μισοικείους* **Vβγ** *μησηκίους* **Y** *μεσοικείους* **Σ** || **1362** *Ἀφροδίτης*] ♀ **S** in margine || **1363** *ἐπιχάριτας* **VY** (cf. l. 1410) *ἐπιχάρους* **Σβ** *ἐπιχαρεῖς* **γ** | postea *καὶ* add. **VDγ** || **1364** *εὐφροσύνας* **V** || **1365** *φιλοτέκνους* **VΣβγc** *φιλοτέχνους* **Y** Procl., cf. l. 1244 || **1366** *διασκευαστάς* om. **Y** | *ἐπάνδρους*] *ἀνάνδρους* **V** || **1367** *ἀφροδισιαστικάς* **Dγ** | *εὐεπιτευκτικούς* **V**, cf. l. 1344

*τικοὺς δὲ καὶ εὐπεριστόλους καὶ νουνεχεῖς καὶ δυσεξ-
ελέγκτους καὶ διακριτικούς, ἔτι δὲ νέων ἐπιθυμητικοὺς ἀρ-
ρένων τε καὶ θηλειῶν, δαπάνους τε καὶ ὀξυθύμους καὶ ζη-* 1370
30 *λοτύπους· ἐπὶ δὲ τῶν ἐναντίων ῥιψοφθάλμους, λάγνους,
καταφερεῖς, ἀδιαφόρους, διασύρτας, μοιχικούς, ὑβριστάς,
ψεύστας, δολοπλόκους, ὑπονοθευτὰς οἰκείων τε καὶ ἀλλο-
τρίων, ὀξεῖς ἅμα καὶ προσκορεῖς πρὸς τὰς ἐπιθυμίας,
διαφθορεῖς γυναικῶν καὶ παρθένων, παραβόλους, θερμούς,* 1375
*ἀτάκτους, ἐνεδρευτάς, ἐπιόρκους, εὐεμπτώτους τε καὶ φρε-
νοβλαβεῖς, ἐνίοτε δὲ καὶ ἀσώτους, φιλοκόσμους καὶ θρα-*
31 *σεῖς καὶ διατιθεμένους καὶ ἀσελγαίνοντας. τῷ δὲ τοῦ Ἑρ-
μοῦ συνοικειωθεὶς ἐπὶ μὲν ἐνδόξων διαθέσεων ποιεῖ στρα-*

S **1371** *λάγνους* Ap. III 14,17 (ubi plura) ‖ **1372** *καταφερεῖς* Ap. II 3,24 (ubi plura) | *μοιχικούς* Ap. III 14,25 (ubi plura) ‖ **1373** *ψεύστας* Ap. III 14,32.35.36. Val. I 2,58. II 17,55 (adde App. I 164–165.207). Paul. Alex. 24 p. 67,15. Rhet. C p. 183, 15. 218,2 ‖ **1376** *ἐνεδρευτάς* Ap. III 14,14 (ubi plura) | *ἐπιόρκους* Ap. III 14,15 (ubi plura) ‖ **1377** *φιλοκόσμους* Ap. II 3,24 (ubi plura)

1368 *δυσεξελέγκτους* **ΣMS** *δυσεξελέκτους* **Y** *δυσελεγχκτικούς* **V** *δυσελεγκτικούς* **Dγ** *δυσελέγκτους* Robbins tacite ‖ **1369** *διακριτικούς* **VYDγ** Procl. (recepit Robbins) *ἀδιακρίτους* **ΣMSc** (praetulit Boer) | *ἐπιθυμητικοὺς* om. **Y** ‖ **1370** *θηλυκῶν* **Σ** ‖ **1371** *ἐναντίων διαθέσεων* **γ** ‖ **1372** *ἀδιαφόρους* **αMS** om. **VDγ** (non recepit Boer) ‖ **1373** *ψεύστας ... ὑπονοθευτὰς* **VαDγ** om. **MS** | *δουλοπλόκους* **D** ‖ **1374** *προσκώρους* **Y** | *ἐπιθυμίας* **αβ** *ἐπιθυμιτάς* **V** *ἐπιθυμητάς* **γ** ‖ **1375** *διαφθορὲ* **V** ‖ **1376** *ἀτάκτους*] *ἀτύπους* **c** *ἀτόπους* **m** | *εὐεμπτώτους ... ἀσώτους* om. **S** | *εὐεπτώτους* **V** *εὐεκπτώτους* Feraboli, sed cf. l. 1295 ‖ **1377** *ἀσώτους* **VDγ** Procl. *αὐτῷ τοὺς* **Y** *αὐτοὺς* **ΣMc** ‖ **1378** post *ἀσελγαίνοντας*: *ἀπεργάζεται* add. **Σβγc** om. praeter cett. etiam Procl. | *Ἑρμοῦ*] ☿ **S** in margine

m 165 1380 *τηγικούς, δεινούς, δράστας, εὐκινήτους, ἀκαταφρονήτους, πολυτρόπους, εὑρετικούς, σοφιστάς, ἐπιπόνους, πανούργους, προγλώσσους, ἐπιθετικούς, δολίους, ἀστάτους, μεθοδευτάς, κακοτέχνους, ὀξύφρονας, ἐξαπατητάς, ὑποκριτικούς, ἐνεδρευτάς, κακοτρόπους, πολυπράγμονας, φιλοπονή-*
1385 *ρους, ἐπιτευκτικοὺς δ' ἄλλως καὶ πρὸς τοὺς ὁμοίους εὐσυνθέτους καὶ εὐσυνδεξιάστους καὶ ὅλως ἐχθρῶν μὲν βλαπτικούς, φίλων δὲ εὐποιητικούς· ἐπὶ δὲ τῶν ἐναντίων δαπά-* 32 *νους, πλεονέκτας, ὠμούς, παραβόλους, τολμηρούς, μεταμελητικούς, ἐμπατάκτους, παρακεκινημένους, ψεύστας, κλέπ-*
1390 *τας, ἀθέους, ἐπιόρκους, ἐπιθέτας, στασιαστάς, ἐμπρηστάς, θεατροκόπους, ἐφυβρίστους, ληστρικούς, τοιχωρύχους, μιαι-*

S **1380** *εὐκινήτους* Ap. I 4,7 (ubi plura) || **1381** *σοφιστάς* Ap. IV 4,3. Maneth. I(V) 303–304. IV 203–204. V(VI) 244. Ant. CCAG VII (1908) p. 117,17. Val. App. I 120. Schol. Paul. 76,1 p. 125,25. 76,2 p. 126,18. Rhet. C p. 147,19–20. 214,21, cf. 218,4 || **1381–1382** *πανούργους* Ap. II 3,30 (ubi plura) || **1382** *προγλώσσους* cf. Ps.Ptol. Karp. 38 || **1384** *ἐνεδρευτάς* Ap. III 14,14 (ubi plura) || **1389** *ψεύστας* Ap. III 14,30 (ubi plura) || **1389–1390** *κλέπτας* Ap. III 14,15 (ubi plura) || **1390** *ἀθέους* Ap. II 3,31 (ubi plura) | *ἐπιόρκους* Ap. III 14,15 (ubi plura) || **1391** *ληστρικούς* Ap. II 9,16 (ubi plura) | *τοιχωρύχους* Val. App. II 15

1380 *δεινούς ... ἀκαταφρονήτους* om. **Y** | *δεινούς* **VSγ** *δειλούς* **ΣDMc** Procl. | *εὐκινήτους* om. **γ** || **1381** *εὑρετικούς* **YMSγ** *ἐρετικούς* **V** *εὐεκτικούς* **Σc** *εὐεργετικούς* **D** | *ἐπιπόνους*] *ἐπιμόνους* **Y** || **1382** *μεθοδευτικούς* **V** || **1383** *ἐξαπατητικούς* **Y** || **1385** *ἐπιτευκτικοὺς*] *ἐπὶ...κοὺς* **V** || **1388** *πλεονέκτους* **Σ** || **1389** *ἐμπατάκτους* **ΣMSc** *ἐμπαράκτους* **V** *ἐμπράκτους* **YDγ** *εὐπαράκτους* temptavit Robbins, cf. l. 1321 || **1391** *ἐφυβρίστους, ληστρικούς* om. **Y** Procl. | *ἐφυβρίστους* **VΣβABc** (de **C** non liquet) *ἐφυβρίστας* **m** | *τοιχωρύχους* **VDγ** Procl. *τοιχορύχους* **Y** *τυμβωρύχους* **ΣMSc** *τυμβορύχους* **G**, cf. l. 1263

φόνους, πλαστογράφους, ῥᾳδιουργούς, γόητας, μάγους, φαρμάκους, ἀνδροφόνους.
33 *ὁ δὲ τῆς Ἀφροδίτης μόνος τὴν οἰκοδεσποτείαν τῆς ψυχῆς λαβὼν ἐπὶ μὲν ἐνδόξου διαθέσεως ποιεῖ προσηνεῖς,* 1395 *ἀγαθούς, τρυφητάς, λογίους, καθαρίους, εὐφροσύνους, φιλορχηστάς, καλοζήλους, μισοπονήρους, φιλοτέκνους, φιλοθεωτάτους, εὐσχήμονας, εὐεκτικούς, εὐονείρους, φιλοστόργους, εὐεργετικούς, ἐλεήμονας, σικχούς, εὐσυναλλάκτους, ἐπιτευκτικοὺς καὶ ὅλως ἐπαφροδίτους· ἐπὶ δὲ τῆς ἐναντίας* 1400 *ῥᾳθύμους, ἐρωτικούς, τεθηλυσμένους, γυναικώδεις, ἀτόλμους, ἀδιαφόρους, καταφερεῖς, ἐπιψόγους, ἀνεπιφάντους,* m 166
34 *ἐπονειδίστους. τῷ δὲ τοῦ Ἑρμοῦ συνοικειωθεὶς ἐπὶ μὲν*

S **1392** *πλαστογράφους* Ap. III 14,19 (ubi plura). Maneth. II (I) 305 | *ῥᾳδιουργούς* Ap. III 14,19 (ubi plura) | *γόητας* Ap. IV 4,4. Rhet. C p. 193,5 | *μάγους* Ap. II 3,34 (ubi plura) || **1393** *φαρμάκους* Ap. III 14,15 (ubi plura) | *ἀνδροφόνους* Ap. III 14,15 (ubi plura) || **1396** *τρυφητάς* Ap. II 3,20 (ubi plura) || **1397** *φιλοτέκνους* Ap. III 14,24 (ubi plura) || **1399** *ἐλεήμονας* Ap. III 14,24 (ubi plura) || **1402** *καταφερεῖς* Ap. II 3,24 (ubi plura)

1394 *τῆς Ἀφροδίτης*] *τοῦ Ἑρμοῦ* **M** (cf. 1,556) ♀ add. **S** in margine | *τῆς ψυχῆς* om. **V** Procl. || **1395** *ἐνδόξων διαθέσεων* **Y** ut l. 1354. al. || **1396** *λογίους* **VDγ** Procl. *λογικούς* **Y** *κοινούς, ἐλλογίμους* **ΣMSc** | *εὐφροσύνους* **VYDγ** om. **MS**, post *κακοζήλους* transposuit **Σ** || **1397** *καλοζήλους* **VYDγ** *κακοζήλους* **ΣMSc** Procl. | *φιλοτέκνους* scripsi coll. l. 1324 necnon l. 1404 (idem error ut vid. Paul. Alex. 24 p. 67,6) *φιλοτέχνους* **αMSγc** *καὶ φιλοτέχνους* **VD** | *φιλοθεωτάτους, εὐσχήμονας* **VDγ** *εὐσχήμονας, φιλοθεωτάτους* **α** (*-θεο-* **Y**) **MS** || **1398** *εὐκτικούς* **YMS** | *ἐνονείρους* **V** || **1399** *σικχούς* om. **ΣDc** || **1400** *ἐπιτευκτικοὺς* om. **Y** | *τῶν ἐναντίων* **Y**, cf. l. 1414 || **1401** *εὐτόλμους* **Y** || **1402** *ἀνεπιψόγους* **Σ** | *ἀνεφάντους* **V** || **1403** *Ἑρμοῦ*] ☿ **S** in margine

ἐνδόξων διαθέσεων ποιεῖ φιλοτέχνους, ἐμφιλοσόφους, ἐπι-
c 43 1405 *στημονικούς, εὐφυεῖς, ποιητικούς, φιλομούσους, φιλοκά-*
λους, χρηστοήθεις, ἀπολαυστικούς, τρυφεροδιαίτους, εὐ-
φροσύνους, φιλοφίλους, εὐσεβεῖς, συνετούς, πολυμηχάνους,
διανοητικούς, εὐεπιβούλους, κατορθωτικούς, ταχυμαθεῖς,
αὐτοδιδάκτους, ζηλωτὰς τῶν ἀρίστων, μιμητὰς τῶν καλῶν,
1410 *εὐστόμους καὶ ἐπιχάριτας τῷ λόγῳ, ἐρασμίους, εὐαρμό-*
στους τοῖς ἤθεσι, σπουδαίους, φιλάθλους, ὀρθούς, κριτι-
κούς, μεγαλόφρονας, τῶν δὲ ἀφροδισίων πρὸς μὲν τὰ γυ-
ναικεῖα φυλακτικούς, πρὸς δὲ τὰ παιδικὰ μᾶλλον κεκινη-
μένους καὶ ζηλοτύπους· ἐπὶ δὲ τῆς ἐναντίας ἐπιθέτας, πο- 35

S **1404** *φιλοτέχνους* Val. I 3,34 | *ἐμφιλοσόφους* Ap. III 14,12 (ubi plura) || **1405** *ποιητικούς* Manil. IV 158–159. Dor. A II 19,27. 27,6. Maneth. II(I) 338. Val. II 17,60. Firm. math. III 12,1 | *φιλομούσους* Ap. II 3,19 (ubi plura) || **1406** *τρυφεροδιαί-τους* Ap. II 3,20 (ubi plura) || **1413** *τὰ παιδικὰ* Ap. IV 5,5.17. Val. II 38,4. Firm. math. I 2,11. III 6,6 (paulo aliter Rhet. C p. 151,22). 6,28. al. Paul. Alex. 24 p. 62,17. Rhet. C p. 194,10–14. 195,10. 198,18, cf. ad II 3,14

1404 *τῶν ἐνδόξων* **Y** | *φιλοτέχνους* **Vγ** *φιλοτέκνους* **Y** (cf. l. 1397) *χειροτέχνους* **Σβ** || **1406** *τρυφεροδιαίτους* **VDγ** *τρυ-φαιροδιέτους* **Y** *τριφεροδιέτους* **G** *τρυφεροέτους* **MS** *τρυ-φερούς* **Σc** *τρυφεροβίους* Procl. || **1407** post *εὐφροσύνους*: *φι-λοσόφους* add. **ΣMc** || **1408** *εὐεπιβούλους* **VY** *εὐεπηβόλους* **Σ** *εὐεπηβόλους* **MS** *εὐεπιβόλους* **Dγc** (recepit Robbins), cf. 2,104. 3,1344 | *ταχυμαθεῖς* **YDγ** *ταχ' ἠμαθεῖς* **V** *ταχυμα-θεῖς, φιλομαθεῖς* **Σc** *ταχυφιλομαθεῖς* **MS** || **1409** *μιμητὰς* **VYDSγ** Procl. *ζηλωτὰς* repetunt **ΣMc** || **1410** *ἐπιχάριτας* **VY** (cf. l. 1363) *ἐπιχαρίτους* **Σβ** (cf. l. 1338 necnon 4,242) *ἐπιχαριεῖς* **γ** || **1411** post *τοῖς ἤθεσι* interpunxit Robbins, antea Boer | *ὀρθούς* om. **ΣMSc** || **1412** *γυναικεῖα* **VYDγ** *γυναικικὰ* **ΣMS** || **1414** *ζητύπους* **V** | *τῶν ἐναντίων* **γ**, cf. l. 1400

λυμηχάνους, κακοστόμους, ἀλλοπροσάλλους, κακογνώμο- 1415
νας, ἐξαπατητάς, κυκητάς, ψεύστας, διαβόλους, ἐπιόρκους,
βαθυπονήρους, ἐπιβουλευτικούς, ἀσυνθέτους, ἀδεξιάστους,
νοθευτάς, γυναικῶν διαφθορέας καὶ παίδων, ἔτι δὲ καλλ-
ωπιστάς, ὑπομαλάκους, ἐπιψόγους, κακοφήμους, πολυ-
θρυλλήτους, παντοπράξους καὶ ἐνίοτε μὲν ἐπὶ διαφθορᾷ τὰ 1420
τοιαῦτα ὑποκρινομένους, ἐνίοτε δὲ καὶ ταῖς ἀληθείαις δια-
τιθεμένους τε καὶ αἰσχροποιοῦντας καὶ ποικίλοις πάθεσιν
ὑβριζομένους.

36 *ὁ δὲ τοῦ Ἑρμοῦ ἀστὴρ μόνος τὴν οἰκοδεσποτείαν τῆς* m 167
ψυχῆς λαβὼν ἐπὶ μὲν ἐνδόξου διαθέσεως ποιεῖ τοὺς γεννω- 1425
μένους συνετούς, ἀγχίνους, νοήμονας, πολυίστορας, εὑρετι-
κούς, ἐμπείρους, λογικούς, φυσιολόγους, θεωρητικούς, εὐ-

S **1415** *ἀλλοπροσάλλους* Ap. II 3,30 (ubi plura) || **1416** *ψεύστας* Ap. III 14,30 (ubi plura) | *ἐπιόρκους* Ap. III 14,15 (ubi plura) || **1417** *ἐπιβουλευτικούς* Ap. II 3,31 (ubi plura) || **1419–1420** *πολυθρυλλήτους* Dor. A II 15,33. Val. I 20,34 (~ App. X 27) || **1427** *λογικούς* Ap. II 3,19 (ubi plura)

1416 *ἐξαπατητικούς* **Y** | *ἐπιόρκους* **VΣDMγ** Procl. *ἐπιόρμους* **YS** || **1417** *ἐπιβουλευτικτούς* **V** | *ἀδεξιάστους* **VYγ** *ἀσυνδεξιάστους* **Σβ** || **1419** *ἐπιψόγους* **VGDγ** Procl. *ἐπιψώγους* **Y** *κακοψόγους* **ΣMSc** | *πολυθρυλλήτους* **MSBC** *πολυθρηλλήτους* **VYDA** *πολυθρηλλύτους* **Σ**, cf. l. 1500 || **1420** *παντοπράξους* **VYDM** (recepit Robbins) *παντοπράκτας* **ΣSc** (maluit Boer fort. recte, cf. vocem *ἐκπράκτης*) *παντοπράκτους* **γ** *πάντα ἐπιχειροῦντας* Procl. | *ἐπὶ*] *ὑπὸ* **V**, cf. 1,81 | *ἐπὶ* ... *ἐνίοτε δὲ* om. **Y** || **1423** *ὑβριζομένους* **αDMC** *μεριζομένους* **V** *συμμεριζομένης* **AB** (corr. in margine) || **1424** *Ἑρμοῦ*] ☿ **S** in margine | *μόνος* om. **S** | *λαβὼν τῆς ψυχῆς* **Σ** || **1425** *ἐνδόξων διαθέσεων* **Y** ut l. 1354. al. || **1426** *ἀχίνους* **D** || **1427** *λογικούς* **VY** *λογιστικούς* **βγ** *λογιστικούς, εὐστίχους* **Σ** | *φυσιολόγους* **VΣDMγ** *φυσιολογικούς* **YS** | *θεωρητικούς* **V** Procl. post l. 1428 *εὐστόχους* posuerunt **ΣMS**, om. **YDγ**

φυεῖς, ζηλωτικούς, εὐεργετικούς, ἐπιλογιστικούς, εὐστόχους, μαθηματικούς, μυστηριακούς, ἐπιτευκτικούς· ἐπὶ δὲ τῆς
1430 *ἐναντίας πανούργους, προπετεῖς, ἐπιλήσμονας, ὁρμητάς, κούφους, εὐμεταβόλους, μεταμελητικούς, μωροκάκους, ἄφρονας, ἁμαρτωλούς, ψεύστας, ἀδιαφόρους, ἀστάτους, ἀπίστους, πλεονέκτας, ἀδίκους καὶ ὅλως σφαλερούς τε τῇ διανοίᾳ καὶ καταφόρους τοῖς ἁμαρτήμασι.*
1435 *τούτων δὲ οὕτως ἐχόντων συμβάλλεται μέντοι καὶ αὐτὴ* 37 *ἡ τῆς σελήνης κατάστασις, ἐπειδήπερ ἐν μὲν τοῖς ἐπικαμπίοις τυγχάνουσα (τοῦ τε νοτίου καὶ βορείου πέρατος) συνεργεῖ τοῖς ψυχικοῖς ἰδιώμασιν ἐπὶ τὸ πολυτροπώτερον καὶ τὸ πολυμηχανώτερον καὶ εὐμεταβολώτερον, ἐπὶ δὲ τῶν*
1440 *συνδέσμων ἐπὶ τὸ ὀξύτερον καὶ πρακτικώτερον καὶ εὐκινητότερον· ἔτι δὲ ἐν μὲν ταῖς ἀνατολαῖς καὶ ταῖς τῶν φώτων*

T **1435–1453** (§ 37–38) Heph. II 15,19–20

S **1429** *μαθηματικούς* Ap. III 14,26 (ubi plura) | *μυστηριακούς* Ap. III 14,5 (ubi plura) ‖ **1432** *ψεύστας* Ap. III 14,30 (ubi plura) ‖ **1435–1453** (§ 37–38) Val. I 1,1–6, cf. 19,24–25 ‖ **1441–1443** Horosc. Const. 7,4

1430 *ὁρμητάς* Σ (correctum ex *ὁρμητικούς*) **βγ** *ὁρμηματίας* **VY** (recepit Robbins) *ὁρμητικούς* Σ (ante corr.) **m** *ὁρμητικάς* **c** ‖ **1431** *μεταμεληματικούς* **V** ‖ **1432** *ἁμαρτωλούς*] *ἀφιλοκάλλους* **Y** | *ἀπίστους, ἀστάτους* **Y** ‖ **1435** *αὐτὴ ἡ* **VDγ** *ἡ αὐτῆς* **αMSc** ‖ **1436** *ἐν*] *ἐπὶ* **Y** Heph. | *τοῖς ἐπικαμπίοις* **Σβc** (cf. Synt. VIII 1 p. 136,16) *ταῖς καμπίαις* **V** Procl. (recepit Boer) *τοῖς ἐπικαμπτίοις* **Y** *τοῖς καμπίοις* **γ** Heph. fort recte, cf. 3, 1071 ‖ **1437** *νοτίου καὶ βορείου* **Vαβ** Heph. *βορείου καὶ νοτίου* **γ** ‖ **1438** *ψυχικοῖς* **VYDγ** Heph. *τῆς ψυχῆς* **ΣΜ** *ψυχῆς* **S** ‖ **1439** *καὶ τὸ*] *ἐπὶ τὸ* **V** | *εὐμεταβολώτερον* **VYSγ** *ἐπὶ τὸ εὐμεταβολώτερον* **ΣDM**

αὐξήσεσιν ἐπὶ τὸ εὐφυέστερον καὶ προφανέστερον καὶ βεβαιότερον καὶ παρρησιαστικώτερον, ἐν δὲ ταῖς μειώσεσι τῶν φώτων ἢ ταῖς κρύψεσιν ἐπὶ τὸ νωχελέστερον καὶ ἀμβλύτερον καὶ μεταμελητικώτερον καὶ εὐλαβέστερον καὶ 1445 m 168
38 *ἀνεπιφανέστερον. συμβάλλεται δὲ καὶ ὁ ἥλιος συνοικειωθείς πως τῷ τῆς ψυχικῆς κράσεως οἰκοδεσποτήσαντι κατὰ* c 43v *μὲν τὸ ἔνδοξον πάλιν τῆς διαθέσεως ἐπὶ τὸ δικαιότερον καὶ ἀνυτικώτερον καὶ τιμητικώτερον καὶ σεμνότερον καὶ θεοσεβέστερον, κατὰ δὲ τὸ ἐναντίον καὶ ἀνοίκειον ἐπὶ τὸ* 1450 *ταπεινότερον καὶ ἐπιπονώτερον καὶ ἀσημότερον καὶ ὠμότερον καὶ μονογνωμονέστερον καὶ αὐστηρότερον καὶ δυσδιαγωγότερον καὶ ὅλως ἐπὶ τὸ δυσκατορθώτερον.*

S 1448 *ἔνδοξον* Dor. A II 14,5. 19,5 ‖ **1449** *τιμητικώτερον* Dor. A II 14,5.15. 19,26 ‖ **1451** *ταπεινότερον* Dor. A II 15,6

1442 *προφανέστερον* **VYSγ** Heph. *προφανώτερον* **ΣDM**, cf. l. 1446 ‖ **1443** *ταῖς μειώσεσι* **Gβγ** Heph. Procl. *ταῖς μοιώσεσι* **Y** *ταῖς βιώσεσιν* **V** *τοῖς οἰκειώσεσι* **Σc** ‖ **1444** *τὸ νωχελέστερον*] *τὸν ὠλοσχερέστερον* **V** ‖ **1445** *καὶ μεταμελητικώτερον καὶ εὐλαβέστερον* om. **Y** ‖ **1446** *ἀνεπιφανέστερον* **Σβγ** (cf. l. 1442) *ἀνεπιφανότερον* **VY** | *δὲ* **ΣMS** Heph. *δέ πως* **VYDγ** | *ὁ ἥλιος*] *ὅλως* **V** ‖ **1447** *πως* om. **Y** (quem secutus est Robbins) | *ψυχῆς* Heph. (cod. **P**) | *κράσεως*] *ὁράσεως* **D** ‖ **1449** *ἀνυτικώτερον καὶ* om. **Y** | *ἀνυτικώτερον* **VΣβc** *ἀνυστικώτερον* **γ** Heph. | *ἠθικώτερον* **m** | *τιμητικώτερον καὶ* om. **αMSc** ‖ **1449–1451** *καὶ θεοσεβέστερον … ταπεινότερον* om. **Y** ‖ **1451** *ταπεινέστερον* **S** | *ἀσημότερον* Robbins *ἀσημώτερον* **V** *ἀσημιότερον* **Y** *ἀσημειότερον* **G** *ἀσεμνότερον* **Σβγc** (recepit Boer, sed cf. *ἀφανέστερον* Procl.) | *καὶ ὠμότερον* hic praebent **VYDγ**, post 1452 *αὐστηρότερον* **Σc**, om. **MS**

ιε′. Περὶ παθῶν ψυχικῶν

1455 *Ἐπεὶ δὲ τοῖς τῆς ψυχῆς ἰδιώμασιν ἀκολουθεῖ πως καὶ ὁ* 1
περὶ τῶν ἐξαιρέτων αὐτῆς παθῶν λόγος, καθόλου μὲν πά-
λιν ἐπισημαίνεσθαι καὶ παρατηρεῖν προσήκει τόν τε τοῦ
Ἑρμοῦ ἀστέρα καὶ τὴν σελήνην, πῶς ἔχουσι πρός τε ἀλλή-
λους καὶ τὰ κέντρα καὶ τοὺς πρὸς κάκωσιν οἰκείους τῶν
1460 *ἀστέρων· ὡς ἐάν τε αὐτοὶ ἀσύνδετοι ὄντες πρὸς ἀλλήλους,*
ἐάν τε πρὸς τὸν ἀνατολικὸν ὁρίζοντα καθυπερτερηθῶσιν ἢ
ἐμπερισχεθῶσιν ἢ διαμηκισθῶσιν ὑπὸ τῶν ἀνοικείως καὶ
βλαπτικῶς ἐσχηματισμένων, ποικίλων παθῶν περὶ τὰς ψυ-
χικὰς ἰδιοτροπίας συμπιπτόντων εἰσὶ ποιητικοί, τῆς διακρί-
1465 *σεως αὐτῶν πάλιν θεωρουμένης ἀπὸ τῆς προκατειλημμέ-*
νης τῶν τοῖς τόποις συνοικειωθέντων ἀστέρων ἰδιοτροπίας.
m 169 *τὰ μὲν οὖν πλεῖστα τῶν μετριωτέρων παθῶν σχεδὸν καὶ* 2
ἐν τοῖς ἔμπροσθεν περὶ τῶν τῆς ψυχῆς ἰδιωμάτων ῥηθεῖσι
διακέκριται, τῆς ἐπιτάσεως αὐτῶν ἐκ τῆς τῶν κακούντων
1470 *ὑπερβολῆς συνορᾶσθαι δυναμένης, ἐπειδήπερ ἤδη τις ἂν*

T 1467–1566 (§ 2–12) Heph. II 16,2–12 (sed excidit in codice unico p. 169,20 -*ζοντα* – p. 172,15 *μόνος*)

S 1458 *Ἑρμοῦ … σελήνην* Ps.Ptol. Karp. 70. Firm. math. III 5,32 | *Ἑρμοῦ* Ap. III 14,1 (ubi plura)

1454 *περὶ παθῶν ψυχικῶν* **VαDγ** Heph. *περὶ ποιότητος ψυχῆς* **M** *ἐπίσκεψις τῶν ψυχικῶν παθῶν* **S**^{2} in margine ‖ **1455** *ἐπεὶ*] *πει* spatio litterae initiali relicto **Y** ‖ **1460** *αὐτοὶ ἀσύνδετοι* **VDγ** *ἀσύνδετοι αὐτοὶ* **MS** ‖ **1462** *διαμηλυσθῶσιν* **Σ** | *ἀνοικείως* **VYDγ** *ἀνοικείων* **ΣMS** ‖ **1464** *διακράσεως* **Σc** *δυσκρασίας* **m** ‖ **1465** *δεωρουμένης* **V** ‖ **1468** *ῥηθεῖσι* om. **Y** ‖ **1469** *διακέκριται* **VY** Heph. *διακέκριταί πως* **Σβγ** (quos secutus est Robbins) ‖ **1470** *ἤδη* om. **V**

εἰκότως εἴποι πάθη καὶ τὰ ἄκρα τῶν ἠθῶν καὶ ἤτοι ἐλλείποντα ἢ καὶ πλεονάζοντα τῆς μεσότητος· τὰ δὲ ἐξαίρετον ἔχοντα τὴν ἀμετρίαν καὶ ὥσπερ νοσηματώδη καὶ παρὰ ὅλην τὴν φύσιν (περί τε αὐτὸ τὸ διανοητικὸν τῆς ψυχῆς μέρος καὶ περὶ τὸ παθητικόν) ὡς ἐν τύπῳ τοιαύτης ἔτυχε 1475 *παρατηρήσεως.*

3 *ἐπιληπτικοὶ μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ γίνονται, ὅσοι (τῆς σελήνης καὶ τοῦ τοῦ Ἑρμοῦ, ὥσπερ εἴπομεν, ἢ ἀλλήλοις ἢ τῷ ἀνατολικῷ ὁρίζοντι ἀσυνδέτων ὄντων) τὸν μὲν τοῦ Κρόνου ἡμέρας, τὸν δὲ τοῦ Ἄρεως νυκτὸς ἔχουσιν ἐπίκεν-* 1480 *τρον καὶ κατοπτεύοντα τὸ προκείμενον σχῆμα· μανιώδεις δέ, ὅταν ἐπὶ τῶν αὐτῶν ἀνάπαλιν ὁ μὲν τοῦ Κρόνου νυκτός, ὁ δὲ τοῦ Ἄρεως ἡμέρας, κεκυριευκὼς ᾖ τοῦ σχήματος,*

S **1477–1513** (§ 3–6) Dor. A IV 1,115–121. Maneth. VI (III) 554–610. al. || **1477** *ἐπιληπτικοὶ* Ap. III 13,17 (ubi plura) || **1481** *μανιώδεις* Ap. III 14,5. Dor. A IV 1,112. Maneth. I(V) 231. IV 82.216.539. VI(III) 378.493.557.573. Ant. CCAG VII (1908) p. 112,12. Val. II 37,17. al. Firm. math. III 4,11 (~ Rhet. C p. 151,12). Paul. Alex. 35 p. 95,2. Rhet. C p. 192,8–194,8. Lib. Herm. 26,43.53.73 || **1482–1483** *Κρόνου νυκτός ... Ἄρεως ἡμέρας* (cf. Ap. I 7,2) Ps.Ptol. Karp. 70

1471 *ἄκρα τῶν* **Σβ** Heph. *ἄκρα τὰ τῶν* **Vγ** (*ἄκρατα τῶν* legit Robbins, cf. *ἄκρατα ἤθη* Procl.) *ἀκράτητα* **Y** *ἀκρότατα* **G** | *ἤτοι* **VYDBC** *ἢ* **ΣMSA** *εἴ τι* Heph. (cod. **P**) || **1472** *καὶ* om. **S** | *ἐξαίροντα* **Σc** || **1473** *καὶ* ante *παρὰ* om. **Ac** || **1474** *περί τε αὐτὸ* **V** *καὶ περὶ αὐτὸ* **Y** (recepit Boer) *καὶ παρ' ὅλον* **Σβγc** *καὶ περί τε αὐτὸ* Robbins || **1478** *ἢ* ante *ἀλλήλοις* **V** om. **αβγ** | *ἀλλήλοις*] *πρὸς ἀλλήλων* **Σ** || **1479** *ἀσυνδέτων* hic praebent **VY**, post l. 1478 *Ἑρμοῦ* anticipant **Σβγ** | *ὄντων* hic praebent **VY**, post *Ἑρμοῦ ἀσυνδέτων* **D**, post *ἀλλήλοις* **ΣMSγ** || **1483** *κεκυριευκὼς ᾖ*] *κυριεύουσι* **Y**

καὶ μάλιστα ἐν Καρκίνῳ ἢ Παρθένῳ ἢ Ἰχθύσι· δαιμονιό-
1485 *πληκτοι δὲ καὶ ὑγροκέφαλοι, ὅταν οὕτως ἔχοντες οἱ κακο-*
ποιοῦντες ἐπὶ φάσεως οὖσαν κατέχωσι τὴν σελήνην (ὁ μὲν
τοῦ Κρόνου συνοδεύουσαν, ὁ δὲ τοῦ Ἄρεως πανσεληνιά-
ζουσαν), μάλιστα δὲ ἐν Τοξότῃ καὶ Ἰχθύσι. μόνοι μὲν οὖν **4**
οἱ κακοποιοὶ κατὰ τὸν προειρημένον τρόπον τὴν ἐπικράτη-
c 44 1490 *σιν τοῦ σχήματος λαβόντες ἀνίατα μέν, ἀνεπίφαντα δὲ*
m 170 *ὅμως καὶ ἀπαραδειγμάτιστα ποιοῦσι τὰ προκείμενα τοῦ*
διανοητικοῦ τῆς ψυχῆς νοσήματα. συνοικειωθέντων δὲ τῶν
ἀγαθοποιῶν (Διός τε καὶ Ἀφροδίτης) ἐπὶ μὲν τῶν λιβυκῶν
μερῶν ὄντες αὐτοὶ τῶν ἀγαθοποιῶν ἐν τοῖς ἀπηλιωτικοῖς
1495 *κεκεντρωμένων ἰάσιμα μέν, εὐπαραδειγμάτιστα δὲ ποιοῦσι*
τὰ πάθη· ἐπὶ μὲν τοῦ τοῦ Διὸς διὰ θεραπειῶν ἰατρικῶν
καὶ ἤτοι διαιτητικῆς ἀγωγῆς ἢ φαρμακείας, ἐπὶ δὲ τοῦ

S 1484–1485 *δαιμονιόπληκτοι* Ap. III 15,5–6. Firm. math. III 5,32. 6,17 (~ Rhet. C p. 165,15). VI 11,10. VIII 24,9. Rhet. C p. 148,1–2. 164,11. 193,15. al. Lib. Herm. 26,43.53.73 || **1492–1496** Ap. III 13,19 (ubi plura) || **1496** *θεραπειῶν ἰατρικῶν* Ap. III 13,19 (ubi plura) || **1497** *φαρμακείας* cf. Ap. III 13,19 (ubi plura)

1484 *Παρθένῳ*] siglum Capricorni **D**, cf. 1,948 || **1485** *προκέφαλοι* **Y** || **1486** *ἐπὶ φάσεως οὖσαν* Boer Robbins *ἐπιφάσεως οὖσαν* **V** (cf. *ἐπιφάσεως οὖσα* Procl.) *ἐπιφάσεως ἰοὺς ἂν* **Y** *ἐπιφάσεως οὓς ἂν* **G** *ἐπὶ φῶς ἰοῦσαν* **Σγc** *ἐπὶ φῶς οὖσαν* **DM** *οὕτω θέσεως ἔχουσαν* **S** || **1487** *συνοδεύσασαν* **V** || **1488** *τῷ τοξότῃ* **S** || **1489** *προειρημένον* **V** (cf. Procl.) *προκείμενον* **αβγ** || **1491** post *προκείμενα*: *πάθη καὶ τὰ* add. **Σβγc** || **1493** *Διὶ καὶ Ἀφροδίτῃ* **V** || **1494** *ἀγαθοιῶν* **Σ** | *ἀπηλιωτικοῖς* **β** *ἀφηλιωτικοῖς* **Vγ** *ἀπιλιωτικοῖς* **Y** *ἀγαθοποιοῖς* **Σc** *ἀνατολικοῖς* **m** || **1495** *εὐπαραδειγμάτιστα* **VYS** (cf. *ἐπιφανῆ* Procl.) *ἀπαραδειγμάτιστα* **ΣDMγc** || **1496** *τοῦ τοῦ* **VSγ** *τῶν τοῦ* **ΣDM** *τοῦ* **Y** || **1497** *ἤτοι* **Vβγ** *εἴ τι* **Σ** *τοῦ* **Y** | *διαιτητικῆς* Boer Robbins (cf. *ὑπὸ διαίτης* Procl.) *διαιτικῆς* **V** *διαγητικῆς* **Y** *ἰατρικῆς* **Σβγc**

S 196 *μετρητικὰς* Manil. IV 205–208. Maneth. IV 279. Pap. Tebt. 277,2 || **196–197** *γεωργικὰς* Ap. IV 2,2 (ubi plura) || **197** *ἱερατικάς* Ap. IV 4,8 (ubi plura) | *χερσαῖα* Ap. III 13,17 (ubi plura) | *κάθυγρα* Manil. II 223–225. Val. I 2,33.55.57.78. al. Firm. math. III 3,11. Heph. I 1,61.179. Anon. L p. 106,8. Anon. S l. 15.16.33.45.50.52.54 || **198** *βοτανικὰς* Teucr. II apud Anon. De stellis fixis I 3,2.10. 8,3. Manil. V 643–644 (~ Firm. math. VIII 17,3). Ant. CCAG VII (1908) p. 118,7. Firm. math. III 3,11. 9,2. VIII 13,3. Rhet. C p. 217,22. Steph. philos. CCAG II (1900) p. 191,24 || **198–199** *ναυπηγικάς* Ap. IV 4,5 (ubi plura) || **199** *ταφὰς ἢ ταριχείας* Ap. IV 4,8 (ubi plura) | *ἁλείας* Teucr. II apud Anon. De stellis fixis I 1,7. Manil. V 682–693 (~ Firm. math. VIII 17,5). Maneth. IV 267–269. VI(III) 459–464. Heph. III 5,74

196 *μετρητικὰς* **VG** *μετρικὰς* **Y** Heph. *γεωμετρικὰς* **ΣβBCc** (cf. Rhet. C p. 210,2) om. **A** | *καὶ γεωργικὰς* om. **YA** Heph. Rhet. C p. 210,2 || **198** *ἢ* **ΣMSγ** Heph. *καὶ* **Y** (recepit Boer) om. **VD** | *βοτανικὰς*] *συντανοκὰς* **Y** *συντανικὰς* **Φ** | *τὰς ναυπηγικάς* **V** || **199** *ἔτι* **VΣβγ** Heph. *πρὸς* **Y** | *δὲ* **Σc** Heph. *τε* **VYβγ** (minus perspicue *ἔτῆε'* **B**) Boer Robbins | *περὶ* om. **Y** | *ἢ ψυλλίας* om. **Y** (non recepit Robbins tacite: est vox inaudita) || **200** *ἡ σελήνη ἐὰν* **VDγ** (recepit Robbins, cf. *ἡ σελήνη ὅταν* Heph.) *ἐὰν ἡ σελήνη* **ΣMS** (praetulit Boer) *ἐὰν ἡ* ☾ *καὶ* **Y** | *τὸν πρακτικὸν τόπον* **VDSγ** Heph. (cf. *τὸν τῆς πράξεως τόπον* Procl.) *τῶν πρακτικῶν τόπων* **Y** *τὸν προσθετικὸν τόπον* **ΣMc** || **202** *τῷ τοῦ ταύρου* **ΣM**, cf. 1,999 sq. | *καὶ καρκίνῳ καὶ αἰγοκέρωτι* secundum signiferi ordinem **Y**

ποιεῖ μάντεις, θύτας, λεκανομάντεις, ἐν δὲ Τοξότῃ καὶ Ἰχθύσιν νεκρομάντεις καὶ δαιμόνων κινητικούς, ἐν δὲ Παρ-
m 182 205 *θένῳ καὶ Σκορπίῳ μάγους, ἀστρολόγους, ἀποφθεγγομένους, προγνώσεις ἔχοντας, ἐν δὲ Ζυγῷ καὶ Κριῷ καὶ Λέοντι θεολήπτους, ὀνειροκρίτας, ἐφορκιστάς.*

τὸ μὲν οὖν αὐτῶν τῶν πράξεων εἶδος διὰ τῶν τοιούτων **11** *κατὰ τὸ συγκρατικὸν εἶδος δεήσει καταστοχάζεσθαι, τὸ δὲ*
210 *μέγεθος αὐτῶν ἐκ τῆς τῶν οἰκοδεσποτησάντων ἀστέρων δυνάμεως· ἀνατολικοὶ μὲν γὰρ ὄντες ἢ ἐπίκεντροι ποιοῦσι τὰς πράξεις αὐθεντικάς, δυτικοὶ δὲ ἢ ἀποκεκλικότες τῶν κέντρων ὑποτακτικάς, καὶ ὑπὸ μὲν ἀγαθοποιῶν καθυπερτερούμενοι μεγάλας καὶ ἐπιδόξους καὶ ἐπικερδεῖς καὶ*

S 203 *μάντεις, θύτας* Ap. IV 4,3 (ubi plura) | *λεκανομάντεις* Maneth. IV 213 || **204** *νεκρομάντεις* Maneth. IV 213. Firm. math. I 2,10. Rhet. C p. 193,5. Lib. Herm. 26,77 || **205** *μάγους* Ap. II 3,34 (ubi plura) | *ἀστρολόγους* Ap. III 14,5 (ubi plura) || **205–206** *ἀποφθεγγομένους* eqs. Ap. III 9,4 (ubi plura) || **206** *προγνώσεις ἔχοντας* Apom. Myst. III 55 CCAG XI 1 (1932) p. 183,4 || **207** *θεολήπτους* Maneth. IV 548. VI(III) 378. Val. II 37,72. V 1,16. Firm. math. III 5,15 (~ Rhet. C p. 147,22). 7,19 (~ Rhet. C p. 148,15) | *ὀνειροκρίτας* Ap. III 14,5 (ubi plura) | *ἐφορκιστάς* Maneth. V(VI) 303. Firm. math. III 4,27 (~ Rhet. C p. 147,21. 165,11). 8,9

203 *μάντεις θύτας* **αMS** Heph. *μαντευτὰς* **VDγ** || **204** *νεκρομάντεις* **V** *νεκυομάντεις* **αβγ** *νεκειομάντεις* Heph. | *Παρθένῳ*] siglum Capricorni Heph., cf. 1,948 || **206** *ἔχοντας* om. **D** | *ζυγῷ καὶ κριῷ καὶ λέοντι* **Vαβ** Heph. ♈ *καὶ* ♌ *καὶ* ♎ secundum signiferi ordinem **γ** || **207** *ἐφορκιστάς* **VY** Heph. (cf. *ἐπορκίστας* Procl.) *ἐξορκιστάς* **Σβγ** edd. || **208** *τὸ* **ΣMSγ** Heph. *τῶν* **VY** *τὸν* **D** || **209** *κατὰ τὸν* **V** | *συγκριτικὸν* **Y** (cf. 3,93) | *στοχάζεσθαι* **Σ** || **213** *ὑποτακτικάς* Heph. Procl. *ὑποπρακτικάς* **VYDγ** *ὑπὸ τὰς πρακτικάς* **ΣMSc**

ἀπταίστους καὶ ἐπαφροδίτους, ὑπὸ δὲ κακοποιῶν ταπεινὰς 215
12 *καὶ ἀδόξους καὶ ἀπερικτήτους καὶ ἐπισφαλεῖς (Κρόνου μὲν ἐναντιουμένου καταψύξεις καὶ χρωματοκρασίας, Ἄρεως δὲ καταρριψοκινδυνίας καὶ περιβοησίας, ἀμφοτέρων δὲ κατὰ τὰς τελείας ἀναστασίας) τοῦ καθολικοῦ χρόνου τῆς αὐξή-σεως ἢ τῆς ταπεινώσεως πάλιν θεωρουμένου διὰ τῆς τῶν* 220 *αἰτίων τοῦ ἀποτελέσματος ἀστέρων πρὸς τὰ ἑῷα καὶ τὰ ἑσπέρια κέντρα ἀεὶ διαθέσεως.*

ε΄. Περὶ συναρμογῶν c 47ᵛ

1 *Ἑξῆς δὲ τούτοις ὄντος τοῦ περὶ συναρμογῶν λόγου περὶ μὲν τῶν κατὰ νόμους ἀνδρὸς καὶ γυναικὸς συμβιώσεων* 225

T **223–381** (§ 1–20) Heph. II 21,2–25

S **218** *περιβοησίας* Ap. III 15,5 (ubi plura) || **224–381** (c. 5) Dor. A II 1–7. V 16 (~ Heph. III 9,1–29). Maneth. I(V) 18–49. II(I) 177–190.426–430. III(II) 147–157. VI(III) 113–223. Val. II 38. Firm. math. VI 32,27–32. VII 16. 18. Max. apud Anecd. Oxon. III p. 185,32–186,31. Lib. Herm. 17–18

215 *ταπεινοὺς* **Σ** || **217** *χρωματοκρασίας* **V** (-*τη*- suprascriptum) Procl. Co le p. 152,31 *χρωματοκρατησίας* **YDγ** *χρωμοκρασίας* **ΣMS** || **218** *καταρριψοκινδυνίας* **V** *καταψηφοκινδηνίας* **Y** *ῥιψοκινδυνευσίας* **Σβ** *ῥιψοκινδυνίας* **γ** Heph. || **219** post *ἀναστασίας* non interpunxit Boer || **220** *θεωρουμένου* **VYDSγ** *θεωρουμένων* **ΣM** || **221** *τά τε ἑῷα* **V** || **222** *ἀεὶ* **VYDγ** om. **ΣMSc** || **223** *περὶ συναρμογῶν* **VΣDγ** *περὶ ἁρμογῶν ἤγουν γάμους καὶ συζυγίας γάμων* **Y** *ἐπίσκεψις περὶ συναλαγμάτων γάμου* **S**² in margine *περὶ γάμου ἤτοι συναρμογῶν* Heph. || **225** *τῶν … συμβιώσεων* **VDγ** Heph. *τῆς … συμβιώσεως* **Y** Procl. *τῆς … συμβιβάσεως* **ΣS** *τῶν* (abbr.) … *συμβιβάσεως* **M**

οὕτως σκεπτέον. ἐπὶ μὲν τῶν ἀνδρῶν ἀφορᾶν δεῖ τὴν σελήνην αὐτῶν, πῶς διάκειται. πρῶτον μὲν γὰρ ἐν τοῖς ἀπη-
m 183 λιωτικοῖς τυχοῦσα τεταρτημορίοις νεογάμους ποιεῖ τοὺς ἄνδρας ἢ νεωτέραις παρ' ἡλικίαν συμβάλλοντας, ἐν δὲ τοῖς
230 λιβυκοῖς βραδυγάμους ἢ πρεσβυτέραις συνιόντας, εἰ δὲ ὑπὸ τὰς αὐγὰς εἴη καὶ τῷ τοῦ Κρόνου συσχηματιζομένη, τέλεον ἀγάμους. ἔπειτα ἐὰν μὲν ἐν μονοειδεῖ ζῳδίῳ ἢ καὶ **2** ἑνὶ τῶν ἀστέρων συνάπτουσα τύχῃ, μονογάμους ἀποτελεῖ, ἐὰν δὲ ἐν δισώμῳ ἢ καὶ πολυμόρφῳ ἢ καὶ πλείοσιν ἐν τῷ
235 αὐτῷ ζῳδίῳ τὴν συναφὴν ἐπέχουσα, πολυγάμους. κἂν μὲν οἱ τὰς συναφὰς ἐπέχοντες τῶν ἀστέρων ἤτοι κατὰ κολλήσεις ἢ κατὰ μαρτυρίας ἀγαθοποιοὶ τυγχάνωσιν, λαμβάνου-

S 226–235 (§ 1 fin.–2 in.) Horosc. Const. 11,1 ‖ **232–234** *μονοειδεῖ ... δισώμῳ* Ap. III 6,2 (ubi plura) ‖ **233–235** *μονογάμους ... πολυγάμους* Dor. A II 5,1–2 ‖ **233** *μονογάμους* Ap. IV 5,4. Val. II 38,67. Firm. math. VII 13,4. Heph. II 18,40 ‖ **234** *δισώμῳ ἢ καὶ πολυμόρφῳ* Ap. IV 5,4 ‖ **235** *πολυγάμους* Ap. IV 5,4. Val. II 38,4. 58. Firm. math. VII 13,4

226 *σκοπτέον* **V** | post *ἀνδρῶν* lacuna unius fere versus **V** † *ἀφορᾶν* **VYΣβγ** Heph. *ἐμφορὰν* **G** *ἐφορᾶν* **c**, cf. l. 246, sed v. indicem ‖ **227** *αὐτῶν* **V** Heph. *αὐτὴν* **Σβγc** om. **Y**, cf. l. 246 | *ἀπηλιωτικοῖς*] *τοῖς ἀπὸ ☾☌ καὶ π☾ μέχρι τῆς διχοτόμου* **γ** in margine ex Heph., cf. l. 265 ‖ **230** *λιβυκοῖς*] *τοῖς ἀπὸ διχοτόμου μέχρι ☾☌ ἢ π☾* **γ** in margine ex Heph., cf. l. 266 | *συνιόντας* **YSγ** Heph. *συνιῶντας* **VD** *συνόντας* **ΣΜ** ‖ **231** *καὶ ὑπὸ* Co, cf. Heph. | in margine *περὶ τοῦ ἀνδρός* **S** ‖ **232** *μὲν ἐν* om. **Y** ‖ **233** *ἀποτελεῖ* **VYDγ** Heph. *ποιεῖ* **ΣMS** ‖ **234** *ἐν* (prius) om. **V** ‖ **235** *ἐπέχουσα* **YD** Heph. *ἐπέχοντα* **V** *ἔχουσα* **ΣMS** *ἐπέχουσι* **AB** *ἐπέχωσι* **C** ‖ **236** *ἤτοι* **Vαβ** Heph. *ἢ* **γ** ‖ **237** *κατὰ μαρτυρίας* **YDγ** *καταμαρτυρίας* **V** *κατὰ μαρτυροποιίας* **ΣMSc** *μαρτυρίας* Heph. | *ἀγαθοὶ* **Σc** | *τυγχάνωσιν* **Vβγ** Heph. *τυγχάνουσι* **α**

σιν γυναῖκας ἀγαθάς, ἐὰν δὲ κακοποιοί, τὰς ἐναντίας.
3 *Κρόνος μὲν γὰρ ἐπισχὼν συναφὴν περιποιεῖ γυναῖκας ἐπι-
πόνους καὶ αὐστηράς, Ζεὺς δὲ σεμνὰς καὶ οἰκονομικάς,* 240
*Ἄρης δὲ θρασείας καὶ ἀνυποτάκτους, Ἀφροδίτη δὲ ἱλαρὰς
καὶ εὐμόρφους καὶ ἐπιχαρίτους, Ἑρμῆς δὲ συνετὰς καὶ
ὀξείας· ἔτι δὲ Ἀφροδίτη μετὰ μὲν Διὸς ἢ Κρόνου ἢ μεθ'
Ἑρμοῦ βιωφελεῖς καὶ φιλάνδρους καὶ φιλοτέκνους, μετὰ
δὲ Ἄρεως θυμικὰς καὶ ἀστάτους καὶ ἀγνώμονας.* 245
4 *ἐπὶ δὲ τῶν γυναικῶν ἀφορᾶν δεῖ τὸν ἥλιον αὐτῶν, ἐπει-
δήπερ καὶ αὐτὸς ἐν μὲν τοῖς ἀπηλιωτικοῖς πάλιν τυχὼν τε-
ταρτημορίοις ποιεῖ τὰς ἐχούσας αὐτὸν οὕτως διακείμενον
ἤτοι νεογάμους ἢ νεωτέροις συμβαλλούσας, ἐν δὲ τοῖς λι-
βυκοῖς βραδυγάμους ἢ πρεσβυτέροις παρ' ἡλικίαν ζευγνυ-* 250 m 184
μένας· καὶ ἐν μὲν μονοειδεῖ ζῳδίῳ τυχὼν ἢ ἑνὶ τῶν ἑῴων

S **240** *αὐστηράς* Ap. III 14,10 (ubi plura) ‖ **244** *φιλοτέκνους* Ap. III 14,24 (ubi plura) ‖ **251–252** *μονοειδεῖ ... δισώμῳ* Ap. III 6,2 (ubi plura)

239 *Κρόνος* **Vαβ** *ὁ τοῦ* ♄ **γ** | *γὰρ* om. **ΣMS** | *περιποιεῖ* **VYDSγ** Heph. *ποιεῖ* **ΣM** ‖ **240** *Ζεὺς* **Vαβ** ♃ **γ** et sic deinceps ‖ **241** *ἱλαρὰς καὶ εὐμόρφους καὶ ἐπιχαρίτους* **VDγ** Procl. *εὐμόρφους καὶ ἐπιχαρίτους καὶ ἱλαράς* **αMS** Heph. (om. *καὶ* alterum) ‖ **243** *Ἀφροδίτη* **αDS** (cf. *ἡ Ἀφροδίτη* Heph.) *Ἀφροδίτης* **VMγ** vix ⟨*ὁ τῆς*⟩ *Ἀφροδίτης* | *Κρόνου ἢ μεθ' Ἑρμοῦ* **VYD** Heph. ♄ *μεθ'* ☿ **ΣMSc** ♄ *ἢ* ☿ **γ** ‖ **245** *ἀγνώμονας* **VDγ** Procl. *κακογνώμονας* **Y** *ἀλλογνώμονας* **ΣMS** ‖ **246** *ἐφορᾶν* **m**, cf. l. 226 | *αὐτῶν* **VY** Heph. *αὐτὸν* **Σβγc**, cf. l. 227 ‖ **247** *ἀπηλιωτικοῖς*] *ἀπηλιωτικὰ ἐνταῦθα τὰ ἀπὸ ὡροσκόπου ἄχρι τοῦ μεσουρανήματος καὶ ἀπὸ τοῦ δυτικοῦ ἄχρι τοῦ ὑπογείου, λιβυκὰ δὲ τὰ λοιπά* **γ** in margine ex Heph. ‖ **250** post *πρεσβυτέροις*: *πάλιν* add. **ΣMS** ‖ **251** *τυχὼν* **Vαβ** *τυγχάνων* **γ** | *ἑνὶ* **VYDγ** *ἑνὸς* **ΣMSc** Co le p. 153,–3 *μεθ' ἑνὸς* Heph. | *τῶν ἑῴων* **VDγ** *ἑῷα ὄντων* **Y** *ἑῴου τοῦ* **ΣMS** Heph. *ἑῴων τῶν* Co le ibid. *ἑῴου τῶν* **c**

ἀστέρων συνάπτων μονογάμους, ἐν δισώμῳ δὲ ἢ πολυμόρφῳ πάλιν ἢ καὶ πλείοσιν ἑῴοις συσχηματισθεὶς πολυγάμους. Κρόνου μὲν οὖν ὡσαύτως τῷ μὲν ἡλίῳ συσχηματισθέντος λαμβάνουσιν ἄνδρας καθεστῶτας καὶ χρησίμους καὶ φιλοπόνους, Διὸς δὲ σεμνοὺς καὶ μεγαλοψύχους, Ἄρεως δὲ δράστας καὶ ἀστόργους καὶ ἀνυποτάκτους, Ἀφροδίτης δὲ καθαρίους καὶ εὐμόρφους, Ἑρμοῦ δὲ βιωφελεῖς καὶ ἐμπράκτους· Ἀφροδίτης δὲ μετὰ μὲν Κρόνου νωχελεῖς καὶ εὐλαβεστέρους ἐν τοῖς ἀφροδισίοις, μετὰ δὲ Ἄρεως θερμοὺς καὶ καταφερεῖς καὶ μοιχώδεις, μετὰ δὲ Ἑρμοῦ περὶ παῖδας ἐπτοημένους. – λέγομεν δὲ νῦν ἀπηλιωτικὰ τεταρτημόρια ἐπὶ μὲν τοῦ ἡλίου τὰ προηγούμενα τοῦ τε ἀνατέλλοντος σημείου τοῦ ζῳδιακοῦ καὶ τοῦ δύνοντος, ἐπὶ δὲ τῆς σελήνης τὰ ἀπὸ συνόδου καὶ πανσελήνου μέχρι τῶν διχοτόμων, λιβυκὰ δὲ τὰ τοῖς εἰρημένοις ἀντικείμενα.

διαμένουσι μὲν οὖν ὡς ἐπίπαν αἱ συμβιώσεις, ὅταν ἀμφοτέρων τῶν γενέσεων τὰ φῶτα συσχηματιζόμενα τύχῃ

(Margin: 5 [at l. 254]; 255; 260; 6 [at l. 262]; c 48 265)

S 252–254 *μονογάμους … πολυγάμους* Ap. IV 5,2 (ubi plura) ‖ 252–253 *δισώμῳ … πολυμόρφῳ* Ap. IV 5,2 ‖ 256 *μεγαλοψύχους* Ap. II 3,13 (ubi plura) ‖ 261 *καταφερεῖς* Ap. II 3,24 (ubi plura) | *μοιχώδεις* Ap. III 14,25 (ubi plura) ‖ 262 *περὶ παῖδας* Ap. III 14,34 (ubi plura)

252 *συνάπτων* om. αMSc ‖ 253 *συσχηματισθεὶς* αS Procl. *σχηματισθεὶς* VDMγ *συσχηματίσας* Heph. ‖ 254 *οὖν* om. α Heph. | *ὡσαύτως τῷ μὲν ἡλίῳ* VYD *τῷ ἡλίῳ ὡσαύτως* ΣMS *ὡσαύτως τῷ ἡλίῳ* γ Heph. ‖ 255 *λαμβάνουσιν* Vαβ *ποιεῖ λαμβάνειν τὰς γυναῖκας* γ ‖ 256 *Διὸς*] *ὁ τοῦ* ♃ γ et sic deinceps ‖ 260 *εὐλαβεστέρους* VY *ἀσθενεστέρους* Σβγ om. Heph. ‖ 262 *λέγω μὲν* V ‖ 266 *τῶν διχοτόμων* VGγ Procl. *τῶν διχωτόμων* Y *τῆς διχοτόμου* (sc. *σελήνης*) Σβc | *τοῖς εἰρημένοις* Σβγ *τῆς εἰρημένης* VY ‖ 268 *μὲν* om. Σβ Co le p. 154,23

συμφώνως (τουτέστιν ὅταν ἢ τρίγωνα ᾖ ἀλλήλοις ἢ ἑξά- 270
γωνα), καὶ μάλιστα ὅταν ἐναλλὰξ τοῦτο συμβαίνῃ, πολὺ
δὲ πλεῖον, ὅταν ἡ τοῦ ἀνδρὸς σελήνη τῷ τῆς γυναικὸς
7 *ἡλίῳ. διαλύονται δὲ ἐκ τῶν τυχόντων καὶ ἀπαλλοτριοῦνται*
τέλεον, ὅταν αἱ προειρημέναι τῶν φώτων στάσεις ἢ ἐν m 185
ἀσυνδέτοις ζῳδίοις τύχωσιν ἢ ἐν διαμέτροις ἢ τετραγώνοις. 275
κἂν μὲν τοὺς συμφώνους τῶν φώτων συσχηματισμοὺς οἱ
ἀγαθοποιοὶ τῶν ἀστέρων ἐπιθεωρήσωσιν, ἡδείας καὶ
προσηνεῖς καὶ ὀνησιφόρους τὰς διαμονὰς συντηροῦσιν· ἐὰν
δὲ οἱ κακοποιοί, μαχίμους καὶ ἀηδεῖς καὶ ἐπιζημίους.
8 *ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀσυμφώνων στάσεων οἱ μὲν* 280
ἀγαθοποιοὶ τοῖς φωσὶ μαρτυρήσαντες οὐ τέλεον ἀποκόπ-
τουσι τὰς συμβιώσεις, ἀλλὰ ποιοῦσιν ἐπανόδους καὶ ἀνα-
μνήσεις συντηρούσας τό τε προσηνὲς καὶ τὸ φιλόστοργον.
οἱ δὲ κακοποιοὶ μετά τινος ἐπηρείας καὶ ὕβρεως ποιοῦσι
τὰς διαλύσεις· τοῦ μὲν οὖν τοῦ Ἑρμοῦ μόνου σὺν αὐτοῖς 285

S 273–275 *διαλύονται ... ἀσυνδέτοις* Paul. Alex. 11 p. 25, 17 || 275 *διαμέτροις* Anecd. Oxon. III p. 186,26–27

271 *συμβαίνῃ* **αβγ** *συμβαίνει* **V** *συμβῇ* Heph. || 274 *ἢ* om. **VDγ** || 275 *ἀσυνδέτοις*] *ἀσυντάκτοις* **Y** | *ζῳδίοις* **αMS** Heph. *τοῖς ζῳδίοις* **VD** *τῶν ζῳδίων* **γ** | *τετραγώνοις* **VYDγ** Heph. *ἐν τετραγώνοις* **ΣMSc** || 276 *συσχηματισμοὺς* **VYDγ** Heph. *σχηματισμοὺς* **ΣMS** || 277 *ἐπιθεωρήσωσιν* **αβγ** Heph. *ἐπιθεωρῶσιν* **V** | *ἡδείας ... συντηροῦσιν* om. **A** | *ἡδείας* **ΣβBC** Heph. *ἰδίας* **VY**, cf. l. 308 || 278 *ἐὰν δὲ* **V** Heph. *ἐὰν* **Y** *ἂν δ'* **Σβγ** *ἐὰν δ'* Robbins || 279 *ἀηδεῖς* **VGS** (cf. *ἀηδής* Procl.) *ἀειδεῖς* **Y** *ἀναιδεῖς* **ΣDMBCc** *ἀνεδεῖς* **A** om. Heph. || 282 *ἐπαναμνήσεις* **Y** || 284 *ὕβρεως* **VGDSγ** Procl. *ὕβριος* **Y** *ὥρας* **ΣM** (inde *ἄρας* **c**, *ἄρας* **m**) *ὕβρεις* Heph. || 285 *μὲν οὖν* **VY** *μὲν* **Σβγc** *μέντοι* Heph.

γενομένου περιβοησίαις καὶ ἐγκλήμασι περικυλίονται, μετὰ δὲ τοῦ τῆς Ἀφροδίτης ἐπιμοιχίαις ἢ φαρμακείαις ἢ τοῖς τοιούτοις.

9 *τὰς δὲ κατ' ἄλλον οἱονδήποτε τρόπον γινομένας συναρ-* 290 *μογὰς διακριτέον ἀφορῶντας εἴς τε τὸν τῆς Ἀφροδίτης ἀστέρα καὶ τὸν τοῦ Ἄρεως καὶ τὸν τοῦ Κρόνου· συνόντων γὰρ αὐτῶν τοῖς φωσὶν οἰκείως καὶ τὰς συμβιώσεις οἰκείας καὶ νομίμους ποιοῦσι. συγγένειαν γὰρ ὥσπερ ἔχει πρὸς ἑκάτερον τῶν εἰρημένων ἀστέρων ὁ τῆς Ἀφροδίτης· καὶ* 295 *πρὸς μὲν τὸν τοῦ Ἄρεως κατὰ τὸ συνακμάζον πρόσωπον* m 186 *(ἐπειδήπερ ἐν τοῖς τριγωνικοῖς ἀλλήλων ζῳδίοις ἔχουσι τὰ ὑψώματα), πρὸς δὲ τὸν τοῦ Κρόνου κατὰ τὸ πρεσβύτερον*

S **286** *περιβοησίαις* Ap. III 15,5 (ubi plura) || **287** *ἐπιμοιχίαις* Ap. III 14,25 (ubi plura) | *φαρμακείαις* Ap. IV 9,6.11, cf. Ap. III 13,19. 14,15 (ubi plura) || **295–297** *συνακμάζον ... πρεσβύτερον* Sudines 81,10–12 || **296–297** *τριγωνικοῖς ... ὑψώματα* Ap. I 19,3.7. 20,5–6 || **297** *πρεσβύτερον* Ap. IV 5,11. Dor. A II 3,4 (cf. 4,13. 28,3). Maneth. II(I) 178.429. III(II) 157. VI(III) 132. Val. II 17,62. 38,15.47. al. Firm. math. IV 13,3 (~ Lib. Herm. 27,8). VI 31,82 (~ Lib. Herm. 26,22). VII 18,1

286 *γενομένου* **YDγ** Heph. *γεννωμένου* **V** *γινομένου* **ΣMS** (recepit Boer, cf. l. 289) | *ἐν περιβοησίαις* **Y** | *περικυλίοντες* **V** || **287** *ἐπιμοιχίαις* **V** (cf. *ἐπιμοιχίας* Heph.) *ἐπὶ μοιχίαις* **Y** *ἐπὶ μοιχείαις* **S** *μοιχείαις* **ΣDMγ** || **289** *γινομένας* **αMS** *γενομένας* **VDγ** (quos secutus est Robbins, aliter l. 286) || **290** *ἀφορῶντας* **VSγ** *ἀφορόντας* **Y** *ἀμφοτέρας* **ΣDMc** | *τε* om. **V** || **292** *οἰκείως* **Vβγ** *οἰκίως* **Y** *οἰκείοις* **G** *οἰκείους* **Σ** | *καὶ ... οἰκείας* om. **Σc**, *καὶ* solum om. **V** || **293** *ποιοῦσι* om. **Vαc** | postea *καὶ τὰς κοινωνίας* add. **S** *καὶ τὰς συγγενείας* add. **ΣM** *τὰς συγγενείας* add. **γm** *καὶ συγγενείας* add. **D** | *συγγένειαν* **Yβγ** *συνγγένειαν* **V** *συγγένεια* **Σc** || **295** *συνακμὰ ζῶν* [sic] **V** || **296** *τριγωνικοῖς* **VY** *τριγώνοις* **Σβγ** ut l. 298 || **297** *πρεσβύτερον*] *πρεσβυτικὸν* Co le p. 156,–13

πρόσωπον (ἐπειδήπερ πάλιν ἐν τοῖς τριγωνικοῖς ἀλλήλων
10 *ἔχουσι τοὺς οἴκους). ὅθεν ὁ τῆς Ἀφροδίτης μετὰ μὲν τοῦ*
Ἄρεως ἁπλῶς ἐρωτικὰς διαθέσεις ποιεῖ, προσόντος δὲ τοῦ 300
τοῦ Ἑρμοῦ καὶ περιβοησίας, ἐν δὲ τοῖς ἐπικοίνοις καὶ
συνοικειουμένοις ζῳδίοις (Αἰγόκερῳ Ἰχθύσιν) ἀδελφῶν ἢ
συγγενῶν ἐπιπλοκάς. κἂν μὲν ἐπὶ τῶν ἀνδρῶν τῇ σελήνῃ
συμπαρῇ, ποιεῖ δυσὶν ἀδελφαῖς ἢ συγγενέσι συνερχομέ-
νους, ἐὰν δὲ ἐπὶ τῶν γυναικῶν τῷ τοῦ Διός, δυσὶν ἀδελ- 305
φοῖς ἢ συγγενέσιν.

11 *μετὰ δὲ τοῦ τοῦ Κρόνου πάλιν ὁ τῆς Ἀφροδίτης τυχὼν*
ἁπλῶς μὲν ἡδείας καὶ εὐσταθεῖς ποιεῖ τὰς συμβιώσεις,
προσόντος δὲ τοῦ τοῦ Ἑρμοῦ καὶ ὠφελίμους, συμπροσγε-

S **298–299** *τριγωνικοῖς … οἴκους* Ap. I 18,4/7. 19,3/6 || **301** *περιβοησίας* Ap. III 15,5 (ubi plura) || **302** *ἀδελφῶν* Dor. A II 4,17.20. Maneth. IV 416–417. V(VI) 206–208. VI(III) 117–119.175.204. Id. Pap. It. 157,21. Val. II 38,16.20. Firm. math. III 6,28–29 (paulo aliter Rhet. C p. 134,12). VI 31,82 (~ Lib. Herm. 26,22). VII 18,3. Lib. Herm. 18,3. 34,22.35 || **303** *συγγενῶν* Maneth. I(V) 44. IV 417. Val. II 38,18–20. Firm. math. III 6,29. IV 13,3 (~ Lib. Herm. 27,8). VIII 30,1 || **304** *δυσὶν ἀδελφαῖς* Firm. math. III 6,29 (~ Rhet. C p. 183,13, cf. Lib. Herm. 31,29). Rhet. C p. 158,26. Lib. Herm. 32,68

298 *ἐπειδήπερ* **VDγ** ut l. 296 *ἐπειδὴ* **αMS** | *τριγωνικοῖς* **VY** *τριγώνοις* **Σβγ** ut l. 296 || **299** *ὅθεν ὁ μὲν* **M** || **302** *συνοικειουμένοις* **αMS** Procl. *συνοικειωμένοις* **VDA** *συνῳκειωμένοις* **BC** om. Heph. | ♑ *ἢ* ♓ **γ** || **303** *τῇ* ☾ Procl. *τῆς σελήνης* **VY** *ἡ* ☾ **Σβγ** *ἡ σελήνη αὐτοῖς* Heph. || **304** *συμπαρῇ* scilicet *ὁ τῆς Ἀφροδίτης* || **305** *τῷ* **VY** *ὁ* **Σβγ** Heph. || **307** *τοῦ* duplex neglexit **Σ** || **308** *ἡδείας* **ΣDMγ** Heph. *ἰδίας* **VYS**, cf. l. 277 | *τὰς* **VDγ** Heph. om. **αMS** || **309** *καὶ* om. **ΣMc** | *συμπροσγενομένου* **YDγ** *συμπροσγενωμένου* **V** *προσγενομένου* **ΣSc** Heph. *προσγενόμενος* **M**

310 *νομένου δὲ καὶ τοῦ τοῦ Ἄρεως ἀστάτους καὶ βλαβερὰς καὶ ἐπιζήλους· κἂν μὲν ὁμοιοσχημονῇ αὐτοῖς, πρὸς ὁμήλικας ποιεῖ τὰς ἐπιπλοκάς, ἂν δὲ ἀνατολικώτερος αὐτῶν, πρὸς νεωτέρας ἢ νεωτέρους, ἐὰν δὲ δυτικώτερος, πρὸς πρεσβυτέρας ἢ πρεσβυτέρους. ἐὰν δὲ καὶ ἐν τοῖς ἐπικοίνοις ζῳ-* 12
315 *δίοις ὦσιν ὁ τῆς Ἀφροδίτης καὶ ὁ τοῦ Κρόνου (τουτέστιν*
c 48v *Αἰγόκερῳ καὶ Ζυγῷ), συγγενικὰς ποιοῦσιν τὰς συνελεύσεις. ὡροσκοπήσαντι δὲ ἢ μεσουρανήσαντι τῷ προειρημένῳ σχήματι ἡ σελήνη μὲν συμπροσγενομένη ποιεῖ τοὺς μὲν ἄρρενας μητράσιν ἢ μητέρων ἀδελφαῖς ἢ μητρυιαῖς συνέρχε-*
320 *σθαι, τὰς δὲ θηλείας υἱοῖς ἢ υἱοῖς ἀδελφῶν ἢ θυγατέρων*

S **313–314** *πρεσβυτέρας* Ap. IV 5,9 (ubi plura) || **319** *μητράσιν* Maneth. I(V) 111. VI(III) 166–169.174. Firm. math. III 6,29 (paulo aliter Rhet. C p. 184,13 ~ Lib. Herm. 31,29). VII 13,1–2. 18,4–7. Anon. De stellis fixis II 4,15. Lib. Herm. 26,22 | *μητέρων ἀδελφαῖς* Val. II 38,12 | *μητρυιαῖς* Maneth. I(V) 113. II(I) 189–190 (~ Lib. Herm. 32,68). V(VI) 205. VI(III) 196. Id. Pap. It. 157,20. Val. II 17,62. 38,12. Firm. math. III 6,28. VI 31,25. VII 13,1–2. 18,6. Anon. De stellis fixis II 4,15. Lib. Herm. 18,3 || **320** *υἱοῖς* Firm. math. VI 31,91. VII 13,1–2. Lib. Herm. 18,3. 26,22. 34,42

310 *τοῦ* duplex neglexerunt **Σc** | *δὲ καὶ βλαβερὰς* **V** | *βλαβεροὺς* **Y** || **311** *ὁμοιοσχημονῇ αὐτοῖς* **VDBC** *ὁμοιοσχήμων ἢ αὐτοῖς* **YMS** Heph. *ὁμοιοσχηνῇ αὐτοῖς* **A** *ὁμοιοσχήμων αὐτοῖς ᾖ* **Σc** Co le p. 156,–8 (scr. *ὁμοιοσχήμον*) | *ὁμήλικας* **αDMγ** *ὁμίληκας* **VS** *ὁμίλικας* Heph. (cod. **P**) || **313** *νεωτέρας ἢ νεωτέρους* **YSγ** *νεωτέρους ἢ νεωτέρας* **ΣM** *νεωτέρας* **VD** || **314** *ἐπικοίνοις* **αβγ** Heph. *ἐπικινδύνοις* **V** *ἑπομένοις* Co le p. 157,20 (sed l. 29 *ἐπίκοινα*) | *ὦσιν ζῳδίοις* **Y** Heph. || **316** *ποιοῦσιν* **VYDSγ** Heph. *ποιοῦνται* **ΣMc** || **319** *ἢ μητέρων*] *ἡμετέρων* **V** | *ἀδελφαῖς* **VYβγ** *ἀδελφοῖς* **Σc** || **320–323** *τὰς δὲ … υἱῶν* om. **γ** || **320** *υἱοῖς ἀδελφῶν* **Vβ** (cf. *πρὸς υἱοὺς ἀδελφῶν* Procl.) *υἱῶν ἀδελφοῖς* **αc** Heph.

ἀνδράσιν, ἥλιος δὲ δυτικῶν μάλιστα ὄντων τῶν ἀστέρων τοὺς μὲν ἄρρενας θυγατράσιν ἢ θυγατέρων ἀδελφαῖς ἢ m 187 *γυναιξὶν υἱῶν, τὰς δὲ θηλείας πατράσιν ἢ πατέρων ἀδελφοῖς ἢ πατρῴοις.*

13 *ἐὰν δὲ οἱ προκείμενοι σχηματισμοὶ τῶν μὲν συγγενικῶν* 325 *ζῳδίων μὴ τύχωσιν, ἐν θηλυκοῖς δὲ ὦσι τόποις, ποιοῦσι καὶ οὕτως καταφερεῖς καὶ πρὸς τὸ διαθεῖναί τε καὶ διατεθῆναι πάντα τρόπον προχείρους, ἐπ' ἐνίων δὲ μορφώσεων καὶ ἀσελγεῖς, ὡς ἐπί τε τῶν ἐμπροσθίων καὶ ὀπισθίων τοῦ*

S 322 *θυγατράσιν* Dor. A II 4,20. Maneth. VI(III) 159. Firm. math. III 6,28–29 (paulo aliter Rhet. C p. 134,12). VI 29,21. 31,82 (~ Lib. Herm. 26,22). VII 13,1–2. Rhet. C p. 183,13 || **323** *γυναιξὶν υἱῶν* Firm. math. III 6,28.29 | *πατράσιν* Maneth. VI(III) 170. Firm. math. VI 31,25.91. VII 13,2. 18,4–5. Lib. Herm. 18,2–3 || **323–324** *πατέρων ἀδελφοῖς* Val. II 38,12. Lib. Herm. 26,22 || **327** *καταφερεῖς* Ap. II 3,24 (ubi plura) || **329** *ἀσελγεῖς* Dor. A II 7,5. Ant. CCAG VII (1908) p. 113,3–4 (~ Rhet. C p. 194,14–15). p. 116,7–9 (~ Rhet. B p. 194,18. 196,20. 201,7. 208,15 [corrigendum]. 211,6). Firm. math. VII 25,14 (cf. III 6,15). Horosc. L 440 CCAG VIII 4 (1921) p. 223,20–24 (correctius Pingree, Political Horoscopes [1976], 146). Iulian. Laodic. CCAG IV (1904) p. 152,8 (~ Anon. C p. 166,6–7). Heph. I 1,81.193. Rhet. A p. 147,11–14. Abū M. introd. VI 14 (~ Apom. Myst. III 27). "Pal." CCAG

322 *θυγατέρων ἀδελφαῖς* **ω** dubitanter servavi (coll. *θυγατέρων ἐξ ἑτέρου γάμου ἀδελφαῖς* Heph.) *θυγατράσιν ἀδελφῶν* Boer || **324** *πατρῴοις* **VΣβγ** *θυγατέρων ἀνδράσιν* **Y** Procl. om. Heph. || **325** *συγγενῶν* **Σ** || **326** *θηλυκοῖς* **Σβγ** Heph. Procl. Co p. 157,31 *θηλυκῶν* **VY** | *ὦσι τόποις* **VYβγ** *τόποις ὦσιν* **Σc** | postea *καὶ προσώποις* add. **Σβγc** Heph. Co p. 157,32 || **327** *κατωφερεῖς* **A** | *διατεθῆναι* **αS** *διαθεῖναι* iteravit **V** *διαθεῖσθαι* **D** *διατεθεῖναι* **M** *διατιθεῖσθαι* **γ** | **desinit Σ** || **329** *ἐπί τε*] *ἐπίπαν* **V**

330 *Κριοῦ καὶ τῆς Ὑάδος καὶ τῆς κάλπιδος καὶ τῶν ὀπισθίων τοῦ Λέοντος καὶ τοῦ προσώπου τοῦ Αἰγόκερω. κεντρωθέν-* **14** *τες δὲ κατὰ μὲν τῶν πρώτων δύο κέντρων (τοῦ τε ἀπηλιωτικοῦ καὶ τοῦ μεσημβρινοῦ) παντελῶς ἀποδεικνύουσι τὰ πάθη καὶ ἐπὶ δημοσίων τόπων προάγουσι, κατὰ δὲ τῶν*
335 *ἐσχάτων δύο (τοῦ τε λιβυκοῦ καὶ τοῦ βορείου) σπάδοντας*

(S) IX 1 (1951) p. 183,13–14. Anon. L p. 108,25. Anon. S l. 9.21.35.45.55. Anon. De stellis fixis II passim. al., cf. Ap. IV 5,20

S 330 *Κριοῦ* Firm. math. VII 25,14 (cf. II 10,2. III 6,15). Horosc. L 40 apud Heph. II 18,57. Heph. I 1,3 (var. l. Hübner, Eigenschaften 411,2). Anon. a. 379 CCAG V 1 (1904) p. 206,16 (ubi pro *Σκορπίου* legendum *Κριοῦ*: Boll, Abh. 69). Theoph. Edess. CCAG XI 1 (1932) p. 262,28. Horosc. L 1003 apud Heph. vol. II p. X,12 Pingree. Anon. De stellis fixis II 1,5.7. 8.10–12.14.17.18 | *Ὑάδος* Anon. a. 379 CCAG V 1 (1904) p. 206,17. Rhet. C p. 195,17. Anon. De stellis fixis II 2,5–9, aliter Manil. IV 151 || **330–331** *ὀπισθίων τοῦ Λέοντος* Firm. math. VII 25,14. Rhet. C p. 195,18. Anon. De stellis fixis II 5,7.9–11 || **331** *προσώπου τοῦ Αἰγόκερω* Manil. IV 258. Firm. math. VII 25,14. VIII 4,10 (cf. III 6,15 ~ Rhet. C p. 160,12). Anon. a. 379 CCAG V 1 (1904) p. 206,19. Anon. De stellis fixis II 10,6 || **334** *ἐπὶ δημοσίων* Ap. II 8,11 (ubi plura) || **335** *σπάδοντας* Ap. III 13,10 (ubi plura)

330 *καὶ τῆς κάλπιδος* **VYγ** *καὶ κάλπιδος* **D** om. **MSc** Heph. fort. recte | *ὀπισθέων* **V** || **331** *κεντρωθέντες* **V** *κεντρωθέντ(ες)* **S** *κεντρωθέντος* **Yc** *κεντρωθὲν* **G** *κεντρωθέντα* **DMγ** || **332** *τὸν πρῶτον* **V** || **333** *τοῦ* om. **VD** | *ἀναδεικνύουσι* **V** || **335** *βορείου* **VDγ** *βαυρίου* **Y** *βορινοῦ* **M** *βορείνοῦ* **S** *βορεινοῦ* Heph. | *σπάδωνας* **Y**

ποιοῦσι καὶ αὐλικοὺς ἢ στείρας ἢ ἀτρήτους, Ἄρεως δὲ προσόντος ἀποκόπους ἢ τριβάδας.

15 *καὶ καθόλου δὲ ποδαπήν τινα διάθεσιν πρὸς τὰ ἀφροδίσια ἕξουσιν, ἐπὶ μὲν τῶν ἀνδρῶν ἀπὸ τοῦ τοῦ Ἄρεως ἐπισκεψόμεθα· τοῦ μὲν γὰρ τῆς Ἀφροδίτης καὶ τοῦ τοῦ* 340 *Κρόνου χωρισθείς, μαρτυρηθεὶς δὲ ὑπὸ Διὸς καθαρίους καὶ σεμνοὺς περὶ τὰ ἀφροδίσια ποιεῖ καὶ μόνης τῆς φυσικῆς χρείας στοχαζομένους, μετὰ Κρόνου δὲ μόνου μὲν τυχὼν εὐλαβεῖς καὶ ὀκνηροὺς καὶ καταψύχρους ἀπεργάζεται,* **16** *συσχηματιζομένων δὲ Ἀφροδίτης καὶ Διὸς εὐκινήτους μὲν* 345 *καὶ ἐπιθυμητικούς, ἐγκρατεῖς δὲ καὶ ἀντιληπτικοὺς καὶ τὸ* m 188 *αἰσχρὸν φυλασσομένους, μετὰ μόνης δὲ Ἀφροδίτης ἢ καὶ τοῦ Διὸς σὺν αὐτῇ τυχόντος, ἀπόντος τοῦ τοῦ Κρόνου, λάγνους καὶ ῥᾳθύμους καὶ πανταχόθεν ἑαυτοῖς τὰς ἡδονὰς πορίζομένους· κἂν ὁ μὲν ἑσπέριος ᾖ τῶν ἀστέρων, ὁ δὲ* 350 *ἑῷος, καὶ πρὸς ἄρρενας καὶ πρὸς θηλείας οἰκείως ἔχοντας,* **17** *οὐχ ὑπερπαθῶς μέντοι γε πρὸς οὐδέτερα τὰ πρόσωπα· ἐὰν δὲ ἀμφότεροι ἑσπέριοι, πρὸς τὰ θηλυκὰ μόνα καταφερεῖς,*

S **336** *στείρας* Ap. III 13,11 (ubi plura) | *ἀτρήτους* Ap. III 13,10 || **337** *ἀποκόπους* Ap. III 13,11 (ubi plura) | *τριβάδας* Ap. III 15,8 (ubi plura) || **348–349** *λάγνους* Ap. III 14,17 (ubi plura) || **353** *καταφερεῖς* Ap. II 3,24 (ubi plura)

336 *αὐλίσκους* Y || **337** post *τριβάδας* levius, post 339 *ἕξουσιν* fortius interpunxit Boer || **338** *ποδαπήν* c   *ποταπήν* **MS** Co le p. 157,–11   *παντοδαπήν* **VYDγ**   *παντοδαπεῖς* **G** om. **m** | *διάθεσιν πρὸς τὰ ἀφροδίσια* **VDγ**   *πρὸς ἀφροδίσια διάθεσιν* **Y**   *πρὸς τὰ ἀφροδίσια διάθεσιν* **MS** || **343** *στοχαζομένους*] *χαζομένους* **γ** || **347** *μόνου* **γ** || **351** *πρὸς* iteratum om. **MS** || **352** *ὑπερπαθῶς* **V**   *ὑπὲρ παθ* **Y**   *ὕπερπαθ* **B** (sequente lacuna trium fere litterarum)   *ὑπὲρ παθῶν* **βc** (asterisco notatum)   *ὑπερπαθεῖς* **AC**   **ὑπερπάσχοντας* **m** || **353** *θηλυκὰ*] *καθολικὰ* **V** | *μόνα* **VDγ**   *μόνον* **YMS** om. Heph.

θηλυκῶν δὲ ὄντων τῶν ζῳδίων καὶ αὐτοὺς διατιθεμένους·
355 *ἐὰν δὲ ἀμφότεροι ἑῷοι, πρὸς τὰ παιδικὰ μόνα νοσηματώδεις, ἀρρενικῶν δὲ ὄντων τῶν ζῳδίων καὶ πρὸς πᾶσαν ἀρρένων ἡλικίαν· κἂν μὲν ὁ τῆς Ἀφροδίτης δυτικώτερος ᾖ, ταπειναῖς ἢ δούλαις ἢ ἀλλοφύλοις συνερχομένους, ἐὰν δὲ ὁ τοῦ Ἄρεως, ὑπερεχούσαις ἢ ὑπάνδροις ἢ δεσποίναις.*
360 *ἐπὶ δὲ τῶν γυναικῶν τὸν τῆς Ἀφροδίτης ἐπισκεπτέον·* **18** *συσχηματιζόμενος γὰρ τῷ τοῦ Διὸς ἢ καὶ τῷ τοῦ Κρόνου*
c 49 *σώφρονας καὶ καθαρίους ποιεῖ περὶ τὰ ἀφροδίσια, καὶ τοῦ τοῦ Κρόνου δὲ ἀπόντος τῷ τοῦ Ἑρμοῦ συνοικειωθεὶς κεκινημένας μὲν καὶ ὀρεκτικάς, εὐλαβεῖς δὲ καὶ ὀκνηρὰς*
365 *τὰ πολλὰ καὶ τὸ αἰσχρὸν φυλασσομένας. Ἄρει δὲ μόνῳ* **19** *μὲν συνὼν ἢ καὶ συσχηματισθεὶς ὁ τῆς Ἀφροδίτης ποιεῖ λάγνους, καταφερεῖς καὶ μᾶλλον ῥᾳθύμους· ἐὰν δὲ καὶ ὁ*
m 189 *τοῦ Διὸς αὐτοῖς προσγένηται, κἂν μὲν ὁ τοῦ Ἄρεως ὑπὸ τὰς αὐγὰς ᾖ, συνέρχονται δούλοις ἢ ταπεινοτέροις ἢ ἀλλο-*

S **355** *πρὸς τὰ παιδικὰ* Ap. III 14,34 (ubi plura) || **358** *δούλαις* Dor. A II 1,10.14. 3,5. 4,7.13.27. 15,25. 16,11. 31,3. Maneth. I(V) 20.258. II(I) 178.428. III(II) 157. V(VI) 236. Val. II 38,11.22.59, cf. Paul. Alex. 24 p. 58,17 | *ἀλλοφύλοις* Dor. A II 1,10.14. 4,7. 16,11. Maneth. VI(III) 148–150 || **359** *ὑπερεχούσαις ... δεσποίναις* Dor. G p. 342,12 apud Heph. II 21,31 (~ Dor. A II 1,10–13). Dor. A II 31,1. Val. II 38,15.23, cf. Tzetz. Chil. II 164–167 || **364** *ὀρεκτικάς* Teucr. III p. 181,5 || **367** *λάγνους* Ap. III 14,17 (ubi plura) || **367/373** *καταφερεῖς* Ap. II 3,24 (ubi plura)

355 *μόνα* **VDγ** *μόνον* **YMS** Heph. | *σηματώδεις* **A** || **360** *τὸν* (*τῶν* **V**) ... *ἐπισκεπτέον* **ω** Robbins *ὁ ... ἐπισκεπτέος* Boer || **361** *Κρόνου* scripsi coll. Heph. *Ἑρμοῦ* **ω** edd. || **363** *Κρόνου* **VY** Procl. *Διὸς* **βγcm** || **365** *τὰ αἰσχρὰ* **Y** || **369** post *τὰς αὐγὰς*: *τοῦ ἡλίου* add. **Y** Procl. | *ἀλλοφίλοις* **V**

φύλοις, ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης, ὑπερέχουσιν ἢ δεσπόταις, 370
ἑταιρῶν ἢ μοιχάδων ἐπέχουσαι τρόπον· κἂν μὲν τεθηλυσ-
μένοι ὦσι τοῖς τόποις ἢ τοῖς σχήμασιν οἱ ἀστέρες, πρὸς τὸ
διατίθεσθαι μόνον καταφερεῖς, ἐὰν δὲ ἠρρενωμένοι, καὶ
20 *πρὸς τὸ διατιθέναι γυναῖκας. ὁ μέντοι τοῦ Κρόνου τοῖς*
προκειμένοις σχήμασι συνοικειωθείς, ἐὰν μὲν καὶ αὐτὸς ᾖ 375
τεθηλυσμένος, ἀσελγειῶν μόνος αἴτιος γίνεται, ἐὰν δὲ ἀνα-
τολικὸς καὶ ἠρρενωμένος, ἐπὶ τέγους ἵστησιν ἢ τῶν ἐπὶ τέ-
γους ἐραστὰς ἀπεργάζεται, τοῦ μὲν τοῦ Διὸς πάλιν ἀεὶ
πρὸς τὸ εὐσχημονέστερον τῶν παθῶν συλλαμβανομένου,
τοῦ δὲ τοῦ Ἑρμοῦ πρὸς τὸ διαβοητότερον καὶ εὐπταιστό- 380
τερον.

S **376** *ἀσελγειῶν* Ap. IV 5,13 (ubi plura) || **380** *διαβοητότερον* Ap. III 15,5 (ubi plura)

370 *δεσπόταις* **VYDγ** *δεσπόταις ἑαυτῶν* **MSc** *δεσπόταις αὐτῶν* Heph. (qui om. *ἑταιρῶν* eqs.) || **371** *ἐπέχουσαι* **MS** *ἐπέχουσι* **VDγ** *ἀπέχουσι* **Y** | *τεθηλυσμένοι* **VDMBC** *τεθυλημένοι* **Y** *τεθηλυμένοι* **S** *τεθηλεμένοι* **A** || **373** *διατίθεσθαι* **YDMγ** *διαθέσθαι* **VS** || **376** *μόνος* (*μόνον* **Γ**) *αἴτιος γίνεται* **VΓDγ** *μόνος γίνεται αἴτιος* **Y** *αἴτιος μόνος γίνεται* **MS** *αἴτιος γίνεται* Heph. || **377** *ἐπὶ τέγους* (i. in fornice, cf. Maneth. VI[III] 143) Heph. *ἐπιτέγους* **VD** *ἐπὶ τούτοις* **Y** *ἐπιψέγους* **M** *ἐπιψόγους* **Sγ** edd. | *τῶν ἐπὶ τέγους* **VDγ** Heph. *τῶν ἐπὶ τούτοις* **Y** *ἐπιψέγους* **M** *ἐπιψόγων* **S** edd. || **378** *τῷ μὲν* **MS** || **379** *συλλαμβανομένων* **V** *παραλαμβανόμενον* Heph. || **380** *τοῦ δὲ τοῦ* **Yγ** *τῷ δὲ τοῦ* **S** *τὸ δὲ τοῦ* **M** *τοῦ δὲ* **VD** Heph. (ut semper) | *εὐπταιστότερον*] *ἀφεστότερον* **Y**

ς′. Περὶ τέκνων

Ἐπειδὴ δὲ τῷ περὶ γάμου τόπῳ καὶ ὁ περὶ τέκνων ἀκολουθεῖ, σκοπεῖν δεήσει τοὺς τῷ κατὰ κορυφὴν τόπῳ ἢ τῷ 1
385 *ἐπιφερομένῳ (τουτέστι τῷ τοῦ ἀγαθοῦ δαίμονος) προσόντας ἢ συσχηματιζομένους, εἰ δὲ μή, τοὺς τοῖς διαμέτροις αὐτῶν· καὶ σελήνην μὲν καὶ Δία καὶ Ἀφροδίτην πρὸς δόσιν τέκνων λαμβάνειν, ἥλιον δὲ καὶ Ἄρη καὶ Κρόνον πρὸς ἀτεκνίαν ἢ ὀλιγοτεκνίαν, τὸν δὲ τοῦ Ἑρμοῦ,*

T **382–431** (§ 1–7) Heph. II 22,1–7 (§ 8: *ἐκ τῶν Πετοσίριδος*, cf. Val. infra)

S **383–431** (c. 6) Manil. II 234–243. Dor. A II 8–13. Maneth. VI(III) 225–304. Heph. II 22 (adde Ep. IV 28). Val. II 39 (Petosirin afferens). Firm. math. VI 32,33–39. Paul. Alex. 24 p. 57,6–13.25 passim (adde Olymp. 24) ‖ **383–388** (§ 1 in.) Horosc. Const. 12,1 ‖ **387–388** *Δία καὶ Ἀφροδίτην πρὸς δόσιν τέκνων* Maneth. III(II) 309–313, paulo aliter VI(III) 240–241 ‖ **388–389** *ἥλιον ... ἀτεκνίαν* Horosc. L 76 apud Heph. II 18,46 ‖ **389** *ἀτεκνίαν* Ap. IV 6,3. Dor. A II 16,27. Maneth. I(V) 46–49.173. II(I) 185. III(II) 26.57.149–150. IV 584–585. V(VI) 325. al. Val. App. I 127. Pap. It. 158,5.15. Paul. Alex. 24 p. 72,12, cf. Rhet. A p. 149,4 | *ὀλιγοτεκνίαν* Dor. A II 10,10–11. 16,3. 18,7. 23,10. 25,1. Balbillus CCAG VIII 3 (1912) p. 104,21. Val. I 2,1.14.55.66 (adde App. I 127). Paul. Alex. 25 p. 74,18–19 (adde Schol. 73). Rhet. B p. 194,17–19. 196,17 (app. cr.). 198,9. 209,24–26 (app. cr.). Abū M. introd. VI 16 (= Myst. III 29: ineditum), Kam. 158.1176. Anon. L p. 108,22. al.

383 *ἐπειδὴ δὲ* V Heph. *ἐπειδὴ τὰ* Y *ἐπεὶ δὲ* **βγ** ‖ **385** *ἐπιφερομένῳ* **Vβ** Heph. *ἐπιφερομένου* Y *ἐπαναφερομένῳ* **γ** ‖ **387** *Ἀφροδίτι* V ‖ **388** *λαμβάνειν* **VDMγ** *παραλαμβάνειν* **YS** Heph. | *ἡλίου δὲ καὶ Ἄρεως καὶ Κρόνου* V

πρὸς ὁπότερον ἂν αὐτῶν τύχῃ συσχηματισθείς, ἐπίκοινον 390
καὶ ἐπιδοτῆρα μὲν ὅταν ἀνατολικὸς ᾖ, ἀφαιρέτην δ' ὅταν m 190
δυτικός.

2 *οἱ μὲν οὖν δοτῆρες ἁπλῶς μὲν οὕτως κείμενοι καὶ κατὰ μόνας ὄντες μοναχὰ διδόασι τέκνα, ἐν δισώμοις δὲ καὶ ἐν θηλυκοῖς ζῳδίοις, ὁμοίως δὲ καὶ ἐν τοῖς πολυσπέρμοις* 395 *(οἷον Ἰχθύσι καὶ Καρκίνῳ καὶ Σκορπίῳ) δισσὰ ἢ καὶ πλείονα, καὶ ἠρρενωμένοι τοῖς τε ζῳδίοις καὶ τοῖς πρὸς ἥλιον σχηματισμοῖς ἄρρενα, τεθηλυσμένοι δὲ θήλεα, καθ-*

S **390** *ἐπίκοινον* Ap. I 7,1 (ubi plura) || **394** *δισώμοις* Ap. I 12,5 (ubi plura). III 8,1–2 || **395** *θηλυκοῖς* Ap. I 13 (ubi plura) || **395–399** *πολυσπέρμοις ... στειρώδεσι* Manil. II 236–243. Dor. A I 19,3 (cf. II 10,12–13). Maneth. VI(III) 256. Serap. CCAG V 3 (1910) p. 97,16–19. Val. I 2 passim. Paul. Alex. 25 p. 74,19–75,5 (quo spectat Olymp. 24 p. 80,1–6). Heph. I 1 passim. Rhet. B passim. Herm. Myst. p. 175,5. Abū M. introd. VI 16 (~ Apom. Myst. III 29: ineditum). Anon. C p. 166,3–6. Anon. L p. 108,20–24. Anon. M l. 17–19. Anon. R passim. Anon. S passim. al., cf. ad Ap. III 12,11 || **396** *δισσὰ* Ap. III 8. Maneth. VI(III) 233.252–255. IV 452–461 || **397** *πλείονα* Ap. III 8,1. Dor. A II 27,1

390 *ὁπότερον* **VYDγ** *ὁποτέρους* **MS** Heph. || **391** *ὅταν* (alterum)] *ὅτε* **V** || **393** *οἱ*] *ὁ* **V** | *μὲν οὕτως* **VDA** *οὕτω μὲν* **Y** *οὕτως* **MSC** *οὔπω* **B** (ut vid.) *οὕτω* Heph. | *κοίμενοι* **V** || **394** *δὲ* **MSγ** Heph. (quos secutus est Robbins) *δὲ δισσὰ* **Y** (maluit Boer) *δισσὰ* **VD** || **395** *δὲ καὶ* **VY** *τε* **βγ** om. Heph. || **396** *ἰχθύσι καὶ καρκίνῳ καὶ σκορπίῳ* **V** ♑ *καὶ* ♋ *καὶ* ♏ *καὶ* ♓ **Y** *ἴχθυσι καὶ αἰγοκέρωτι* (♋ ♏ s. l.) **D** *αἰγοκέρωτι καὶ ἰχθύσι* **MS** ♋ ♏ ♓ *καὶ* ♑ **C** ♓ (♋ s. l.) *καὶ* ♑ **AB** *Καρκίνῳ Αἰγοκέρωτι Ἰχθύσι καὶ Σκορπίῳ* Heph. | *δισσὰ* **VYDγ** Heph. *δυσὶ* **MS** || **397** *ἠρρενωμένοι* **YβBC** *ἠρρενωμένα* **V** *ἠρρενωμένοις* **A** Heph. (perperam retinuit Pingree) | *τε* **Vβγ** *ἀρρενικοῖς* **Y** om. Heph. || **398** *τεθηλυσμένοι* **YDC** *τεθηλυσμένα* **V** *τεθηλυσμένοις* **MAB** (ut vid.) *τεθηλυμένοις* **S** Heph.

ὑπερτερηθέντες δὲ ὑπὸ τῶν κακοποιῶν ἢ καὶ ἐν στειρώδεσι
400 *ζῳδίοις τυχόντες (οἷον Λέοντι ἢ Παρθένῳ) διδόασι μέν, οὐκ ἐπὶ καλῷ δὲ οὐδὲ ἐπὶ διαμονῇ. ἥλιος δὲ καὶ οἱ κακοποιοὶ* 3 *διακατασχόντες τοὺς εἰρημένους τόπους ἐὰν μὲν ἐν ἀρρενικοῖς ὦσιν ἢ στειρώδεσι ζῳδίοις καὶ ὑπὸ τῶν ἀγαθοποιῶν ἀκαθυπερτέρητοι, τελείας εἰσὶν ἀτεκνίας δηλω-*
405 *τικοί, ἐπὶ θηλυκῶν δὲ ἢ πολυσπέρμων ζῳδίων τυχόντες ἢ ὑπὸ τῶν ἀγαθοποιῶν μαρτυρηθέντες διδόασι μέν, ἐπισινῆ δὲ ἢ ὀλιγοχρόνια. τῶν δὲ αἱρέσεων ἀμφοτέρων λόγον ἐχου-* 4 *σῶν πρὸς τὰ τεκνοποιὰ ζῴδια, τῶν δοθέντων τέκνων ἀπο-*
c 49ᵛ *βολαὶ γενήσονται ἢ πάντων ἢ ὀλίγων πρὸς τὰς ὑπερ-*
410 *οχὰς τῶν καθ' ἑκατέραν αἵρεσιν μαρτυρησάντων, ὁποτέρους ἂν εὑρίσκωμεν ἤτοι πλείους ἢ δυνατωτέρους ἐν τῷ ἀνατολικωτέρους ὑπάρχειν ἢ ἐπικεντροτέρους ἢ καθυπερτερεῖν ἢ ἐπαναφέρεσθαι.*

S **399** *στειρώδεσι* praeter supra allata Ap. III 13,11. "Rhet." = Dor. G p. 336,8–10. 337,15–17 ‖ **400** *Λέοντι* praeter supra allata Steph. philos. p. 280,5 | *Παρθένῳ* praeter supra allata Sext. Emp. V 95 ‖ **404** *ἀτεκνίας* Ap. IV 6,1 (ubi plura) ‖ **407** *ὀλιγοχρόνια* Dor. A II 9,5. 16,27. Maneth. III(II) 11.39.43.170. Pap. It. 158,28.75, cf. Ap. III 5,6

400 *ζῳδίοις* **βγc** Heph. *τόποις* **V** (recepit Robbins) *τόποις ἢ ζῳδίοις* **Y** Procl. fort. recte, cf. 4,632 | *οἷον* **YMSγ** Heph. *οἷόν ἐστι* **VD** Procl. (recepit Robbins pergens *Λέων ἢ Παρθένος*) | *ἢ* om. **Y** (invertens sigla ♍ ♌) **MS** | *δίδωσι* **V** ‖ **402** *ἀρρενικοῖς ζῳδίοις* **Mc** | *ἢ*] *καὶ* **c** ‖ **403–406** *ὑπὸ τῶν … τυχόντες ἢ* oculorum saltu om. **MSc** ‖ **408** *τῶν* om. **S** Heph. | *ἐπιβολαὶ* **Y** ‖ **409** *ὀλίγων ὄντων* **V** | *ὑπεροχὰς* **VYD** Heph. *ὑπερεχούσας δὲ* **Mc** *ὑπεροχὰς δὲ* (corr. *ὑπερεχούσας* ut vid.) **S** ‖ **411** *ἂν* **VY** Heph. *ἐὰν* **βγ** | *δυνατωτέρους ἢ* **βB** ‖ **413** *ἐπιφέρεσθαι* Heph. Co le p. 160,5

5 *ἐὰν μὲν οὖν οἱ κυριεύσαντες τῶν εἰρημένων ζῳδίων ἀνατολικοὶ τυγχάνωσι, δοτῆρες ἔσονται τέκνων, ἐὰν δὲ ἐν* 415 *ἰδίοις ὦσιν τόποις, ἔνδοξα καὶ ἐπιφανῆ ποιοῦσι τὰ δοθέντα τέκνα, ἐὰν δὲ δυτικοὶ καὶ ἐν τοῖς τῆς ἀλλοτρίας αἱ-*
6 *ρέσεως τόποις, ταπεινὰ καὶ ἀνεπίφαντα. κἂν μὲν σύμφω-* m 191 *νοι τῇ ὥρᾳ καὶ τῷ κλήρῳ τῆς τύχης καταλαμβάνωνται, προσφιλῆ τοῖς γονεῦσι καὶ ἐπαφρόδιτα καὶ κληρονομοῦντα* 420 *τὰς οὐσίας αὐτῶν, ἐὰν δὲ ἀσύνδετοι ἢ ἀντικείμενοι, μάχιμα καὶ ἐχθροποιούμενα καὶ ἐπιβλαβῆ καὶ μὴ παραλαμβάνοντα τὰς τῶν γονέων οὐσίας. ὁμοίως δὲ κἂν μὲν ἀλλήλοις ὦσι συνεσχηματισμένοι συμφώνως οἱ τὰ τέκνα διδόντες, διαμένουσιν οἱ δοθέντες φιλάδελφοι καὶ τιμητικοὶ* 425 *πρὸς ἀλλήλους, ἐὰν δὲ ἀσύνδετοι ἢ διάμετροι, φιλέχθρως καὶ ἐπιβουλευτικῶς διακείμενοι.*

S **419** *ὥρᾳ* Nech. et Petos. apud Heph. II 11,25, cf. Gundel, ThLL VI 3, c. 2962,81–2963,1 ‖ **420** *κληρονομοῦντα* Ap. IV 2,3 (ubi plura) ‖ **421–422** *μάχιμα* Dor. A II 27,9. Maneth. V(VI) 131 ‖ **427** *ἐπιβουλευτικῶς* Ap. II 3,31 (ubi plura)

415 *ἔσονται* **βγc** *ὄντες* **VY** Procl. (recepit Robbins) *ὄντων* Heph. | *ἐὰν δὲ* scripsi *ἢ* **VY** Heph. *εἰ* **S** (receperunt Robbins Pingree) *εἰ δὲ* **DMγc** (maluit Boer) ‖ **416** *ὦσι(ν)* **VYDMγ** *εἰσὶ* **S** *εἶεν* **c** ‖ **418** *ταπεινὰ καὶ*] *τὰ γενόμενα* **Y** ‖ **419** *τῇ ὥρᾳ* **VYβ** Heph. (cf. ThLL VI 3 c. 2962,81–2963,29) *τῷ ὡροσκόπῳ* (abbrev.) **γ** | *καταλαμβάνωνται* **MSB**(post corr.)**C** *καταλαμβάνονται* **VYDAB**(ante corr.) *καταλαμβάνηται* Heph. ‖ **420** *καὶ* ante *κληρονομοῦντα* om. **V** ‖ **421** *τὰς* **VYSγ** Heph. *τῆς* **DM** | *ἐὰν* **Y** Heph. *ἂν* **Vβγ** ‖ **422** *μὴ* om. **Mm** ‖ **423** *μὲν* **VY** Heph. om. **βγ** ‖ **424** *συμφώνως οἱ* **G** *συμφῶνος οἱ* **Y** *ἢ συμφώνως* **V** *ἢ σύμφωνα* **γ** *σύμφωνα* **MSc** *σύμφωνοι* **D** ‖ **426** post *ἀλλήλους*: *ὦσι συνεσχηματισμένοι συμφώνως* repetit **Y** | *ἐὰν* **V** Heph. *ἂν* **Yβγ**

τὰ δὲ κατὰ μέρος πάλιν ἄν τις καταστοχάζοιτο χρησά- 7
μενος ἐφ' ἑκάστου τῷ τὴν δόσιν πεποιημένῳ τῶν ἀστέρων
430 *ὡροσκοπίῳ καὶ ἀπὸ τῆς λοιπῆς διαθέσεως ὡς ἐπὶ γενέσεως*
τὴν περὶ τῶν ὁλοσχερεστέρων ἐπίσκεψιν ποιούμενος.

ζ΄. Περὶ φίλων καὶ ἐχθρῶν

Τῶν δὲ φιλικῶν διαθέσεων καὶ τῶν ἐναντίων, ὧν τὰς μὲν 1
μείζους καὶ πολυχρονίους καλοῦμεν συμπαθείας καὶ
435 *ἔχθρας, τὰς δὲ ἐλάττους καὶ προσκαίρους συναστρίας καὶ*
ἀντιδικίας, ἡ ἐπίσκεψις ἡμῖν ἔσται τὸν τρόπον τοῦτον. ἐπὶ
μὲν τῶν κατὰ μεγάλα συμπτώματα θεωρουμένων παρατη-
ρεῖν δεῖ τοὺς ἀμφοτέρων τῶν γενέσεων κυριωτάτους τό-
πους (τουτέστι τόν τε ἡλιακὸν καὶ τὸν σεληνιακὸν καὶ τὸν
m 192 440 *ὡροσκοπικὸν καὶ τὸν τοῦ κλήρου τῆς τύχης), ἐπειδήπερ* 2
κατὰ μὲν τῶν αὐτῶν τυχόντες δωδεκατημορίων ἢ ἐναλλά-
ξαντες τοὺς τόπους ἤτοι πάντες ἢ οἱ πλείους, καὶ μάλιστα,
ὅταν οἱ ὡροσκοποῦντες περὶ τὰς ἑπτακαίδεκα μοίρας ἀλ-

T 432–465 (§ 1–4) Heph. II 23,1–3

S 433–518 (c. 7) Dor. A V 19. Heph. II 23 (adde Ep. IV 29). Firm. math. VI 32,54–55 ‖ **433–447** (§ 1–2) cf. Horosc. Const. 14,1 ‖ **439** *ἡλιακὸν … σεληνιακὸν* Ps.Ptol. Karp. 33 ‖ **440–447** (§ 2) Dor. App. IIF 5–6 apud Heph. III 20,5–6 (adde Ep. IV 99,5)

429 *ἐφ'*] *ἀφ'* **c** | *ἑκάστῳ* **Mc** ‖ **432** *περὶ … ἐχθρῶν* **VYDMγ** *ἐπίσκεψις περὶ φιλίας καὶ ἔχθρας* S^2 in margine ‖ **433** *ὧν* om. **Y** ‖ **434** *μείζους*] *μέσους* **M** ‖ **437** *μὲν* **VDγ** *μὲν γὰρ* **YMS** *μὲν οὖν* Heph. | *τὰ μεγάλα* **C** ‖ **441** *τῶν αὐτῶν*] *τὸν αὐτὸν* **V** ‖ **442** *τρόπους* **D**, cf. 3,93 ‖ **443** *ἑπτακαίδεκα*] *ιζ̄* **Yβ** *ζ̄ι* **V** *ζ̄* **γ** (cf. *ἐν ἄλλῳ δὲ καὶ ζ̄* Co p. 161,19) “fortasse rectius“ Feraboli *ιζ̄ ἥμισυ* Heph.

λήλων ἀπέχωσι, ποιοῦσι συμπαθείας ἀπταίστους καὶ ἀδιαλύτους καὶ ἀνεπηρεάστους, κατὰ δὲ τῶν ἀσυνδέτων ἢ τῶν 445 *διαμετρούντων σταθέντες ἔχθρας μεγίστας καὶ ἐναντιώσεις*
3 *πολυχρονίους. μηδετέρως δὲ τυχόντες, ἀλλὰ μόνον ἐν τοῖς συσχηματιζομένοις δωδεκατημορίοις, εἰ μὲν ἐν τοῖς τριγώ-* c 50 *νοις εἶεν ἢ ἐν ἑξαγώνοις, ἥττονας ποιοῦσι τὰς συμπαθείας, εἰ δὲ ἐν τοῖς τετραγώνοις, ἥττονας τὰς ἀντιπαθείας, ὡς γί-* 450 *νεσθαί τινας κατὰ καιροὺς ἐν μὲν ταῖς φιλίαις ὑποσιωπήσεις καὶ μικρολογίας, ὅταν οἱ κακοποιοὶ τὸν σχηματισμὸν παροδεύωσιν, ἐν δὲ ταῖς ἔχθραις σπονδὰς καὶ ἀποκαταστάσεις κατὰ τὰς τῶν ἀγαθοποιῶν τοῖς σχηματισμοῖς ἐπεμβάσεις.* 455

4 *ἐπεὶ δὲ φιλίας καὶ ἔχθρας εἴδη τρία (ἢ γὰρ διὰ προαίρεσιν οὕτως ἔχουσι πρὸς ἀλλήλους ἢ διὰ χρείαν ἢ διὰ ἡδονὴν καὶ λύπην), ὅταν μὲν πάντες ἢ οἱ πλείους τῶν*

S 455 *ἐπεμβάσεις* Ap. III 11,33 (ubi plura) || 456 *εἴδη τρία* Stob. Ecl. II 6,16

447 *καὶ ἐν* **Y** || 448 *συσχηματιζομένοις* **Yβγ** Heph. *σχηματιζομένοις* **V** | *δωδεκατημορίοις* om. **βγ** || 449 *εἶεν* **βγ** Heph. *εἰσὶ* **Y** om. **V** | *ἢ ἐν* **VD** Heph. *ἢ ἐν τοῖς* **BC** *ἢ τοῖς* **A** *ἢ* **YMSc** Procl. || 450 *εἰ δὲ ... ἀντιπαθείας* om. **Y** | *ὡς* **VYγ** Heph. (cf. *ὥστε* Procl.) *οἷα* **βc** || 451 *ὑποσιωπήσεις* **VYDγ** Heph. *ἀποσιωπήσεις* **MS** || 452 *μικρολογίας* **VMBC** Heph. *μηκρολογίας* **Y** *μικρολογ(ίας)* **Sc** *μικρολογίαις* **GDA** *μακρολογίας* **m** | *τὸν σχηματισμὸν* **VGDγ** *τὸν συσχηματισμὸν* **Y** Procl. *τῶν συσχηματισμῶν* **MSc** *συσχηματισμὸν* Heph. || 453 *σπονδὰς* **βγ** Heph. *σπουδὰς* **VY** | *ἀποκαταστάσεις* **YMS** Heph. *ἀκαταστασίας* **VDγ** || 454 *ἀγαθῶν* **Y** | *τοῖς σχηματισμοῖς* **VDγ** *τοῖς συσχηματισμοῖς* **Y** Heph. *συσχηματισμοὺς* **MS** || 456 *ἐπεὶ δὲ* **VYDBC** *ἐπειδὴ* **MSA** *ἐπειδὴ δὲ* Heph. | *εἴδη*] *ἤδη* **M** | *τρία*] *τὴν* **V** | *ἢ*] *εἰ* **V** || 457 *ἔχωσιν* **V** || 458 *μὲν γὰρ* **c** | *οἱ πάντες* **Mc**

προειρημένων τόπων οἰκειωθῶσι πρὸς ἀλλήλους, ἐκ πάντων
460 *ἡ φιλία συνάγεται τῶν εἰδῶν, ὥσπερ, ὅταν ἀνοικείως, ἡ*
ἔχθρα· ὅταν δὲ οἱ τῶν φώτων μόνον, διὰ προαίρεσιν, ἥτις
ἐστὶ φιλία καὶ βελτίστη καὶ ἀσφαλεστάτη καὶ ἔχθρα χειρί-
m 193 *στη καὶ ἄπιστος· ὁμοίως δέ, ὅταν μὲν οἱ τῶν κλήρων τῆς*
τύχης, διὰ χρείαν, ὅταν δὲ οἱ τῶν ὡροσκόπων, δι' ἡδονὰς ἢ
465 *λύπας.*

παρατηρητέον δὲ τῶν συσχηματιζομένων τόπων τάς τε 5
καθυπερτερήσεις καὶ τὰς τῶν ἀστέρων ἐπιθεωρήσεις· ἐφ'
ὧν μὲν γὰρ ἂν γενέσεων ᾖ ἡ τοῦ σχηματισμοῦ καθυπερτέ-
ρησις (ἢ ἐὰν τὸ αὐτὸ ἢ τὸ ἔγγιστα ᾖ ζῴδιον τῇ ἐπανα-
470 *φορᾷ), ἐκείνῃ τὸ αὐθεντικώτερον καὶ ἐπιστατικώτερον τῆς*
φιλίας καὶ ἔχθρας προσνεμητέον· ἐφ' ὧν δὲ ἡ ἐπιθεώρησις
τῶν ἀστέρων βελτίων πρὸς ἀγαθοποιίαν καὶ δύναμιν, ἐκεί-

T 467–518 (§ 5 *ἐφ' ὧν* – 10) Heph. II 23,5–9

459 *προειρημένων* **VDSγ** *εἰρημένων* **YM** ‖ **460** *συνάγεται*] *συναρμόζεται* **Y** | *ἀνοικείως* **VDγ** *ἂν οἰκείως* **Y** *ἀνοίκειος* **MSc** ‖ **461** *οἱ* **MS** (cf. *οἱ ... τόποι* Heph.) *ἡ* **VYDγ** | *μόνον* **VYβ** Heph. *μόνων* **γ** ‖ **462** *καὶ φιλία* **γ** | *καὶ ἔχθρα* **VY** *ἢ τίς* vel *ἥτις* **β** *ἢ ἥτις* **BC** *ἢ ἥτι* **A** *ἢ* **c** | *χειρίστη*] *ἀχάριστη* **A** (ut vid.) ‖ **463** *τῶν κλήρων* **G** (recepit Robbins, coniecit Boer coll. *οἱ τόποι τῶν κλήρων* Procl.) *τὸν κλῆρον* **VY** *κλῆροι* **βγc** Heph. ‖ **464** *χρείαν* **MS** Heph. Procl. *χρείας* **VYDγ** ‖ **468** *γὰρ* om. **MSc** | *ᾖ*] *ἤτοι* **V** | *σχηματισμοῦ* **VDγ** Heph. *συσχηματισμοῦ* **YMS** ‖ **469** *ἢ ἐὰν*] *ἂν δὲ* **Y** | *ἢ τὸ* **V** om. **Yβγ** | *ᾖ* **γ** (sim. Heph.) *ἦν* **Vβ** (recepit Boer) *ἢ* **Y** | *τῇ ἐπαναφορᾷ* **MS** (vix recte *τῇ ἐπαναφερομένῃ* Heph.) *ἢ ἐπαναφορά* **Vγ** (recepit Boer antea interpungens) *ἐπαναφορά* **Y** *ἡ ἐπαναφορά* **D** ‖ **470** *καὶ ἐπιστατικώτερον* om. **MSc** *καὶ ἐπιληπτικώτερον* Heph. ‖ **472** *ἐκείναις* **VYDγ** *ἐκείνας* **G** *ἐκείνης* [ad *δύναμιν*] **MSc** *ἐκείνῃ* Heph.

ναις τό τε ἐκ τῆς φιλίας ὠφελιμώτερον καὶ τὸ ἐκ τῆς ἔχθρας κατορθωτικώτερον ἀποδοτέον.

6 *ἐπὶ δὲ τῶν κατὰ χρόνον τισὶ συνισταμένων προσκαίρων* 475 *συναστριῶν τε καὶ ἐναντιώσεων προσεκτέον ταῖς καθ' ἑκατέραν γένεσιν κινήσεσι τῶν ἀστέρων, τουτέστι κατὰ ποίους χρόνους αἱ τῶν τῆς ἑτέρας γενέσεως ἀστέρων ἀφέσεις ἐπέρχονται τοῖς τόποις τῶν τῆς ἑτέρας γενέσεως ἀστέρων· γίνονται γὰρ κατὰ τούτους φιλίαι καὶ ἔχθραι μερικαὶ δια-* 480 *κρατοῦσαι χρόνον ὀλιγοστὸν μὲν τὸν μέχρι τῆς διαλύσεως αὐτῆς, πλεῖστον δὲ τὸν μέχρι τῆς ἑτέρου τινὸς τῶν ἐπιφερομένων ἀστέρων καταλήψεως.* 7 *Κρόνος μὲν οὖν καὶ Ζεὺς ἐπελθόντες τοῖς ἀλλήλων τόποις ποιοῦσι φιλίας διὰ συστάσεως ἢ γεωργίας ἢ κληρονομίας, Κρόνος δὲ καὶ Ἄρης μά-* 485

T **483** sqq. Cod. Neapolitanus II C 33 (CCAG IV [1903] p. 57 sq.) fol. 387r

S **483–500** (§ 7–8) Val. I 19,2–23. Dor. App. IIF 7 apud Heph. III 20,7 (adde Ep. IV 99,6) || **485** *γεωργίας* Ap. IV 2,2 (ubi plura) | *κληρονομίας* Ap. IV 2,3 (ubi plura)

474 *κατορθωτικώτερον* **YSγ** *κατορθοκώτερον* **V** *κατορθωτέον* **DMc** *κατόρθωμα τικον* (? i. *κατορθωματικὸν*) Heph. cod. **P** | *ἀποδοτέον* **VYSγ** Heph. *ἀποδοτικώτερον* **D** (post *κατορθωτέον*) **M** (ante *κατορθωτέον* ut **c**) om. **Y** || **476** *προσεκτέον* om. **V** || **478** *αἱ τῶν* **βγ** Heph. *ἐτῶν* **V** *αὐτῶν* **Y** | *ἀφέσεις ... ἀστέρων* om. **MBc** (partim restituit **m**: *ἀφέσεις ἐπιφέρωνται τοῖς τῆς ἑτέρας τόποις*) || **479** *ἐπέρχονται*] *ὑπέρχονται* **G** *ἐπιφέρωνται* **m** | *τῶν τῆς ... ἀστέρων* om. **Y** || **480** *διακρατοῦσαι* **VDγ** (cf. *διαμένουσαι* Procl.) *αἱ διακρατοῦσαι* **Y** *καὶ διακρατοῦσι* **MSc** *καὶ κρατοῦσι* Heph. || **481** *ὀλίγιστον* Robbins tacite || **483** *Κρόνος*] *ὁ τοῦ* ♄ **γ** et sic deinceps || **484** *τοῖς ἀλλήλων τόποις* **βγ** *τοὺς ἀλλήλων τόπους* **VY** *τοὺς ἀλλήλους τόπους* Heph. | *συστάσεως* **βγc** Heph. *συστάσεις* **V** Procl. (recepit Robbins) *συστάσης* **Y**

χας καὶ ἐπιβουλὰς τὰς κατὰ προαίρεσιν, Κρόνος δὲ καὶ
m 194 *Ἀφροδίτη συνεπιπλοκὰς διὰ συγγενικῶν προσώπων, ταχὺ*
μέντοι ψυχούσας, Κρόνος δὲ καὶ Ἑρμῆς συμβιώσεις καὶ
κοινωνίας διὰ δόσιν καὶ λῆψιν καὶ ἐμπορίαν ἢ μυστήρια·
490 *Ζεὺς δὲ καὶ Ἄρης ἑταιρίας δι' ἀξιωματικῶν ἢ οἰκονομιῶν,* 8
Ζεὺς δὲ καὶ Ἀφροδίτη φιλίας τὰς διὰ θηλυκῶν προσώπων
ἢ τῶν ἐν ἱεροῖς θρησκειῶν ἢ χρησμῶν ἢ τῶν τοιούτων,
Ζεὺς δὲ καὶ Ἑρμῆς συναναστροφὰς διὰ λόγους καὶ ἐπι-
στήμας καὶ προαίρεσιν φιλόσοφον· Ἄρης δὲ καὶ Ἀφροδίτη
c 50v 495 *συνεπιπλοκὰς τὰς δι' ἔρωτας καὶ μοιχείας ἢ νοθείας, ἐπι-*
σφαλεῖς δὲ καὶ οὐκ ἐπὶ πολὺ διευθυνούσας, Ἄρης δὲ καὶ
Ἑρμῆς ἔχθρας καὶ περιβοησίας καὶ δίκας διὰ πραγμάτων
ἢ φαρμάκων ἀφορμάς· Ἀφροδίτη δὲ καὶ Ἑρμῆς συμβιώ-

S **486** *ἐπιβουλὰς* Ap. II 3,31 (ubi plura) ‖ **489** *ἐμπορίαν* Ap. II 3,30 (ubi plura) ‖ **489** *μυστήρια* Ap. III 14,16 (ubi plura) ‖ **492** *ἐν ἱεροῖς* Maneth. II(I) 225 | *θρησκειῶν* Ap. III 14,16 (ubi plura) | *χρησμῶν* Ap. III 13,19 (ubi plura) ‖ **493** *λόγους* Ap. III 14,1 (ubi plura) ‖ **494** *φιλόσοφον* Ap. III 14,5 (ubi plura) ‖ **495** *μοιχείας* Ap. III 14,25 (ubi plura) ‖ **497** *περιβοησίας* Ap. III 15,5 (ubi plura) ‖ **498** *φαρμάκων* Ap. III 14,15 (ubi plura), cf. Val. II 41,39

487 *Ἀφροδίτης* **VM** | *ταχὺ* **Vγ** Heph. *τάχει* **Yβ** ‖ **488** *ψυχούσας* **VYβ** *καταψυχούσας* **γ** Heph. | *Ἑρμοῦ* **VM** ‖ **489** *κοινωνίας*] *συγγενείας* **M** (cf. *συγγενείας καὶ συμβιώσεις* **c**) | *διὰ δόσιν* (vel *διαδόσιν*) **VDAC** *διδώασιν* **Y** *διδόασι καὶ διὰ δόσιν* **MSc** *διδόασι* **B** | *λήψη* **Y** ‖ **490** *Ζεὺς … οἰκονομιῶν* om. **D** Heph. ‖ **491** *Ἀφροδίτης* **V** | *θηλυκῶν*] *καθολικῶν* **MBc** ‖ **494** *φιλόσοφον* **VYDγ** Heph. Procl. *φιλοσόφων* **MSm** (*φιλοσόφον* **c**) | *Ἀφροδίτης* **V** ‖ **495** *νωθείας* **Sγ** (**C** ante corr. ut vid.) **c** ‖ **496** *οὐκ* om. **VDγ** | *διευθηνούσας* Robbins tacite ‖ **497** *πραγμάτων* **VA** (*γρ. διὰ γραμμάτων* suprascriptum **A**[2]) **B** Procl. *γραμμάτων* **YβCc** (sim. Heph.)

*σεις τὰς διὰ τέχνην τινὰ ἢ μοῦσαν ἢ σύστασιν ἀπὸ γραμ-
μάτων ἢ θηλυκῶν προσώπων.* 500

9 *τὴν μὲν οὖν ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἐπίτασιν καὶ ἄνε-
σιν τῶν συναστριῶν ἢ τῶν ἐναντιώσεων διακριτέον ἐκ τῆς
τῶν ἐπιλαμβανομένων τόπων πρὸς τοὺς πρώτους καὶ κυ-
ριωτάτους τέσσαρας τόπους διαθέσεως (ἐπειδήπερ κατὰ
κέντρων μὲν ἢ κλήρων ἢ τῶν φώτων τυχόντες ἐπιφανεστέ-* 505
*ρας ποιοῦσι τὰς ἐπισημασίας, ἀλλοτριωθέντες δὲ αὐτῶν
ἀνεπιφάντους), τὴν δὲ ἐπὶ τὸ βλαβερώτερον ἢ ὠφελιμώ-
τερον τοῖς ἑτέροις ἐκ τῆς τῶν ἐπιθεωρούντων ἀστέρων
τοὺς εἰρημένους τόπους ἐπὶ τὸ ἀγαθὸν ἢ κακὸν ἰδιο-
τροπίας.* 510

10 *ἰδίως δὲ ὁ περὶ δούλων τόπος ἢ λόγος καὶ τῆς τῶν δεσ-* m 195
*ποτῶν πρὸς αὐτοὺς συμπαθείας ἢ ἀντιπαθείας ἐκ τοῦ κα-
κοδαιμονοῦντος ζῳδίου λαμβάνεται καὶ τῆς τῶν ἐπιθεω-
ρούντων τὸν τόπον ἀστέρων κατά τε τὴν γένεσιν αὐτὴν*

S **499** *μοῦσαν* Ap. IV 4,6 (ubi plura) ‖ **499–500** *γραμμάτων* Ap. IV 4,3 (ubi plura) ‖ **511–518** (§ 10) Maneth. VI(III) 684–731. Firm. math. VII 4. Heph. II 20 (adde Ep. IV 30, cf. Dor. A V 11.13)

499 post *συμβιώσεις*: *ποιεῖ* add. **V** ‖ **505** *κέντρων ... κλήρων* **Yβ** Heph. *κέντρον ... κλῆρον* **V** *τῶν κέντρων ... τῶν κλήρων* **γ** (recepit Boer) | *ἐπιφανεστέρας* **VYS** (cf. *ἐπιφανεστέρους* Heph.) *ἐπισφαλεστέρας* **DMγ** ‖ **506** *ἀλλοτριωθέντες* **Yβγ** Heph. *ἀλλοτριωθέντων* **V** ‖ **508** *ἑτέροις* **VDγ** Heph. *ἑταίροις* **MS** | *τῆς* om. **V** Heph. ‖ **511** titulum *περὶ δούλων* inseruerunt **Mγc**, sed cf. Heph. II 20 | *τόπος ἢ λόγος* **Vβγ** *λόγος ἢ τόπος* **Y** *λόγος* Heph. haud scio an recte, cf. 3,205 ‖ **514** *τὸν* **VDγ** Heph. om. **YMS** *τὸν τοιοῦτον* **c** | *ἀστέρων* **VY** Heph. (ante *τὸν τόπον*) *ζῳδίου ἀστέρων* **D** *ζῳδίου* **MS** (inde *τοῦ ζῳδίου* **c**) *τοῦ τοιούτου ζῳδίου ἀστέρων* **γ**

515 *καὶ κατὰ τὰς ἐπεμβάσεις ἢ διαμετρήσεις φυσικῆς ἐπιτηδειότητος, καὶ μάλιστα ὅταν οἱ τοῦ δωδεκατημορίου κυριεύσαντες ἤτοι συμφώνως τοῖς αὐθεντικοῖς τῆς γενέσεως τόποις ἢ ἐναντίως ποιῶνται τοὺς συσχηματισμούς.*

η′. *Περὶ ξενιτείας*

520 *Ὁ δὲ περὶ ξενιτείας τόπος καταλαμβάνεται διὰ τῆς τῶν* **1** *φώτων πρὸς τὰ κέντρα στάσεως, ἀμφοτέρων μέν, μάλιστα δὲ τῆς σελήνης· δύνουσα γὰρ ἢ ἀποκεκλικυῖα τῶν κέντρων*

T **519–574** (§ 1–6) Heph. II 24,1–9

S **520–574** (c. 8) Dor. G p. 396–401 apud Heph. III 30,1–71 (adde Ep. IV 107 et Dor. A V 21–22). Val. I 20,2. 13.27. II 29–30. IV 15. Firm. math. VI 32,49. Heph. II 24 (adde Ep. IV 31). Apom. Myst. II 24 CCAG XII (1936) p. 103,4–12, cf. XI 1 (1932), p. 71 || **522** *σελήνης* Maneth. II(I) 486–488. III(II) 120–122. IV 87–90. Firm. math. III 13,8 (~ Rhet. C p. 166,7–12, cf. 163,19–21). Heph. III 30,7. Paul. Alex. 24 p. 64,8 (adde Olymp. 23 p. 71,1) | *δύνουσα* Dor. G p. 397,19 apud Heph. III 30,11 | *ἀποκεκλικυῖα* Val. IV 7,5. Dor. G p. 397,20 apud Heph. III 30,11. Paul. Alex. 24 p. 55,9–11. 63,5–10 (adde Olymp. 23 p. 64,21–23)

